277 *ἐόντι*] sic Ar., *ἰόντι* Zen. et mss. pauca. || *ἠέ τε* Bekker] *ἠύτε* mss.; cf. π 216. Post comparativum *ἠύτε* locum non habet, verum tamen comparativum voluisse poetam apparet coll. Κ 437; quapropter non sunt conferendae vox *ἀγρότερος* et similes, de quibus vid. § 88. || *πίσσα*] †.

279 **δὲ*] *τε* mss.

280 *-σσι διοτρεφέων*] *-σσιν ἀριθμόων* H.

282 *κυάνεαι*] *ἡρώων* Zen. || *σάκεσίν τε*] *σακέεσσι* Fick coll. Η 62. || *πεφρικυῖαι*] *βεβριθυῖαι* Ar. in altera ed.; cf. Η 62 π 474.

284 *σφας* § 92] *σφεας* mss.

286 **οὔτε … οὔτε* cf. vs. 359] *οὐ γάρ … οὔ τι* mss.; Nauck *οὔ τι … οὐδέ*. Vulgatam, in qua neglectum Ϝ vitii est indicium, peperit falsa opinio *σφῶι* *dativum* esse cum verbo *κελεύω* coniungendum.

287 *ἀνώγετε* Bentley] *-τον* mss.

289 *πᾶσιν*] Nauck *ἅπασιν* metri causa; malumus **τοῖος θυμὸς ἅπασιν.*

292 *αὐτόθι* § 322] *αὐτοῦ* mss.

295 sq.] del. PKnight.

Αἵμονά τε κρείοντα Βίαντά τε, ποιμένα λαῶν.
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφι,
πεζοὺς δ' ἐξόπιθε 'στῆσεν πολέας τε καὶ ἐσθλούς,
ἕρκος ἔμεν πολέμοιο· κακοὺς δ' εἰς μέσσον ἔλασσε,
ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦσιν μὲν πρῶτ' ἐπετέλλετο· τοὺς γὰρ ἄνωγε
σφοὺς ἵππους ἐχέμεν, μηδὲ κλονέεσθαι ὁμίλῳ·
„μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς
οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι,
μηδ' ἀναχωρεέτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
ὃς δέ κ' ἀνὴρ ἀπὸ ϝῶν ὀχέων ἕτερ' ἅρμαθ' ἵκηται,
ἔγχε' ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτως. 307ᵇ cf. *Λ* 169
ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἔπερθον,
τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες."
ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων ἐὺ ϝειδώς.
καὶ τὸν μὲν 'γήθησε ϝιδὼν κρείων Ἀγαμέμνων, 311 sq. cf. 283 sq.
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισι,
ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη. 314 cf. *H* 157
ἀλλά σε γῆρας τείρει ὁμοίιον· ὡς ϝ' ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι."
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·

---

296 *Βίαντά — λαῶν*] *Θόωνά τε Δηίπυρόν τε* Apoll. lex., cf. *N* 92.

299 *ἔμεν*] novicia infinitivi forma, cf. § 126. || *ἔλασσε*] sic Ar., alii olim *ἔεργε*.

301 *γὰρ*] *μὲν* mss. multa. || *ἄνωγε* § 225] *ἀνώγει* mss.

302 *ἐχέμεν*] **σχέμεναι*? cf. *E* 510 *H* 74 *I* 219 etc. et § 126.

303 *ἱπποσύνῃ τε*] *-νῃσι* pap. 126.

304 sq.] peditibus simile praeceptum datur *P* 357-359.

305 *ἀναχωρεέτω* § 191] *-ρείτω* mss.

306 *ἕτερ' ἅρμαθ'*] *currum hostilem.* — Quoniam de curru in terram desilire solent heroes antequam cum hoste congrediantur, hic versus torsit veteres interpretes, vid. Eust. et Plut. de aud. poet. 8. Cf. tamen *E* 13, 294 (= *Θ* 260) *Λ* 109, 143 *O* 386.

307 *ἔγχε'* § 71] *ἔγχει* mss. || *οὕτως* Wolf] *οὕτω* mss.

308 *πόλιας*] *πόλεας* Ar. A; cf. § 74. || *ἔπερθον* Fick] *ἐπόρθεον* vel *ἐπόρθουν* mss.; cf. § 191.

314 *ἕποιτο*] sc. *τῷ θυμῷ*; cf. *υ* 237. Naber *ὄροιτο*. — Optativus pro indicativo more Homerico (cf. § 109), item *H* 133, 157 (= *Λ* 670 *Ψ* 629 *ξ* 468) *Θ* 539 *N* 826 sq. *Σ* 464 *X* 20 *ι* 523 *ο* 158. || *δέ*] *τε*? vid. ad *H* 157.

315 *ὁμοίιον*] adiectivum alias de pugna vel contentione, *γ* 236 de morte usurpatur. Glossographi interpretabantur *κακόν*, non male, videtur enim a nota voce *ὁμοῖος* *similis* diversum esse. Nauck *ὀλοίιον* (*ὀλώιον*) cunctis locis legendum esse coniecit (cf. *X* 5), Fick a sanscr. *amīva aerumna* repetit, item Christ *ὀμίϝιον* rescribendum ratus. || *ϝ'] addidimus. De vocula *ϝε* = *αὐτό* cf. *Λ* 437, 637 *Y* 346 *ε* 349 *φ* 41, 128; sic etiam *μιν* = *αὐτό* extat *Δ* 143 *Z* 221 *Y* 287 etc.

317 *γερήνιος*] vid. *B* 336.

„Ἀτρεΐδη, μάλα κέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
319 ὣς ἔμεν' ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
321 ἦ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ὀπάζει. 321ᵇ cf. Θ 103 Ψ 623
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῇ καὶ μύθοισι· τὸ γὰρ γέρας ἐστὶ γερόντων. 323ᵇ = Ι 422 cf. Π 457 Ψ 9 ω 190, 296
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάασι πεποίθασίν τε βίηφι."
ὣς ἔφατ', Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ. 326 = 272
ηὗρ' υἱὸν Πετεῷο Μενεσθῆα πλήξιππον
ἑσταότ', ἀμφὶ δ' Ἀθηναῖοι, μήστωρες ἀυτῆς.
αὐτὰρ ὁ πλησίον εἱστήκει πολύμητις Ὀδυσσεύς,
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
ἕστασαν· οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀυτῆς,
ἀλλὰ νέον συνορινόμεναι 'κίνυντο φάλαγγες
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἱ δὲ μένοντες
ἕστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν
Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο.
τοὺς δὲ Ϝιδὼν 'νείκεσσε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 336 cf. 368
καί σφας φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὦ υἱὸς Πετεῷο, διοτρεφέος βασιλῆος, 338 cf. Ε 464
καὶ σύ, κακοῖσι δόλοισι κεκασμένε, κερδαλεόφρον,
τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ' ἄλλους;
σφῶιν μέν τε ϜέϜοικε μετὰ πρώτοισιν ἐόντας 341ᵇ sq. = Μ 315 [sq.

320 ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ 'δόσαν ἀνθρώποισι.

320 Ar. —

318 *κέν τοι] μέν κεν pap. 126 L O, μέν τοι mss. pleraque, μέν γε Harl.

319] de *Ereuthalione* vid. Η 136 sqq. || κατέκταν] sic Ar., -έκτον mss. pauca, alii olim -έκτα.

320 sq.] alteruter omnino delendus, recte autem Ar. priorem damnasse videtur coll. Ν 729. Quo reiecto in vs. 321 pro εἰ scripsimus *ἦ.

321 ὀπάζει Ar.] ἱκάνει mss.; cf. Θ 103 Ψ 623 (Α 29 λ 196).

323 γερόντων] θανόντων pap. 126 aperto errore (e Π 457).

324 αἰχμάσσουσι] † (saepius apud tragicos; cf. αἰχμή, αἰχμητής).

325] del. Heyne.

327 ηὗρ'] *ηὗρε δ'? Cf. Δ 197 = Ο 239 et § 17. || Πετεῷο § 62] -ῶο mss.

329 εἱστήκει] ἑστήκει Ar. et mss. complura.

333 Τρώων Ar.] Τρώων θ' mss. pleraque.

334 sq. πύργος Ἀχαιῶν ... ἄρξειαν] sic Ar., κέν τις ἐναντίον ... ἄρξειεν liber „πολύστιχος". Suspectum est Ἀχαιῶν iteratum.

334 πύργος] *catervae* sensu h. l. et vs. 347, cf. adv. πυργηδὸν *catervatim* Μ 43 Ν 152 Ο 618 et πύργοι = δῆμοι in Teo insula CIG. 3064.

337 σφας § 92] σφεας mss.

338 ὦ] *ὤ μοι? Cf. vs. 370 et § 17. || υἱὸς Barnes] υἱὲ mss. || Πετεῷο § 62] -ῶο mss.

339 κερδαλεόφρον] φαίδιμ' Ὀδυσσεῦ Zen.

341 τε ϜέϜοικε PKnight] τ' ἐπέοικε mss.

ἑστάμεν᾽ ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι.
πρώτω γὰρ καλέοντος ἀκουάζεσθον ἐμεῖο,
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί.
ἔνθα φίλ᾽ ὀπταλέα κρέα᾽ ἔδμεναι ἠδὲ κύπελλα
Ϝοίνου πινέμεναι μελιϜηδέος, ὄφρ᾽ ἐθέλητον·
νῦν δὲ φίλως χ᾽ ὁράοιτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέι χαλκῷ.“
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς· 349 sq. = Ξ 82 sq.
„Ἀτρεΐδη, ποῖόν σε Ϝέπος ᾽φύγεν ἕρκος ὀδόντων. 350ᵇ = α 64 γ 230 etc.
πῶς δὴ φῂς πολέμοιο μεθιέμεν᾽; — ὁππότ᾽ Ἀχαιοὶ
Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα, 352 = Τ 237
ὄψεαι, αἴ κ᾽ ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ, 353 = Ι 359
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα 353ᵃ = Θ 471 ω 511
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ᾽ ἀνεμώλια βάζεις.“
τὸν δ᾽ ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων, 356 cf. Θ 38 Κ 400 χ 371
ὡς ᾽γνῶ χωομένοιο· πάλιν δ᾽ ὅ γε ᾽λάζετο μῦθον· 357ᵇ = ν 254
„διογενὲς Λαερτιάδη, πολυμήχαν᾽ Ὀδυσσεῦ,
οὔτε σε νεικείω περιώσιον οὔτε κελεύω·
Ϝοῖδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισι
ἤπια δήνεα Ϝοῖδε· τὰ γὰρ φρονέεις ἅ τ᾽ ἐγώ περ.
ἀλλ᾽ ἴθι· ταῦτα δ᾽ ὄπισθεν ἀρεσσόμεθ᾽, εἴ τι κακὸν νῦν
ϜέϜρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.“
ὣς Ϝειπὼν τοὺς μὲν ᾽λίπεν αὐτόθι, ᾽βῆ δὲ μετ᾽ ἄλλους. 364 = 292
ηὗρε δὲ Τυδέος υἱόν, ὑπέρθυμον Διομήδεα, 365 cf. Ε 376
ἑσταότ᾽ ἔν θ᾽ ἵπποισι καὶ ἅρμασι κολλητοῖσι· 366 = Δ 198

---

342 *καυστείρης*] nonnisi versu parall. redit (masc. non occurrit).

343 *καλέοντος* Nauck] *καὶ δαιτὸς* mss., quod *περὶ δαιτὸς* interpretabantur Ar. alii.

345 sq.] quidam (non Ar.) poeta indignos duxerunt.

345 *κρέα᾽*] *κρέα* mss. hiatu vitioso, item Χ 347 υ 348. Cf. § 72.

347 *φίλως*] adv. †; **φίλον*? || *ὁράοιτε* § 191] *ὁρόωτε* mss. || *πύργοι*] vid. ad vs. 334.

351 *δὴ*] malumus **ἐμὲ*.

353 *αἴ κ᾽* § 326] *ἤν κ᾽* pap. 126 A, *ἤν* mss. cetera.

354 *Τηλεμάχοιο*] vid. ad Β 260.

357] del. PKnight. || *πάλιν*] de dicta retractantibus etiam vs. parall. et Ι 56 adhibitum est adverbium.

359 *περιώσιον*] adv. redit π 203: *περιούσιοι* GMeyer et vHerwerden, a verbo *εἰμί* repetentes. Quae si vera est coniectura, novicia haec vox est dicenda, requiritur enim *-εούσιον*, vid. § 302.

361 *ἤπια ... Ϝοῖδε*] cf. Π 73 υ 327 etc., *ἄρτι᾽ ἐϜείδει* Ε 326. || *δήνεα*] *consilia.* Vox redit κ 289 ψ 82.

363 *ϜέϜρηται* § 306] *εἴρηται* mss.

364 *αὐτόθι* § 322] *αὐτοῦ* mss.

365 *Διομήδεα*] § 73. Ecquid **ηὗρε δ᾽ ὑπέρθυμον Διομήδεα, Τυδέος υἱόν*? sed vid. Ε 881.

πὰρ δέ Ϝοι εἱστήκει Σθένελος, Καπανήιος υἱός.
καὶ τὸν μὲν ’νείκεσσε Ϝιδὼν κρείων Ἀγαμέμνων, 368 cf. 336
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ὤ μοι, Τυδέος υἱὲ δαΐφρονος ἱπποδάμοιο, 370 cf. B 23 Θ 152
τί πτώσσεις, τί δ’ ὀπιπεύεις πολέμοιο γεφύρας; 371[b] cf. Θ 378, 553 Λ 160 Υ 427
οὐ μὲν Τυδέι γ’ ὧδε φίλον πτωσκαζέμεν’ ἦεν,
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηίοισι μάχεσθαι,
ὡς ’φάσαν οἵ Ϝ’ ἐϜίδοντο πονεύμενον· οὐ γὰρ ἐγώ γε 374[b] sq. = δ 200 sq.
ἤντησ’ οὐδ’ ἔϜιδον· περὶ δ’ ἄλλων φασὶ γενέσθαι.
ἦ τοι μὲν γὰρ ἄτερ πολέμοι’ εἰσῆλθε Μυκήνας
ξεῖνος ἅμ’ ἀντιθέῳ Πολυνείκεϊ, λαὸν ἀγείρων,
οἵ ῥα τότ’ ἐστρατόονθ’ ἱερὰ πρὸς τείχεα Θήβης· 378[a] = Γ 187
καὶ μάλα ’λίσσοντο δόμεναι κλειτοὺς ἐπικούρους.
οἱ δ’ ἔθελον δόμεναι καὶ ἐπήνεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων.
οἱ δ’ ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῖ’ ἐγένοντο,
Ἀσωπὸν δ’ ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ’ αὖτ’ ἀγγελίην ἐπὶ Τυδέι ’τεῖλαν Ἀχαιοί.
αὐτὰρ ὃ ’βῆ, πολέας δὲ ’κιχήσατο Καδμεΐωνας
δαινυμένους κατὰ δῶμα βίης ’Ετεοκλεεείης.
ἔνθ’ οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
’τάρβεε, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισι,

367 εἱστήκει pap. 126 et codd. multi] ἑστ. Ar. A.

371 ὀπιπεύεις] -πτεύεις mss. multa male. Redit verbum Η 243 τ 67, et vox inde ducta παρθενοπῖπα legitur Λ 385. || πολέμοιο γεφύρας] sic vocatur intervallum quod est inter utramque aciem, item Θ 378, 553 Λ 160 Υ 427.

372 πτωσκαζέμεν’] †. (πτώξ. πτώσσω).

373 δηίοισι] vid. § 17.

374-400] postmodo sunt inserti; del. PKnight.

374 ὡς] ὥς (ὣς) M Eust., quod praefert Hentze. || Ϝ’ ἐϜίδοντο Bentley] μιν ἴδοντο mss. || πονεύμενον] vid. § 7 et 191.

376 πολέμοι’ § 59] -μου mss.

377 ξεῖνος] l. a. κεῖνος. || ἀγείρων] sic Ar., -ρας olim alii.

378] versum ante 376 collocat Naber. || ῥα] δὲ pap. 126. || ἐστρατόονθ’ Buttmann] -όωνθ’ mss., cf. Γ 187.

379 *καὶ μάλα ’λίσσοντο δόμεναι] καί ῥα μάλα λίσσοντο δόμεν mss. Cf. § 126.

381 παραίσια]†, cf. ἐξαίσιον Ο 598 δ 690 ρ 577.

382 πρὸ — ἐγένοντο] notetur hiatus post πρὸ (qualis etiam Κ 224 reperitur) et ipsa formula (= *in via progressi erant*), in qua πρό adverbium est, ὁδοῖ’(ο) genitivus localis; vid. ad Β 785. Adiectivum posthomericum φροῦδος hinc est natum. || ὁδοῖ’ § 59] ὁδοῦ mss.

383 βαθύσχοινον] redit h. IX 3 (σχοῖνος ε 463 †).

384 sqq.] de re cf. Ε 803 sqq. Κ 285 sqq.

384 Τυδέι ’τεῖλαν TSBrandreth IMenrad] Τυδῆ vel Τυδεῖ στεῖλαν mss. Cf. Ε 320 Λ 840; Nauck ἀγγελίην Τυδῆ’ ἔστειλαν (cf. Γ 206).

386 ’Ετεοκλεεείης § 73] -κληείης mss.

388 ’τάρβεε § 191] τάρβει mss.

ἀλλ᾽ ὅ γ᾽ ἀεθλεύειν προκαλίζετο, πάντα δ᾽ ἐνίκα — 389 sq. cf. *E* 807 sq.
ῥηιδίως· τοίη Ϝ᾽ ἐπιτάρροθος ἦεν Ἀθήνη. — 390 cf. *Φ* 289
οἳ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων,
ἂψ Ϝοι ἀνερχομένῳ πυκινὸν λόχον εἷσαν ἄγοντες, — 392 cf. *Z* 187
κούρους πεντήκοντα· δύω δ᾽ ἡγήτορες ἦσαν,
Μαίων Αἱμονίδης, ἐπιϜείκελος ἀθανάτοισι,
υἱός τ᾽ Αὐτοφόνοιο, μενεπτόλεμος Πολυφόντης.
Τυδεὺς μὲν καὶ τοῖσιν ἀϜεικέα πότμον ἐφῆκε· — 396ᵇ = *δ* 339 *ρ* 130
πάντας ἔπεφν᾽, ἕνα δ᾽ οἶον ἵει Ϝοῖκόνδε νέεσθαι·
Μαίον᾽ ἄρα προέηκε, θεῶν τεράεσσι πιθήσας. — 398ᵇ = *Z* 183
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ Ϝὸν υἱὸν
᾽γείνατο Ϝεῖο χέρηα μάχῃ· ἀγορῇ δέ τ᾽ ἀμείνων.“
ὣς ᾽φάτο, τὸν δ᾽ οὔ τι προσέφη κρατερὸς Διομήδης, — 401 cf. *A* 511
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ᾽ υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
„Ἀτρεΐδη, μὴ ψεύδε᾽ ἐπιστάμενος σάφα Ϝειπεῖν.
ἦμές τοι πατέρων μέγ᾽ ἀμείνονες εὐχόμεθ᾽ εἶναι·
ἦμες καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο, — 406 cf. *λ* 263
παυρότερον λαὸν ἀγαγόνθ᾽ ὑπὸ τεῖχος ἄρειον,
πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.· — 409 cf. *α* 7 *κ* 437
τῷ μή μοι πατέρας ποθ᾽ ὁμοίῃ ἔνθεο τιμῇ.“

407—409 Ar. —

390 *Ϝ᾽ ἐπιτάρροθος] Ϝοι ἐπίρροθος mss.; cf. *E* 808. Vox ἐπίρροθος, quae h. l. et *Ψ* 770 legitur, neutrubi aptum sensum praebet, nam idem quod ἐπίψογος significat (vid. Aesch. Sept. 368, Soph. Ant. 413 fr. 517). Vitium peperit veterum opinio abundare syllabam ταρ (vid. schol. *A* 223 *Δ* 366 *M* 180 etc.); hinc apud recentiores (Apollonium Rh., Q. Smyrnaeum etc., etiam Hes. Oper. 560?) passim legitur ἐπίρροθος = βοηθός.

392-398] de Bellerophonte leguntur simillima *Z* 187 sqq.

392 ἄψ οἱ ἀνερχομένῳ Barnes] ἂψ ἀν(α)ερχομένῳ mss., Bentley ἂψ ἄρ᾽ ἀνερχομένῳ (cf. *Z* 187), Spitzner Hoffmann αὖτις ἀνερχομένῳ coll. *α* 317.

395 Πολυφόντης A] Λυκοφόντης mss. cetera.

396 καὶ τοῖσιν] i. e. καίπερ τοσούτοις οὖσιν.

399 ἔην] ἔεν? vid. § 302. || Ϝὸν Brugmann] τὸν mss., τοι Heyne.

400 χέρηα] χέρεια Ar. et mss. multa. Vid. § 87. || ἀμείνων Ar. A] ἀμείνω mss. cetera. Cf. § 85 et ad *Γ* 11.

404 ψεύδε᾽] sic recte mss. h. l., cf. § 117.

405 sq. ἦμες § 92] ἡμεῖς mss.

407 ἀγαγόνθ᾽] dualis ad Diomedem et Sthenelum spectat. || ἄρειον] *validius* quam *Troiae* moenia interpretatur schol.; rectius comparationem ad *Thebarum* priscum murum rettuleris, quem post septem ducum copias repulsas instauratum esse hinc efficitur, licet alias huius rei mentio nulla fiat. Alii Ἄρειον hic et *O* 736 scribunt (vid. ad *Δ* 99), quae novicia foret forma pro Ἄρηος; sententiae praeterea aptior est comparativus.

410 μή … ἔνθεο] constructio, quam vita-

τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη κρατερὸς Διομήδης·
„τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ.
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ὀτρύνοντι μάχεσθαι ἐυκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ
Τρῶας δηώσωσιν ἕλωσί τε Ϝίλιον ἱρὴν,
τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δηωθέντων.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς." 418 = Ε 718
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε· 418ª = Ω 618
δϜεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσι Ϝάνακτος 419 = Π 426 cf. Γ 29
ὀρνυμένοι'· ὑπό κεν ταλασίφρονά περ δϜέος εἷλε.

ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυϜηχέι κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύροι' ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἰὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
ὣς τότ' ἐπασσύτεραι Δαναῶν 'κίνυντο φάλαγγες
νωλεμέως πόλεμόνδε. 'κέλευε δὲ Ϝοῖσι Ϝέκαστος
ἡγεμόνων· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδὴν,
σιγῇ δεδϜιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ' ἔλαμπε, τὰ Ϝειμένοι ἐστιχάοντο.
Τρῶες δ', ὥς τ' ὄιες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκωσιν ἀμελγόμεναι γάλα λευκὸν,

-unt posteri, redit (Ι 33?) Σ 134 ω 248, cf. π 301. || ὁμοίῃ] hiatus illicitus, vid. § 14.

412 τέττα] †, incertae originis vocativus, cf. § 54; τέτλα (= τέτλαθι) non recte Helladius apud Photium in Bibl.; cf. schol. || σιωπῇ ἧσο] hiatus vitiosus, cf. § 14; σιγῇ ἧσο O, hinc Bentley τέτλαθι σιγῇ θ' ἧσο coniecit.

420 στήθεσσι] -σφι? vid. ad Μ 401.

421] del. PKnight. || ὀρνυμένοι' § 59] -νου mss.

422-426] imitatur Verg. Georg. III 237-241.

423 Ζεφύροι' § 59] Ζεφύρου mss.

424 μέν τε] μὲν τὰ mss. pleraque.

425 βρέμει] βρέμετ' probabiliter PKnight, cf. Β 210 Ξ 399 Ο 627; activum nonnisi loco corrupto Ρ 739 redit.

426 ἰὸν Ar.] ἐὸν mss. || κορυφοῦται] † (κορυφή passim), cf. κορθύεται Ι 7 et ad Ν 799. Ecquid hic quoque *κορθύετ' fuit olim?

427 'κίνυντο] ὤρνυντο pap. 126.

429-438] de Graecorum silentio Troianorumque clamoribus cf. Γ 2-9.

429 φαίης] de optativo vid. ad vs. 223.

432 ἐστιχάοντο § 191] -χόωντο mss.

433 πολυπάμονος A] -πάμμονος mss. pleraque. Vox † = *dives*, a stirpe πα-, de qua cf. Ω 250 ω 305.

434 ἑστήκωσιν pap. 126] ἑστήκασιν codd. plerique. Cf. § 159.

ἀζηχὲς μεμακυῖαι ἀκούουσαι Ϝόπα Ϝαρνῶν·
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς,
ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη,
ΔϜεῖμός τ' ἠδὲ Φόβος καὶ Ἔρις, ἄμοτον μεμαυῖα, 440° cf. *E* 518
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίιον ἔμβαλε μέσσῳ
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
οἱ δ' ὅτε δή ῥ' εἰς χῶρον ἕνα ξυνιόντες ἵκοντο, 446-451 = *Θ* 60 sqq.
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ 'πέλετ' ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, 'ρέε δ' αἵματι γαῖα.
ὡς δ' ὅτε χειμαρόω ποταμὼ κατ' ὄρεσφι ῥέοντε
εἰς μισγαγκέιαν συμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης,
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
ὣς τῶν μισγομένων 'γένετο ϜιϜαχή τε πόνος τε. 456^b cf. *M* 144 *O* [396 *Π* 366
πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστὴν 457^b = *Θ* 256 *Π* 603
ἐσθλὸν ἐνὶ προμάχοισι, Θαλυσιάδην Ἐχέπωλον· 458^a = *P* 590
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης, 459-461 = *Z* 9 sqq. 459 cf. *N* 614
ἐν δὲ μετώπῳ ἔπηξε, 'πέρησε δ' ἄρ' ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε, 461 = 503
ἤριπε δ', ὡς ὅτε πύργος, ἐνὶ κρατερῇ ὑσμίνῃ. 461^b = 526 *N* 575 etc:

---

437 sq.] cf. *B* 804.
437 *γῆρυς*] † (*γηρύομαι* h. Merc. 426, *μελίγηρυς* *μ* 187 h. Ap. 519 h. XVIII 18).
441 *κασιγνήτη*] *-*γνήτη θ'*?
442 sq.] imitatur Verg. Aen. IV 176 sq.
444 *ὁμοίιον*] vid. ad vs. 315.
447 *ῥινοὺς — ἀνδρῶν*] *ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας* Ar. Pac. 1274 (hinc?).
448 *χαλκεοθωρήκων*] †.
449 *ἔπληντ'*] **ἐπλήατ'*? Cf. § 119 et 17.
450 *'πέλετ'* § 275] *πέλεν* mss.
452 *χειμαρόω ποταμὼ ... ῥέοντε*] *χείμαρροι ποταμοὶ ... ῥέοντες* (-*ντε* C) mss.; de termino -*ᾰρόω* cf. § 61, dualem commendavit Christ.
453 *μισγαγκέιαν*] †, *convallem* (*ἄγκεα* *Σ* 321 etc.).
455 *τηλόσε*] *τηλόθι* poscitur in schol., sic alii olim? Cf. *K* 465, 505 *μ* 249.
456 *πόνος* Ar.] *φόβος* mss. pleraque (item locis parall.).
460 *ἔπηξε*] *πῆξε* mss.
462 *ὡς ὅτε*] *ἠύτε* Nauck.

τὸν δὲ πεσόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων· 464 = Β 541
εἷλκε δ' ὑπ' ἐκ βελέων λελιημένος, ὄφρα τάχιστα 465ᵇ = Ε 690
τεύχεα συλήσειε· μίνυνθα δέ ϝοι 'γένεθ' ὁρμή.
νεκρὸν γὰρ ϝερύοντα ϝιδὼν μεγάθυμος Ἀγήνωρ
πλευρά, τά ϝοι κύψαντι παρ' ἀσπίδος ἐξεφαένθη,
οὔτασσε ξυστῷ χαλκήρεϊ, 'λῦσε δὲ γυῖα. 469 = Δ 260
ὣς τὸν μὲν 'λίπε θυμὸς, ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἳ δὲ λύκοι ὣς
ἀλλήλοισ' ἐπόρουσαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζε.
ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας,
ἠίθεον θαλερὸν Σιμοείσιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦσα παρ' ὄχθησιν Σιμόεντος
'γείνατ', ἐπεί ῥα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα ϝιδέσθαι·
τούνεκά μιν 'κάλεον Σιμοείσιον· οὐδὲ τοκεῦσι
θρέπτρα φίλοισ' ἀπέδωκε, μινυνθάδιος δέ ϝοι αἰὼν 478 sq. = Ρ 302 sq.
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντα 'βάλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἄντικρυς δὲ δι' ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὃ δ' ἐν κονίῃσι χαμαὶ 'πέσεν, αἴγειρος ὥς,
ἥ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκῃ 483 cf. Ο 631
λείη, ἀτάρ τέ ϝοι ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασι·
τὴν μέν θ' ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
ἐξέταμ', ὄφρα ϝίτυν κάμψῃ περικαλλέι δίφρῳ·
ἣ μέν τ' ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας.

---

465 εἷλκε] ἕλκε mss. || λελιημένος] non ante sed post hoc participium virgulam esse ponendam h. l. et *Ε* 690, voculam enim ὄφρα cum verbo *cupiendi* iungi non posse, ostendit Doederlein. De origine participii, quod praeterea redit *Μ* 106 *Π* 552, vid. § 139³.

466 μίνυνθα ... 'γένετο] cf. *Α* 416.

467 ϝερύοντα] ὅ' ἐρύοντα mss. nonnulla, ἕλκοντα D.

468 ἐξεφαένθη § 280] -φαάνθη mss.

469 *οὔτασσε] οὔτησε mss.; cf. § 150.

470-472] del. PKnight.

470 ἔργον] neglecto ϝ.

472] cf. Verg. Aen. XI 632. || ἐδνοπάλιζε] dubiae potestatis verbum, de quo cf. § 222, redit *Ξ* 512.

473 υἱὸν] cf. § 17.

478 θρέπτρα] sic Ar., θρεπτά Zen. et pars codicum. Vox nonnisi loco parall. redit, θρεπτήρια legitur h. Cer. 168, 223.

481 ἄντικρυς § 31] ἀντικρὺ mss.

483 εἱαμενῇ] vox incertae originis nonnisi loco parall. redit; *locum depressum* significari apparet. || πεφύκῃ Hermann] -κει mss. Cf. § 159.

485 ἁρματοπηγὸς] †.

487 ἀζομένη] †, *arescens*, cf. ἄζη *χ* 184, ἀζαλέος *Η* 239 *Λ* 494 *Υ* 491 *ι* 234, ἀζάνω h. Ven. 271, καταζαίνω *λ* 587.

τοῖον ἄρ' Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξε
Αἴας διογενής. τοῦ δ' Ἄντιφος αἰολοθώρηξ
Πριαμίδης καθ' ὅμιλον ἀκόντισεν ὀξέι δουρί.
τοῦ μὲν ἅμαρθ', ὃ δὲ Λεῦκον, Ὀδυσσέος ἐσθλὸν ἑταῖρον,
'βεβλήκει βουβῶνα νέκυν Ϝερύονθ' ἑτέρωσε·
ἤριπε δ' ἀμφ' αὐτῷ, νεκρὸς δέ Ϝοι ἔκπεσε χειρός.
τοῦ δ' Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοι' ἐχολώθη,
494 cf. *Ν* 660
'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
495 = *E* 562, 681 *P* 3 etc.
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ
496 = *E* 611 *P* 347 cf. *Δ* 577
ἀμφὶ Ϝὲ παπτήνας· ὑπὸ δὲ Τρῶες 'κεκάδοντο
496ª = *Δ* 429 *M* 457
ἀνδρὸς ἀκοντίσσαντος. ὃ δ' οὐχ ἅλιον βέλος ἧκε,
496ᵇ-498 = *O* 573 sqq.
ἀλλ' υἱὸν Πριάμοιο νόθον 'βάλε Δημοκόωντα,
ὅς Ϝοι Ἀβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων.
τόν ῥ' Ὀδυσεὺς ἑτάροιο χολωσάμενος 'βάλε δουρὶ
κόρσην, ἣ δ' ἑτέροιο διὰ κροτάφοι' ἐπέρησε
αἰχμὴ χαλκείη, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε·
503 = 461
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
504 = *E* 42, 540 etc.
'χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ,
505 sq. = *P* 316 sq. 505 = *Π* 588
Ἀργέιοι δὲ μέγα 'ϜίϜαχον, 'Ϝερύσαντο δὲ νεκρούς,
ἴθυσαν δὲ πολὺ προτέρω. 'νεμέσησε δ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ 'κέκλετ' ἀύσας·
508ª = *H* 21
„ὄρνυσθ', ἱπποδάμοι Τρῶες· μὴ Ϝείκετε χάρμης
509ª = *M* 440
Ἀργεΐοισ', ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος
χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισι.
οὐ μὰν οὐδ' Ἀχιλεὺς Θέτιδος πάις ἠυκόμοιο
512ᵇ = *Π* 860
μάρναται, ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.“
513ᵇ cf. *I* 565
ὣς 'φάτ' ἀπὸ πτόλιος δϜεινὸς θεός. αὐτὰρ Ἀχαιοὺς

---

490 *ὀξέι δουρί*] *ὀξέι χαλκῷ* D, *δουρὶ φαεινῷ* Par. 2767. Cf. vs. 496.

491 *ὃ δὲ*] vid. ad *Δ* 191. || *Ὀδυσσέος*] paenultima nonnisi h. l. et *ρ* 301 (?) corripitur (vid. etiam *ζ* 212).

492 *βουβῶνα*] †. || **Ϝερύονθ' ἑτέρωσε*] *ἑτέρωσ' ἐρύοντα* mss. neglecto Ϝ, Bentley *ἕταρον Ϝερύοντα*, Heyne alii *ἑτέρωσε νέκυν Ϝερύοντα* cum caesura vitiosa.

493 *ἔκπεσε*] alii olim *ἔκφυγε*, cf. *B* 266.

494 *ἀποκταμένοι' ἐχολώθη*] *-νοιο χολ.* mss.; cf. § 59.

500] de Priami equis vid. *E* 265 sqq. *Υ* 221 sqq., et cum toto versu cf. *O* 547 sqq.

502 *κροτάφοι' ἐπέρησε*] *-φοιο πέρ.* mss.; cf. § 59.

506 *μέγα* A] *μέγ'* pap. 126 et codd. plerique vitio aperto.

507-516] del. PKnight.

508 *ἐκκατιδὼν*] neglecto Ϝ, item *H* 21. Naber *ἐκπροϜιδών*, sed *H* 21 *ἐκκατιὼν* cum PKnightio.

509 *μὴ* Bekker] *μηδ'* mss.

ὦρσε Διὸς θυγάτηρ κυδίστη Τριτογένεια, 515 cf. γ 378
ἐρχομένη καθ' ὅμιλον, ὅθι μεθιέντα Ϝίδοιτο. 516b cf. Ν 229
ἔνθ' Ἀμαρυγκεΐδην Διώρεα μοῖρ' ἐπέδησε.
χερμαδίῳ γὰρ 'βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· 'βάλε δὲ Θρηίκων ἀγὸς ἀνδρῶν,
Πείροος 'Ιμβρασίδης, ὃς ἄρ' Αἰνόθεν εἰληλούθει.
ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίησεν· ὃ δ' ὕπτιος ἐν κονίῃσι 522b sq. = Ν 548 sq.
κάππεσεν, ἄμφω χεῖρε φίλοισ' ἑτάροισι πετάσσας, 522b sq.a = Π 289 / 522b = Ο 434 sq.
θυμὸν ἀποπνείων. ὃ δ' ἐπέδραμεν ὅς Ϝ' ἔβαλέν περ,
Πείροος· οὖτα δὲ δουρὶ παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι 525b sq. = Φ 180 sq.
'χύντο χαμαὶ χολάδες, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε. 526b = 461
τὸν δὲ Θόας Αἰτωλὸς ἀπεσσυμένον 'βάλε δουρὶ
στέρνον ὑπὲρ μαζοῖο, 'πάγη δ' ἐν πνεύμονι χαλκός. 528b cf. Υ 486
ἀγχίμολον δέ Ϝοι ἦλθε Θόας, ἐκ δ' ὄβριμον ἔγχος
ἐσπάσατο στέρνοιο, 'Ϝερύσσατο δὲ ξίφος ὀξὺ,
τῷ ὅ γε γαστέρ' ἔτυψε μέσην, ἐκ δ' ἤνυτο θυμόν.
τεύχεα δ' οὐκ ἀπέδυσε, περίστησαν γὰρ ἑταῖροι
Θρήικες ἀκρόκομοι, δολίχ' ἔγχεα χερσὶν ἔχοντες,
οἵ Ϝε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν 534 sq. = Ε 625 sq.
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος 'πελεμίχθη. 535 = Ν 148
ὣς τώ γ' ἐν κονίῃσι παρ' ἀλλήλοισ' ἐτετάσθην,
ἦ τοι ὃ μὲν Θρηίκων, ὃ δ' Ἐπειῶν χαλκοχιτώνων
ἡγεμόνες· πολλοὶ δὲ περὶ 'κτείνοντο καὶ ἄλλοι.
ἔνθα κεν οὐκέτι Ϝέργον ἀνὴρ ὀνόσαιτο μετελθὼν, 539b cf. Ν 127

---

515 *Τριτογένεια*] ignotae originis epitheton redit Θ 39 Χ 183 γ 378.
516 *μεθιέντα* N] *μεθιέντας* mss. cett.
517 *μοῖρ' ἐπέδησε* mss.] *μοῖρα π.* Ar.
519 *Θρηίκων*] cf. § 17.
520 *Πείροος*] *Πείρως* mss.; vid. *B* 844. || *ἄρ'*] **ἀπ'*?
521 *ἀναιδής*] *flecti nescius, implacabilis*, cf. *E* 593 *Ν* 139 *λ* 598 et ad *Γ* 56.
522 *ἀπηλοίησεν*] † (simplex *I* 568).
524 *ἐπέδραμεν*] *υπεδραμε* pap. 126. || **Ϝ'*] *ὅ* mss.; cf. *P* 600.
525 *Πείροος*] *Πείρως* mss.; vid. *B* 844.
526 *χολάδες*] redit versu parall. et h. Merc. 123.
527 *ἀπεσσυμένον*] *ἀπεσσύμενον* et *ἐπεσσύμενος* Ar.; pap. 126 et codd. plerique *ἐπεσσύμενον*, quod absurdum si *in Diorem* supplemus, contortum si *in Thoantem*. Propter vulnus *pectori* infixum Heyne aliique alteram Aristarchi lectionem *ἐπεσσύμενος* veram ducunt; at vid. *Ν* 567 *Ξ* 409 et praeterea *Ν* 516, 650 *Ξ* 461.
531 *γαστέρ' ἔτυψε*] *-ρα τύψε* mss. || *ἤνυτο*] *αἴνυτο* mss.
532 *οὐκ*] **οὔ Ϝ'*?
533 *ἀκρόκομοι*] †, vid. ad *B* 542.
536 *ἀλλήλοισ' ἐτετάσθην*] *-λοισι τετ.* mss.
537 *Θρηίκων*] vid. § 17.
539 *ὀνόσαιτο*] de optativo cf. vs. 223.

ὅς τις ἔτ᾽ ἄβλητος καὶ ἀνούτατος ὀξέι χαλκῷ
δινεύοι κατὰ μέσσον, ἄγοι δέ ϝε Παλλὰς Ἀθήνη
χειρὸς ἑλοῦσα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν· 542b cf. *P* 562
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέες ἐν κονίῃσι παρ᾽ ἀλλήλοισ᾽ ἐτέταντο.

---

540 *ἄβλητος*] †, vid. ad vs. 117. || *ἀνούτατος*] †, cf. *ἀνουτητί* *X* 371, *ἄουτος* *Σ* 536.

541 sq. *ἄγοι ... ἀπερύκοι*] optativi sequuntur modum enunciati primarii.

542 *ἑλοῦσα, ἀτὰρ*] hiatus vitiosus; non recte *ἑλοῦσ᾽ αὐτὰρ* pap. 126 et pars codicum, nam *αὐ-* nonnisi in arsi dicitur, vid. § 18 et ad *K* 99.

543 sq.] del. Bentley Heyne.

544 *ἀλλήλοισ᾽ ἐτέταντο*] *-λοισι τέτ.* mss.

ΙΛΙΑΔΟΣ Ε.

Διομήδους ἀριστεία.

ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
'δῶκε μένος καὶ θάρσος, ἵν' ἐκδέελος μετὰ πᾶσι
Ἀργεΐοισι γένοιτο ἰδὲ κλέος ἐσθλὸν ἄροιτο. 3^{b} = ν 422 cf. Σ 121
'δαῖέ Ϝοι ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ,
ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα 5 sq. cf. Λ 62 sq. Χ 26 sq.
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο·
τοῖόν Ϝοι πῦρ 'δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων, 7^{b} = Ρ 205
ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι 'κλονέοντο. 8^{b} = Π 285
ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων, 9^{a} = Κ 314 cf. υ 287
ἱρεὺς Ἡφαίστοιο· δύω δέ Ϝοι υἱέες ἤστην,
Φηγεὺς Ἰδαῖός τε, μάχης ἐὺ Ϝειδότε πάσης. 11^{b} = Β 823
τώ Ϝοι ἀποκρινθέντε ἐναντίω ὡρμηθήτην·
τὼ μὲν ἀφ' ἵπποιιν, ὃ δ' ἀπὸ χθονὸς ὤρνυτο πεζός.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 14 = Γ 15
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος.

---

2 *ἐκδέελος*] *ἔκδηλος* mss.; cf. Κ 466.

4] cf. Σ 205 sqq. Χ 134 sq. et Verg. Aen. VIII 620. || *Ϝοι*] *δέ οἱ* Ambr. et l. a. apud Eust.; hinc Leaf *δέ οἱ κόρυθος*; an **δέ Ϝ'(οι) ἐκ*? cf. § 13.

6 *παμφαίνῃσι*] cur subiunctivo poeta h. l. usus sit non liquet. || *λελουμένος*] vid. § 295. De re cf. Σ 489.

7 *Ϝοι πῦρ 'δαῖεν*] **πῦρ Ϝοι ἔδαιεν*?

9 *ἦν δέ τις ἐν*] *ἔσκε* (*ἦσκε*) *δ' ἐνὶ* mss. multa Ρ 575, idque hoc quoque loco legendum censet Nauck. Cf. Κ 314 Ν 663 ι 508 υ 287 et § 302.

10 *ἤστην*] *ἤτην* D L. Dual. †, cf. § 302.

12 *ἀποκρινθέντε*] comp. †. || *ὡρμηθήτην*] *ὁρμ.* mss. complura.

Τυδεΐδα' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ — 16 cf. Π 478
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὃ δ' ὕστερος ὤρνυτο χαλκῷ — 17 = Π 479 sq.
Τυδεΐδης· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς, — 18 sq.^{a} cf. Π 480
ἀλλ' ἔβαλε στῆθος μεταμάζιον, ὦσε δ' ἀφ' ἵππων. — 18^{b} = Λ 376
Ἰδαῖος δ' ἀπόρουσε λιπὼν περικαλλέα δίφρον,
οὐδ' ἔτλη περιβήμεν' ἀδελφεόο κταμένοιο·
οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν,
ἀλλ' Ἥφαιστος ἔρυτο, 'σάωσε δὲ νυκτὶ καλύψας,
ὡς δή Ϝοι μὴ πάγχυ γέρων ἀκαχημένος εἴη.
ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱὸς
'δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας. — 26 cf. Φ 32
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ 'Ϝίδον υἷε Δάρητος — 27 cf. Λ 459
τὸν μὲν ἀλευάμενον, τὸν δὲ κτάμενον παρ' ὄχεσφι, — 27^{a} = Ν 737
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ γλαυκῶπις Ἀθήνη — 29^{a} = Π 280 Σ 223
χειρὸς ἑλοῦσα Ϝέπεσσι προσηύδα θοῦρον Ἄρηα·
„Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα, — 31 = 455
οὔ κεν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
μάρνασθ', ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ;
νῶι δὲ χαζώμεσθα, Διὸς δ' ἀλεώμεθα μῆνιν."
ὣς Ϝειποῦσα μάχης ἐξήγαγε θοῦρον Ἄρηα.
τὸν μὲν ἔπειτα καθεῖσ' ἐπὶ ποιήεντι Σκαμάνδρῳ,
Τρῶας δ' ἔκλιναν Δαναοί· ἕλε δ' ἄνδρα Ϝέκαστος
ἡγεμόνων. πρῶτος δὲ Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
ἀρχὸν Ἁλιζώνων, Ὀδίον μέγαν, ἔκβαλε δίφρου·
πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε — 40^{b}-42^{a} = Λ 447 sqq.; 40^{b} sq. = Θ 258 sq.

---

16 *Τυδεΐδα'] -δεω δ' mss.; vid. § 55.

17 αὐτόν] pro μιν vel Ϝε recentis est aetatis; fortasse olim fuit ἔβαλέν Ϝε aut ἔβαλέν μιν (sic Nauck), sed verum videtur *ἔβαλέν Ϝ'· ὃ δὲ δεύτερος. Cf. Γ 349 Ε 855 Η 248, 268 Π 467 etc.; nonnisi versu parall. redit ὕστερος ita adhibitum. Vid. etiam Ε 703.

19 μεταμάζιον] †, cf. μέτωπον, μεταδόρπιος, μεταδήμιος et apud posteros μεταίχμιος, μεταπύργιον al.

21 περιβήμεν' § 125] -βῆναι mss. || ἀδελφεόο § 59] -φειοῦ mss.

28 ἀλευάμενον] l. a. ἀλευόμενον (Ar.? cf. vs. 444).

30 ἑλοῦσα ἔπεσσι G] ἑλοῦσ' ἐπέεσσι mss. cett. || προσηύδα] -δαε? cf. § 191.

31 Ἄρες] ἀρὲς Ixion (= βλαπτικέ), quoniam poeta nusquam alias voce bis deinceps usus est. Quem ita secutus est Bekker, ut pro positivo unde ἀρείων et ἄριστος ducta sunt haberet. Vid. ad Α 99. || τειχεσιπλῆτα] hic et versu parall.; vox ducta est a stirpe verbi πίλναμαι (πέλας). Male Zen. τειχεσιβλῆτα.

32 οὔ κεν § 326] οὐκ ἂν mss.

36 καθεῖσ' ἐπὶ ποιήεντι Naber] καθεῖσεν ἐπ' ἠιόεντι mss., quod adiectivum obscurum neque alias obvium veteres reddunt *herbosum*.

ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε. 41 sq.^{a} = χ 93 sq. 41 = 57
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 42 = Δ 504
'Ιδομενεὺς δ' ἄρα Φαῖστον ἐνήρατο, Μήονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει. 44 cf. P 350 Υ 485
τὸν μὲν ἄρ' Ἰδομενεὺς δουρὶ κλυτὸς ἔγχεϊ μακρῷ
'νύξ' ἵππων ἀποβησόμενον κατὰ δεξιὸν ὦμον· 46 sq.^{a} = Π 343 sq.
ἤριπε δ' ἐξ ὀχέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε. 47^{b} = N 672 Π 607
τὸν μὲν ἄρ' Ἰδομενῆος ἐσύλευον θεράποντες·
υἱὸν δὲ Στροφίοιο Σκαμάνδριον, αἵμονα θήρης,
Ἀτρεΐδης Μενέλαος ἕλ' ἔγχεϊ ὀξυόεντι,
ἐσθλὸν θηρητῆρα· 'δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
βαλλέμεν' ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.
ἀλλ' οὔ Ϝοι τότε γε 'χραῖσμ' Ἄρτεμις ἰοχέαιρα
οὐδὲ Ϝεκηβολίαι, ᾗσιν τὸ πρίν γ' ἐκέκαστο·
ἀλλά μιν Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος
πρόσθε Ϝέθεν φεύγοντα μετάφρενον οὔτασε δουρί. 56 = Υ 402
ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 58 cf. 294
Μηριόνης δὲ Φέρεκλον ἐνήρατο, Τέκτονος υἱὸν
Ἁρμονίδα', ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
τευχέμεν'· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
ὃς καὶ Ἀλεξάνδρῳ 'τεκτήνατο νῆας ἐϜίσας
ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσ' ἐγένοντο
Ϝοί τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατ' ἐϜείδει.

57 ὤμων μεσσηγὺς, διὰ δὲ στήθεσφιν ἔλασσε. 57 = 41
64 Ar. —

42] deest in mss. compluribus.
44 Τάρνης] *Sardium* vetus hoc esse nomen perhibet schol.
46 ἀποβησόμενον Naber] ἐπιβησόμενον mss., quod vHerwerden ita defendit ut pro participio aoristi mixti habeat coll. O 382 (vid. etiam H 15); sed futuri esse coll. Ψ 379 satis certum videtur. Cf. l. a. E 227 P 480.
49 αἵμονα] †. Vocem ignotae originis (confertur αἱμύλιος) nomen proprium *Haemon* (vid. Δ 296) tueri videtur. Peppmueller et Naber tentarunt ἴδμονα (neglecto Ϝ) coll. Hes. Theog. 377, vHerwerden αἵμονα ab ἄιω *intellego* repetens.
50 ὀξυόεντι] *acuto*. De forma adiectivi hic primum obvii (= ὀξέι) cf. § 69; male a subst. ὀξύη (*fagus*) derivabant quidam, in his Euripides Heraclid. 727.
52 βαλλέμεν' § 125] βάλλειν mss.
53 'χραῖσμ' Ἄρτεμις ἰοχέαιρα] χραῖσμεν θανάτοιο πέλωρα Zen. (cf. B 321).
54 Ϝεκηβολίαι] † (-λος Α 14 etc.).
57] e vs. 41 iteratum om. mss. complura.
59 Τέκτονος] τέκτονος quidam sec. Eustath., male; vid. θ 114 et ad Α 99.
60 Ἁρμονίδα' § 55] -δεω mss. ‖ πάντα] πολλὰ Ar. in altera ed.
61 τευχέμεν' § 125] τεύχειν mss.
63 ἀρχεκάκους] †. ‖ Τρώεσσ' ἐγένοντο] -σσι γένοντο mss.
64] θέσφατ' ἐϜείδει § 160] θέσφατα ᾔδη Ar., sic vel ᾔδει mss.

τὸν μὲν Μηριόνης, ὅτε δὴ κατέμαρπτε διώκων, 65ᵇ cf. Π 598
'βεβλήκει γλουτὸν κάτα δεξιόν· ἣ δὲ διὰ πρὸ
ἄντικρυς κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή. 67ᵃ = Ν 652
γνὺξ δ' ἔριπ' οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε. 68 cf. Υ 417
Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης, Ἀντήνορος υἱὸν,
ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
Ϝῖσα φίλοισι τέκεσσι, χαριζομένη πόσιι Ϝῷ.
τὸν μὲν Φυλεΐδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν 72ᵇ = Λ 396 Ξ 446
βεβλήκει κεφαλῆς κατὰ Ϝινίον ὀξέι δουρί·
ἄντικρυς δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν 'τάμε χαλκός.
ἤριπε δ' ἐν κονίῃ, ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι. 75ᵃ cf. Λ 743 Χ 330
Εὐρύπυλος δ' Ἐυαιμονίδης Ὑψήνορα δῖον,
υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου 78 cf. Π 605
ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὣς 'τίετο δήμῳ, 78ᵇ = Κ 33 Ν 218 cf. Δ 58 ξ 205
τὸν μὲν ἄρ' Εὐρύπυλος, Ἐυαίμονος ἀγλαὸς υἱὸς,
πρόσθε Ϝέθεν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον
φασγάνῳ ἀίξας, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν. 81ᵃ = Κ 456 χ 98 cf. Θ 88
αἱματόεσσα δὲ χεὶρ πεδίῳ 'πέσε· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. 83 = Π 334 Υ 477

ὣς οἳ μὲν 'πονέοντο κατὰ κρατερὴν ὑσμίνην· 84 = 627
Τυδεΐδην δ' οὔ κε γνοίης ποτέροισι μετείη, 84ᵃ = Η 442
ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι ἢ μετ' Ἀχαιοῖς.
'θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ϜεϜοικὼς
χειμαρόῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας·
τὸν δ' οὔτ' ἄρ τι γέφυραι ἐερμέναι ἰσχανάουσι,

---

67 ἄντικρυς § 31] ἀντικρὺ mss.
70 ἔην] ἔεν? vid. § 302.
71 πόσιι § 74] πόσεϊ mss.
74 ἄντικρυς § 31] ἀντικρὺ mss. || ὑπὸ] ἀπὸ Cauer; cf. Ε 292 Ρ 618.
75 ἐν κονίῃ] ἐν κονίῃς mss. nonnulla male, cf. § 57; l. a. ἐξ ὀχέων.
80 μεταδρομάδην] †.
82 πεδίῳ 'πέσε] vid. ad Λ 593.
85 οὔ κε § 326] οὐκ ἂν mss. || γνοίης] de optativo vid. ad Δ 223. || μετείη] de optativo cf. § 109.
86] spurium ducimus, quapropter noluimus sollicitare terminum -οις (§ 60); Nauck audacter ἢ Δαναοῖσι.
87 sq.] cf. Verg. Aen. X 603 sq.
88 χειμαρόῳ § 61] χειμάρρῳ mss. || ἐκέδασσε] *disiecit*; eleganter Naber et Nauck ἐκέασσε coll. Verg. Aen. II 496 *aggeribus ruptis*; vid. etiam Lucret. I 285 sq. Coniecturae favet l. a. Π 347, sed κεάσσαι *findere* significare, non *rumpere*, iure observavit vHerwerden; vid. ε 132 (= η 250) etc.
89 τι Etym. M. 478,42] τε mss. || ἐερμέναι Ar.] ἐεργμέναι mss.; cf. § 277. || ἰσχανάουσι § 191] -νόωσι mss.

οὔτ' ἄρα Ϝερκεά Ϝ' ἴσχει ἀλωάων ἐριθηλέων,
ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος· 91^{b} = Μ 286 cf. ω 344
πολλὰ δ' ὑπ' αὐτοῦ Ϝέργα κατήριπε κάλ' αἰζηῶν.
ὣς ὑπὸ Τυδεΐδῃ πυκιναὶ 'κλονέοντο φάλαγγες
Τρώων, οὐδ' ἄρα μιν 'μίμνον πολέες περ ἐόντες.
τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς 95^{a} = Λ 248 Φ 49 cf. Γ 21
θύνοντ' ἂμ πεδίον, πρὸ Ϝέθεν κλονέοντα φάλαγγας,
αἶψ' ἐπὶ Τυδεΐδῃ ἐτιταίνετο καμπύλα τόξα,
καὶ 'βάλ' ἐπαΐσσοντα, τυχὼν κατὰ δεξιὸν ὦμον, 98^{b} = τ 452
θώρηκος γύαλον· διὰ δ' ἔπτατο πικρὸς ὀιστὸς, 99 cf. Ν 587
ἄντικρυς δὲ διέσχε, 'παλάσσετο δ' αἵματι θώρηξ. 100^{a} = Λ 253 Υ 416 cf. Ψ 876 τ 453
τῷ δ' ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός· 101 = 283
„ὄρνυσθε, Τρῶες μεγάθυμοι, κέντορες ἵππων· 101^{a} = Θ 160 cf. Ε 347
βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ Ϝέ φημι
δϜήθ' ἀνσχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
ὦρσε Ϝάναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν.“
ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ 'δάμασσε,
ἀλλ' ἀναχωρήσας πρόσθ' ἵπποιιν καὶ ὄχεσφι
ἔστη, καὶ Σθένελον προσέφη, Καπανήιον υἱόν·
„ὄρσο, πέπον Καπανηιάδη, καταβήσεο δίφρου,
ὄφρα μοι ἐξ ὤμοιο Ϝερύσσῃς πικρὸν ὀιστόν.“
ὣς ἄρ' ἔφη, Σθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε,
πὰρ δὲ στὰς βέλος ὠκὺ διαμπερὲς ἐκϜέρυσ' ὤμου·
αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
„κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη. 115 = δ 762 ζ 324; 115^{a} = Κ 278
εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
δηίῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φῖλαι, Ἀθήνη· 117^{b} sq.^{a} cf. Κ [280 sq.

90 *Ϝέρκεα*] vocis littera initialis plerisque locis intercidit, hic tamen hiatum explet; cf. σ 102. || *Ϝ'] adiecimus. || *ἐριθηλέων*] synizesis necessaria; cf. § 8 et 73.

99 *ἔπτατο*] cf. § 216.

100 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.

104 *ἀνσχήσεσθαι*] sic Ar., *δηθὰ σχήσεσθαι* mss. nonnulla, quae lectio fluxit e vetusta scribendi ratione *δηθ' ἄσχεσθαι* (sic Zen.? vid. Β 694), cf. § 10. || *βέλος*] sic Ar., *μένος* Genev.

112 *διαμπερὲς*] *per ipsum vulnus*, ita ut cuspidem sagittae a parte opposita protraheret (quominus e vulnere retraheret obstabant hami; cf. Λ 844). || *ἐκϜέρυσ'*] *ἐξέρυσ'* mss.

113 *ἀνηκόντιζε*] comp. †. || *στρεπτοῖο*] tunicae epitheton etiam Φ 31 obvium quid significet non constat; cf. Helbig Hom. Epos[1] p. 198.

115 *μοι*] *μευ* mss. nonnulla. Cf. Λ 37 Κ 278 β 262 δ 762 ζ 239, 324 ο 172 et § 92.

δὸς δέ τέ μ' ἄνδρα Ϝελεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησι
δϜηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο." [sq.
  ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη, 121 sq. = Ψ 771
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθε, 121 = γ 385 ζ 328 cf. Κ 295
ἄγχι δέ Ϝ' ἱσταμένη Ϝέπεα πτερόεντα προσηύδα· 122 = Ν 61
  „θαρσῶν νῦν, Διόμηδες, ἐπὶ Τρώεσσι μάχεσθαι· 122[b] = Ρ 541 Φ 453 μ 248 χ 173, 406 cf. Ν 75
ἐν γάρ τοι στήθεσσι μένος πατρώιον ἧκα 123 = Δ 92
ἄτρομον, οἷον ἔχεσκε σακεσπάλος ἱππότα Τυδεύς·
ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
τῷ νῦν, αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
μή τι σύ γ' ἀθανάτοισι θεοῖσ' ἀντικρὺ μάχεσθαι 130[b]-132 = 819 sqq.
τοῖσ' ἄλλοισ'· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
ἔλθῃσ' εἰς πόλεμον, τήν γ' οὐτάμεν' ὀξέι χαλκῷ."
  ἣ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη, 133 = α 319 ζ 41
Τυδεΐδης δ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη, 134 cf. Θ 99 Ν 642 Ο 457
καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι.
δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥς τε λέοντα,
ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοισ' ὀίεσσι
χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσῃ·
τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ Ϝ' οὐ προσαμύνει,
ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται.
αἳ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
αὐτὰρ ὃ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς·
ὣς μεμαὼς Τρώεσσι 'μίγη κρατερὸς Διομήδης.

---

118 *δὸς δέ*] l. a. *τόνδε* (Rhiani? vid. Ludwich Arist. I p. 252). || *Ϝελεῖν*] si sanum est verbum, suum Ϝ hoc loco servasse videtur (Heyne *ἀνέρ' ἑλεῖν*, Fick *ἄνδρ' ἑλέμεν*), sequens autem infinitivus *ἐλθεῖν* aut *me venturum* est vertendus aut mutato subiecto *eum*. Propter verborum structuram contortam Nauck coniecit *δὸς δέ μοι ἀντιάσαι*.

123 **ἄγχι δέ Ϝ'(οἱ)* § 318] *ἀγχοῦ δ'* mss.

126 *σακεσπάλος*] †.

128 *γιγνώσκῃς*] *-οις* mss. multa. || *ἠδὲ καὶ ἄνδρα*] *ἠδ' ἄνθρωπον* Zen.

132 *τήν γ' οὐτάμεν*] sic et *τὴν οὐτάμεν* Ar., *τὴν οὐτάσαι* Zen.

135 *μάχεσθαι.* HStephanus] vulgo virgula ponitur, ut sit anacoluthon (vid. ad *Β* 353).

136 *τρὶς τόσσον*] cf. *Δ* 213. || *ἕλεν*] Ptolemaeus Oroandae *ἔχεν*.

138 *χραύσῃ*] cf. § 179.

139 **Ϝ'*] *τ'* mss.

140 *τὰ*] inter *ὀίεσσι* vs. 137 et *αἱ* vs. 141 incommodum; quapropter Naber *τὰ δὲ μῆλα* coniecit coll. *Κ* 485. Vid. tamen *Π* 353. || *φοβεῖται*] **φέβονται?*

141 *κέχυνται*] cf. *χ* 387-389.

142] del. PKnight. || *ὃ*] **ὅς?* Alii *ὅ γ'*. Cf. § 15. || *ἐμμεμαὼς*] *ἐμμαπέως* Bentley coll. vs. 836. || *βαθέης*] vid. § 75.

ἔνθ' ἕλε Ϝαστύνοον καὶ Ὑπείρονα, ποιμένα λαῶν,
τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρὶ, 145 cf. Λ 108; 145ᵇ = χ 92
τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῖδα παρ' ὦμον
'πλῆξ', ἀπὸ δ' αὐχένος ὦμον ἐϝέργαθεν ἠδ' ἀπὸ νώτου.
τοὺς μὲν ἔασ', ὃ δ' Ἄβαντα μετῴχετο καὶ Πολύϝιδον, 148ᵃ = Λ 148, 426
υἱέας Εὐρυδάμαντος, ὀνειροπόλοιο γέροντος,
τοῖσ' οὐκ ἐρχομένοισ' ὁ γέρων ἐκρίνατ' ὀνείρους,
ἀλλά σφε κρατερὸς Διομήδης ἐξενάριξε.
'βῆ δὲ μετὰ Ξάνθον τε Θόωνά τε, Φαίνοπος υἷε,
ἄμφω τηλυγέτω· ὃ δ' ἐτείρετο γήραϊ λυγρῷ,
υἱὸν δ' οὐ 'τέκετ' ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
ἔνθ' ὅ γε τοὺς ἐνάριζε, φίλον δ' ἐξήνυτο θυμὸν
ἀμφοτέρω, πατέρι δὲ γόον καὶ κήδεα λυγρὰ
'λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχης ἒκ νοστήσαντε 157 cf. Ω 705; 157ᵇ cf. Ρ 207 Χ 444
'δέξατο· χηρωσταὶ δὲ διὰ κτῆσιν 'δατέοντο.
ἔνθ' υἷε Πριάμοιο δύω 'λάβε Δαρδανίδαο 158 cf. Hes. Theog. 606 sq.
ἐν ἑνὶ δίφρῳ ἐόντε, Ἐχέμμονά τε Χρομίον τε. 160ᵃ = 609 Λ 103, 127
ὡς δὲ λέων ἐν βουσὶ θορὼν ἐξ αὐχένα ϝάξῃ
πόρτιος ἠδὲ βοὸς, ξύλοχον κάτα βοσκομενάων,
ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
'βῆσε κακῶς ἀϝέκοντας, ἔπειτα δὲ τεύχε' ἐσύλα.
ἵππους δ' οἷσ' ἑτάροισι 'δίδου μετὰ νῆας ἐλαύνειν.
τὸν δ' ἔϝιδ' Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν,
'βῆ δ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχεϊάων 167 cf. Υ 319
Πάνδαρον ἀντίθεον διζήμενος, εἴ ποθ' ἐφεύροι. 168 cf. Δ 88
ηὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε, 169 = Δ 89
'στῆ δὲ πρόσθ' αὐτοῖο ϝέπος τέ μιν ἀντίον ηὔδα·

---

144 *Ὑπείρονα*] *Ὑπήνορα* M N, fortasse recte.
146 *τὸν δ' ἕτερον*] *τοῦ δ' ἑτέρου* Zen.
148 *ὃ δ'*] vid. ad *Λ* 191.
149 *ὀνειροπόλοιο*] vid. ad *Λ* 63.
150 *ἐρχομένοισ' ὁ*] -*νοισι*? — Vert. *Troiam proficiscentibus*, cf. vs. 198.
151 **σφε* § 92] *σφεας* mss.
153 *τηλυγέτω*] ad *Γ* 175.
155 *ἐνάριζε*] -*ξε* mss. complura. || *ἐξήνυτο*] *ἐξαίνυτο* mss.
156 *ἀμφοτέρω*] -*ρων* Zen.
158 *χηρωσταί*] †.
159 sq. *υἷε ... ἐόντε* Ahrens] *υἷας ... ἐόντας* mss.; cf. vs. 608 sq.
160 *ἐν* § 315] *εἰν* mss.
162 *πόρτιος*] *βουκόλου* Zen. || *ἠδὲ* Bentley] *ἠὲ* mss.
165 *οἷσ'*] vitiosum pro *ϝοῖσ'*; Heyne *αὖ*, Nauck *αὖθ'*.
166] cf. Verg. Aen. X 721. || *ἔϝιδ'*] *ἴδεν* mss.
168 *ποθ'* § 322] *που* mss.
170 *ϝέπος — ηὔδα*] de duplici accusativo vid. ad *Μ* 60.

„Πάνδαρε, ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ 171 cf. Ο 440[b] sq.[a] [sq.
καὶ κλέος; ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ,
οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται ἔμμεν' ἀμείνων.
ἀλλ' ἄγε τῷδ' ἔφες ἀνδρὶ βέλος, Διὶ χεῖρας ἀνασχών,
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ϝέϝοργε 175 sq. = Π 424
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε· 175[b] = Θ 356; 176 cf. Ν 360[b] Ξ 236
εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσι,
ἱρῶν μηνίσας. χαλεπὴ δὲ θεοῖ' ἔπι μῆνις."
τὸν δ' αὖτε προσέϝειπε Λυκάονος ἀγλαὸς υἱός·
„Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 180 = Ρ 485
Τυδεΐδῃ μιν ἐγώ γε δαΐφρονι πάντα ϝεϝίσκω, 180[a] = Ν 463 Υ 83
ἀσπίδι γιγνώσκων αὐλώπιδί τε τρυφαλείῃ
ἵππους τ' εἰσοράων· σάφα δ' οὐ ϝοῖδ' εἰ θεός ἐστι.
εἰ δ' ὅ γ' ἀνήρ, ὅν φημι, δαΐφρων Τυδέος υἱός,
οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
ἕστηκ' ἀθανάτων, νεφέλῃ ϝεϝλυμένος ὤμους,
ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
ἤδη γάρ ϝοι ἐφῆκα βέλος, καί μιν 'βάλον ὦμον
δεξιόν, ἄντικρυς διὰ θώρηκος γυάλοιο·
καί μιν ἐγώ γ' ἐφάμην Ἀϝιδωνῆι προϊάψειν,
ἔμπης δ' οὐκ ἐδάμασσα· θεός νύ τίς ἐστι κοτήεις.
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίην· 192 cf. Ξ 299
ἀλλά ποθ' ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
καλοὶ πρωτοπαγεῖς νεοτευχέες· ἀμφὶ δὲ πέπλοι
πέπτανται· παρὰ δέ σφι ϝεκάστῳ δίζυγες ἵπποι 195[b] = Κ 473
ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας. 196[b] = Θ 564
ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
ἐρχομένῳ ἐπέτελλε δόμοισ' ἔνι ποιητοῖσι·

183 Ar. — || 187 Zen. —

173 *ἔμμεν'* § 125] *εἶναι* mss.
178 *μηνίσας.*] virgulam ponunt Ameis et Leaf. || *θεοῖ'* § 59] *θεοῦ* mss. || *ἔπι μῆνις*] *ἐπίμηνις* uno vocabulo Ar.; cf. *Κ* 19.
181 *μιν*] *μὲν* mss. pauca, Ar. utrumque; hinc *μὲν ἐγώ ϝε* tentavit APlatt.
183 *εἰσοράων* § 191] *-ρόων* mss.
186 *ϝεϝλυμένος* § 265] *εἰλυμένος* mss.
188 *ϝοι ἐφῆκα*] **ϝ' ἐφέηκα*?
189 *ἄντικρυς* § 31] *ἀντικρύ* mss.
190 *προϊάψειν*] *-ψαι* LaRoche coll. vs. 102 sqq.: *interfecisse eum mihi videbar.*
191 *κοτήεις*] †, cf. § 69.
193 *ποθ'* § 322] *που* mss.
194 *πρωτοπαγεῖς*] § 73; cf. *Ω* 267. Zen. mutabat vulgatam, sed periit eius lectio || *νεοτευχέες*] †, cf. *-τευκτος* *Φ* 592. || *πέπλοι*] *εὖ πεπυκασμένοι* dicuntur currus (curruum capsi) *Β* 777.
198 *ἐρχομένῳ*] vid. ad vs. 150.

ἵπποισίν μ' ἐκέλευε καὶ ἅρμασιν ἐμβεβαῶτα
ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας· 200 cf. *B* 345
ἀλλ' ἐγὼ οὐ 'πιθόμην, — ἦ κεν πολὺ κέρδιον ἦεν, — 201 = *X* 103 ι 228
ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς
ἀνδρῶν Ϝελλομένων, εἰωθότες ἔδμεναι ἅδην.
ὣς 'λίπον, αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα, 204 cf. *Λ* 230
τόξοισιν πίσυνος· τὰ δέ μ' οὐκ ἄρα 'μέλλον ὀνήσειν. 204ᵇ cf. *Φ* 81, 156
ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσ' ἐφέηκα,
Τυδεΐδῃ τε καὶ Ἀτρεΐδῃ, ἐκ δ' ἀμφοτέροιιν
ἀτρεκὲς αἷμ' ἔσσευα βαλών, ἤγειρα δὲ μᾶλλον.
τῷ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα 209ᵇ cf. *φ* 53
ἤματι τῷ ἑλόμην, ὅτε Ϝίλιον εἰς ἐρατεινὴν
ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
εἰ δέ κε νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι
πατρίδ' ἐμὴν ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα,
αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, 214 sq.ᵃ = *π* 102 sq.
εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην
χερσὶ διακλάσσας· ἀνεμώλια γάρ μοι ὀπηδεῖ."
τὸν δ' αὖτ' Αἰνείας, Τρώων ἀγός, ἀντίον ηὔδα·
„μὴ δ' οὕτως ἀγόρευε· πάρος δ' οὐκ ἔσσεται ἄλλως,
πρίν γ' ἐπὶ νῶι τῷ ἀνδρὶ σὺν ἵπποισιν καὶ ὄχεσφι
ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι. 220ᵇ cf. *X* 381
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα Ϝίδηαι 221-223 = *Θ* 105 sqq.
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι·

---

199 *ἐμβεβαῶτα*] sic Ar., alii *ἐμμεμαῶτα*.
200 *ἀρχεύειν*] cf. *B* 345.
201 **κεν*] *τ' ἂν* mss.; cf. § 326.
203] del. PKnight. || *Ϝελλομένων* Cobet] *εἰλομένων* mss., cf. § 265. || *ἅδην* Ar.] *ἄδδην* mss. Prior syllaba ceteris locis (*N* 315 *T* 423 *ε* 290) corripitur.
204 *Ἴλιον*] neglecto *Ϝ*; coniecimus **ἔλιπον, πεζὸς δ' εἰς Ϝίλιον*.
205 *ἄρα μέλλον* Bekker] *ἄρ' ἔμελλον* vel *-λλεν* mss. vitio metrico, cf. § 3.
206-208] del. Lachmann, *ὁρκίων σύγχυσιν* huius episodii poetae ignotam fuisse ratus.
206 **ἀριστήεσσ' ἐφέηκα*] *-εσσιν ἐφῆκα* mss.
211 *Ἕκτορι δίῳ*] l. a. *ἱπποδάμοισι* ab Ar. reiecta.
212 *ἐσόψομαι*] vid. § 152.
215 *φαεινῷ*] hiatus illicitus, cf. § 14; **φαεντάτῳ*? vid. ad *ν* 93. || *θείην*] **θήσω*? cf. *B* 261. Versus *π* 103 non eadem est ratio.
216 *διακλάσσας*] comp. †.
219 **νῶι τῷ*] *νὼ τῷ* D, *νὼ τῷδ'* mss. cetera; cf. § 92. — Eodem ordine collocata sunt verba *Σ* 317; malumus tamen **πρὶν τῷδ' ἄνδρ'(ι) ἔπι νῶι*.
222 *Τρώιοι*] cf. vs. 265 sqq.; item *Ψ* 291, 378, et *Νηλήιαι* (-οι) *Λ* 597. || *πεδίοιο*] de genitivo vid. ad *B* 785.

τὼ καὶ νῶι πόλινδε σαώσετον, αἴ κέ περ αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδεϊ κῦδος ὀρέξῃ.
ἀλλ' ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι·
ἠὲ σὺ τόνδε δέδεξο, μελήσουσιν δ' ἐμοὶ ἵπποι."
τὸν δ' αὖτε προσέϝειπε Λυκάονος ἀγλαὸς υἱός·
„Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ' ἡνία καὶ τεὼ ἵππω·
μᾶλλον ὑφ' ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
οἴσετον, αἴ κέ περ αὖτε φεβώμεθα Τυδέος υἱόν.
μὴ τὼ μὲν δϝείσαντε ματήσετον οὐδ' ἐθέλητον
ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε,
νῶι δ' ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς
αὐτώ τε κτείνῃ καὶ ἐλάσσῃ μώνυχας ἵππους.
ἀλλὰ σύ γ' αὐτὸς ἔλαυνε τέ' ἅρματα καὶ τεὼ ἵππω,
τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέι δουρί."
ὣς ἄρα φωνήσαντε, ἐς ἅρματα ποικίλα βάντε,
ἐμμεμαῶτ' ἐπὶ Τυδεΐδῃ ἔχον ὠκέας ἵππους.
τοὺς δ' ἔϝιδε Σθένελος, Καπανήιος ἀγλαὸς υἱός,
αἶψα δὲ Τυδεΐδην ϝέπεα πτερόεντα προσηύδα·
„Τυδεΐδη Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ,
ἄνδρ' ὁράω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
ϝῖν' ἀπέλεθρον ἔχοντε· ὁ μὲν τόξων ἐὺ ϝειδώς,
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι·
Αἰνείας δ' υἱὸς μεγαλήτορος Ἀγχίσαο

226 cf. P 479
226b = ζ 81
227 = P 480
228b = K 481
236 cf. P 496
243 = 826 K 234 cf. Λ 608 T 287 δ 71
245b = B 718
247 sq. cf. Y 208 [sq.
247 cf. 468

224 *αἴ κέ περ] εἴ κεν ἂν Vrat. a, εἴ περ ἂν mss. cetera. Cf. § 326.

227 ἀποβήσομαι Ar.] ἐπιβήσομαι Zen. et mss. nonnulla inepte, currum enim conscensurus est *uterque* (vid. vs. 239) neque satis commode interpreteris *ego vero eo consilio currum conscendam ut pugnem*: quod si in animo habuisset poeta, dixisset ἐγὼ δ' ἅμα σοὶ ἐπιβήσομαι vel simile quid. Zenodoti lectionem peperisse videtur versus 294, unde apparet Pandarum *non* de curru descendisse. Aristarchi vero lectionem tuetur locus parallelus (P 480-483), quamquam male eam interpretabatur Ar. ἀποβήσομαι τῆς τῶν ἵππων φροντίδος. Vertimus *ego vero* (*cum Diomedem assecuti erimus*) *de curru desiliam ut eum aggrediar*; quemadmodum ipse quoque Diomedes more heroico non de curru pugnat (vid. vs. 13, 107 sqq., 249 et ad Δ 306).

231 εἰωθότι] sic Ar., alii olim -θότε.

232 *αἴ κέ περ] εἴ περ ἂν mss. Cf. § 326.

233 οὐδ'] vid. ad Γ 289.

234 ποθέοντε] -ντες mss. pauca.

239 φωνήσαντε ... βάντε] -ντες ... -ντες mss. pleraque.

243 ἐμῷ — θυμῷ] cf. Verg. Aen. XII 142 *animo gratissima nostro.*

244 ὁράω § 191] ὁρόω mss.

245 ἔχοντε] -ντας mss. pleraque.

247 sq. υἱὸς ... εὔχεται ἐκγεγάμεν] cf. φ 335 γένος εὔχεται ἔμμεναι υἱός.

247 μεγαλήτορος] μὲν ἀμύμονος mss. pleraque.

εὔχεται ἐκγεγάμεν, μήτηρ δέ ϝοί ἐστ' Ἀφροδίτη.
ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων, μηδέ μοι οὕτως 249 cf. Ω 356
θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς. 250ᵃ cf. Λ 342 Υ 412
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κρατερὸς Διομήδης·
„μή τι φόβονδ' ἀγόρευ', ἐπεὶ οὐ πείσεσθαι ὀίω·
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι
οὐδὲ καταπτώσσειν· ἔτι μοι μένος ἔμπεδόν ἐστι· 254ᵇ = φ 426
ὀκνείω δ' ἵππων ἐπιβαινέμεν', ἀλλὰ καὶ αὔτως
ἀντίον εἶμι· τρέειν μ' οὐκ εἴαε Παλλὰς Ἀθήνη.
τούτω δ' οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι
ἄμφω ἀφ' ἡμείων, εἴ κ' οὖν ἕτερός γε φύγῃσι.
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 259 = Λ 297
αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
αὐτόθ' ἐρυκακέμεν, ἐξ ἄντυγος ἡνία τείνας,
Αἰνείαο δ' ἐπαΐξαι μεμνημένος ἵππων, 263 cf. 323
ἐκ δ' ἐλάσαι Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς. 264 cf. 324
τῆς γάρ τοι γενεῆς, ἧς Τρωί περ εὐρύϝοπα Ζεὺς
'δῶχ' υἷος ποινὴν Γανυμήδεος, οὕνεκ' ἄριστοι
ἵππων ὅσσοι ἔασιν ὑπ' ἠόα τ' ἠέλιόν τε·
τῆς γενεῆς ἔκλεψε ϝάναξ ἀνδρῶν Ἀγχίσης,
λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.
τῶν ϝοι ϝὲξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη·

249 sq. Zen. — ut videtur

249 ἐφ' ἵππων] Ar. interpretabatur *versus currum*, sed contextus poscit *in curru stantes* (item Ω 356); cf. vs. 261.

252 φόβονδ' ἀγόρευ'] cf. φύγαδ' ἐμνάοντο Π 697. || *οὐ πείσεσθαι ὀίω] οὐδέ σε (με) πεισέμεν οἴω mss.; vitiosum est οἴω disyllabum, vid. § 292*.

253 μοι] ἐμοὶ Nauck. || γενναῖον] †.

256] ἀντίον εἶμ' αὐτῶν· τρεῖν μ' (δ') οὐκ ἔα (ἐᾷ) mss., sed ferri nequeunt monosyllaba τρεῖν et ἔα vel ἐᾷ. Ahrens τρείειν (τρεέμεν Nauck) μ' οὐκ εἴα Ἀθήνη, sed αὐτῶν potius delendum esse quam Παλλὰς intellexit Menrad, minus recte tamen scribens εἰᾷ, formam nihili (cf. § 191). Imperfectum recurrit e. g. vs. 819 et σ 25.

258 κ' Akers] γ' Ar. mss.; cf. Π 30.

260 πολύβουλος] adiectivum nonnisi π 282 redit.

261 κτεῖναι] κτάμεναι? cf. vs. 301.

262 αὐτόθ' § 322] αὐτοῦ mss. || ἐρυκακέμεν § 126] -κέειν mss.

263 Αἰνείαο] Αἰνείωο Zen., item vs. 323; quae forma non a nominativo Αἰνείως est deducta (ut putabat Ariston.) sed diectasi ex Αἰνείω metri causa conficta, cf. § 191.

265 ἧς] non attractioni (quam Homerus Hesiodus Pindarus non admiserunt) debetur genitivus sed *unde* valet. Bekker ἥν.

267 ἠόα § 77] ἠῶ mss.

269 ὑποσχὼν] ἐπισχὼν Naber coll. Ι 489.

270 γενέθλη] l. a. γενέθλης.

τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ, 271 cf. Ω 280
τὼ δὲ δύ' Αἰνείᾳ 'δῶκεν, μήστωρι φόβοιο.
εἰ τούτω γε λάβοιμεν, ἀροίμεθά κε κλέος ἐσθλόν." 273ᵃ = Θ 196
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
τὼ δὲ τάχ' ἐγγύθεν ἦλθον ἐλαύνοντ' ὠκέας ἵππους.
τὸν πρότερος προσέϝειπε Λυκάονος ἀγλαὸς υἱός·
„καρτερόθυμε, δαΐφρον, ἀγανοῦ Τυδέος υἱέ,
ἦ μάλα σ' οὐ βέλος ὠκὺ 'δαμάσσατο, πικρὸς ὀιστός·
νῦν αὖτ' ἐγχείῃ πειρήσομαι, αἴ κε τύχωμι."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 280 = Γ 355
καὶ 'βάλε Τυδεΐδαο κατ' ἀσπίδα· τῆς δὲ διὰ πρὸ
αἰχμὴ χαλκείη πταμένη θώρηκ' ἐπελάσθη.
τῷ δ' ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός· 283 = 101
„βέβλησαι κενεῶνα διαμπερές, οὐδέ σ' ὀίω
δϝηρὸν ἔτ' ἀνσχήσεσθαι· ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκας." 285ᵇ cf. Λ 288
τὸν δ' οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης· 286 = Λ 384 cf. Υ 430
„ἤμβροτες, οὐδ' ἔτυχες· ἀτὰρ οὐ μὲν σφῶΐ γ' ὀίω
πρὶν ἀποπαύσεσθαι, πρίν γ' ἢ ἕτερόν γε πεσόντα 288ᵇ sq. = Χ 266 sq.
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν." 289 = Υ 78
ὣς φάμενος προέηκε· βέλος δ' ἴθυνεν Ἀθήνη
ῥῖνα παρ' ὀφθαλμόν, λευκοὺς δ' ἐπέρησεν ὀδόντας.
τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν 'τάμε χαλκὸς ἀτειρής,
αἰχμὴ δ' ἐξῆλθεν παρὰ νείατον ἀνθερεῶνα.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ 294 = Θ 260 cf. E 58
αἰόλα παμφανάοντα, παρέτρεσσαν δέ ϝοι ἵπποι

272 μήστωρι Z[1] Plat. Lach. 191 *b*] μήστωρε Ar. et mss. cetera (cf. *B* 767). Redit varietas *Θ* 108.

273 γε IHVoss] κε mss.

279 τύχωμι A] τύχοιμι mss. cetera.

281 τῆς] ἧ LaRoche probabiliter coll. locis similibus *E* 66 *H* 260 *Υ* 276.

282 πταμένη] cf. § 216. || θώρηκ' ἐπελάσθη] -κι πελ. mss.

284 βέβλησαι § 117] βέβληαι mss.

288 πρὶν L] πρίν γ' mss. cett. || πρίν γ' ἢ] πρὶν δὴ Nauck.

289 ἆσαι] hoc uno loco Homerico post enunciatum negativum voculae πρὶν subicitur infinitivus.

291-293] dum caput demittit Pandarus ut hastam vitet, feritur; sic Leaf bene explicat locum, qui multum torsit interpretes (putabant alii ex edito loco pugnare Diomedem, alii miraculum fieri, alii aliter).

293 ἐξῆλθεν Ahrens] ἐξελύθη Ar., ἐξεσύθη Zen. et mss. multa, qui aoristus †, tragicis autem relinquendus videtur; mss. nonnulla ἐξεχύθη, -λάθη, -συτο. E litteris *ΕΞΕΛΥΘΕ* „d. i. nach unserer Orthographie ἐξῆλθεν" vulgatam esse ortam perspexit Ahrens; Brandreth et Christ ediderunt ἐξέλυθεν. Cf. vs. 658.

295 παμφανάοντα § 191] -νόωντα mss. || παρέτρεσσαν] comp. †.

ὠκύποδες· τοῦ δ' αὖθι 'λύθη 'ψυχή τε μένος τε. 296 = Θ 123, 315
Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι δουρί τε μακρῷ,
δϝείσας μή πώς ϝοι ϝερυσαίατο νεκρὸν Ἀχαιοί.
ἀμφὶ δ' ἄρ' αὐτῷ ἔβαινε λέων ὣς ἀλκὶ πεποιθώς, 299 cf. *P* 4
πρόσθε δέ ϝοι δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐϝίσην, 300 sq. = *P* 7 sq.
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ' ἀντίος ἔλθοι,
σμερδαλέα ϝιϝάχων. ὃ δὲ χερμάδιον 'λάβε χειρὶ 302 = Θ 321 *Υ* 285
Τυδεΐδης, μέγα ϝέργον, ὅ γ' οὔ κε δύ' ἄνδρε φέροιεν, 303 cf. *Υ* 286
οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα 'πάλλε καὶ οἶος. 304 = *M* 449 *Υ* 287
τῷ 'βάλεν Αἰνείαο κατ' ἰσχίον, ἔνθα τε μηρὸς 304[a] = *M* 383 cf. *Δ* 272
ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι·
'θλάσσε δέ ϝοι κοτύλην, πρὸς δ' ἄμφω 'ρῆξε τένοντε·
ὦσε δ' ἀπὸ ῥινὸν τρηχὺς λίθος. αὐτὰρ ὅ γ' ἥρως
ἔστη γνὺξ ἐριπὼν καὶ 'δράξατο χειρὶ παχείῃ 309 cf. *Λ* 355
γαίης· ἀμφὶ δέ ϝ' ὄσσε κελαινὴ νὺξ ἐκάλυψε. 310 = *Λ* 356
καί νύ κεν ἔνθ' ἀπόλοιτο ϝάναξ ἀνδρῶν Αἰνείας,
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε Διὸς θυγάτηρ Ἀφροδίτη, 312 = Γ 374
μήτηρ, ἥ μιν ὑπ' Ἀγχίσῃ 'τέκε βουκολέοντι·
ἀμφὶ δὲ ϝὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ,
πρόσθε δέ ϝοι πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψε,
ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων 316[b] sq. = 345 sq.
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο. 317 cf. *υ* 62
ἣ μὲν ἑϝὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο· 318 cf. 377
οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων

---

297 *ἀπόρουσε*] de curru; *ἐπόρουσε* mss. nonnulla.

299 *ἔβαινε*] *βαῖνε* mss.

301 *τοῦ γ'*] interfecti. Leaf mavult *ἕο.* || *ἀντίος*] *-ον* mss. nonnulla.

302[b]-304[a]] imitatur Verg. Aen. XII 897-900.

303 *ϝέργον*] *facinus* (non = *χρῆμα* apud posteros). || *ὅ γ' οὔ κε δύ'*] *ὃ οὐ δύο* (*γ'*) mss.; Naber restituit *κε* (*οὐ δύο κ'*), nos praeterea inseruimus *γ'* ad explendum hiatum. PKnight *ὃ κ' οὐ δύο γ'*, Nauck *ὃ κ' οὐ δύω,* verba minus feliciter ordinantes. Cf. *M* 447.

304 *μιν ῥέα*] nonne **ῥεῖά ϝε*? Cf. *Λ* 637 *M* 381 et de forma correpta *ῥέα* § 88.

306 *ἐνστρέφεται*] comp. †.

309 **'δράξατο*] *ἐρείσατο* mss., quod verbum genitivum non admittit. Genuinam lectionem norat Theocritus XXV 145, vulgata non defenditur versu Hes. Scut. 362. Cf. *Λ* 425 *N* 393 *Π* 486.

310 *δέ ϝ'(ε)* vHerwerden] *δὲ* mss., Eust. *δέ οἱ*; cf. *Λ* 356, 417.

311 *ἀπόλοιτο*] optativus insolite adhibitus, item *Δ* 232 *B* 81, 242, *E* 388 (*P* 70?); cf. *Γ* 453 *M* 465. Fortasse **ὤλετ' ἄρ' ἔνθα*; vHerwerden *ἔνθ' ἀπολώλε'* (neglecto ϝ vocis *ϝάναξ*). Cf. § 109.

315 *πτύγμ'*] †. || *ἐκάλυψε*] *protegendi* sensu verbum etiam *P* 132 *X* 313 usurpatur; cf. praeterea *Φ* 321.

316 *ἔμεν*] forma suspecta, cf. § 126.

317 *στήθεσσι*] *-σφι?* vid. ad *M* 401. || *ἕλοιτο*] Ar. (?) *ὄλοιτο.*

τάων ἅς Ϝ' ἐπέτειλε βοὴν ἀγαθὸς Διομήδης,
ἀλλ' ὅ γε τοὺς μὲν ἑϜοὺς ἠρύκακε μώνυχας ἵππους
νόσφιν ἀπὸ φλοίσβοι', ἐξ ἄντυγος ἡνία τείνας, 322ª cf. *K* 416
Αἰνείαο δ' ἐπαΐξας καλλίτριχας ἵππους 323 sq. cf. 263 sq. *Ψ* 291 sq.
ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς. 324 = *N* 401
'δῶκε δὲ Δηιπύλῳ, ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
'τῖεν ὁμηλικίης, ὅτι Ϝοι φρεσὶν ἄρτι' ἐϜείδει, 326ᵇ = *τ* 248
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν'. αὐτὰρ ὅ γ' ἥρως 327ª = *Λ* 274, 400 *O* 259
Ϝῶν ἵππων ἐπιβὰς ἔλαβ' ἡνία σιγαλόεντα,
αἶψα δὲ Τυδεΐδην μέθεπε κρατερώνυχας ἵππους
ἐμμεμαώς. ὃ δὲ Κύπριδ' ἐπῴχετο νηλέι χαλκῷ,
γιγνώσκων ὅ τ' ἄναλκις ἔην θεός, οὐδὲ θεάων
τάων αἵ τ' ἀνδρῶν πόλεμον κάτα κοιρανέουσι,
οὔτ' ἄρ' Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ.
ἀλλ' ὅτε δή Ϝ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων, 334ᵇ = *P* 462
ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱὸς
ἄκρην οὔτασε χεῖρ' ἐπιάλμενος ὀξέι δουρὶ 336ᵇ = *Δ* 421
ἀβληχρήν· εἶθαρ δὲ δόρυ χρόα ἀντετόρησε,
ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες 'κάμον αὐταί,
πρυμνὸν ὑπὲρ θέναρος. 'ρέε δ' ἄμβροτον αἷμα θεοῖο,

---

320 *Ϝ'(*οι*)] addidimus. || *ἐπέτειλε* Nauck] *ἐπέτελλε* mss.

322 *φλοίσβοι'* § 59] -*βου* mss.

323 *Αἰνείαο*] -*ωο* Zen., cf. vs. 263.

326 *ἄρτι' ἐϜείδει*] *ἄρτια ᾔδη* vel *ᾔδει* mss.; cum loquendi hac formula cf. *ἤπια εἰδέναι* (*Π* 73 *ν* 405 *ο* 39, 557 et ad *Δ* 361).

329 *κρατερώνυχας ἵππους*] Zen. *κρατερωνύχεσ'* (*ἵπποις*) male, vid. § 60 et 64. Verbum *μεθέπειν* duplicem accusativum alias non adsciscit, sed vid. *Θ* 126; Nauck -*δη ἔπεχε*, cf. *Π* 724, 732.

330 *Κύπριδ'* § 66] *Κύπριν* mss. — Cypridis nomen extra hoc episodium (vs. 422, 458, 760, 883) apud Homerum non invenitur (cf. tamen *ϑ* 362).

331 *ἔην*] *ἔεν*? vid. § 302.

332] iung. *ἀνδρῶν πόλεμον* coll. *Γ* 241 *ϑ* 183.

334 *Ϝ'] *ῥ'* mss.

336-635] in A interciderunt (textum supplevit manus recentior).

336 **χεῖρ' ἐπιάλμενος*] *χεῖρα μετάλμενος* mss. || *δουρὶ*] *χαλκῷ* H Lips.

337 *ἀβληχρήν*] *debilem*, item *Θ* 178; adi. incertae originis praeterea redit *λ* 135 (= *ψ* 282), ubi vid. || **χρόα*] *χροὸς* mss. Cf. *K* 267 *Λ* 437. Vitium peperit hiatus et adiectivi *ἀμβροσίου* (quod cum *πέπλου* iungendum est) vicinia. Accusativum requiri etiam adiectivum *πρυμνὸν* vs. 339 ostendit; nam male iungi solet *ὑπὲρ* (*τὸ*) *πρυμνὸν* (*τοῦ*) *θέναρος*. Quae si essent iungenda, omnino scribendum esset *πρυμνοῦ*, neque enim *ὑπέρ* accusativum hoc loco adsciscere potest neque *πρυμνόν* substantivi loco usurpari; at praestare videtur quod scripsimus, *χρόα πρυμνὸν ἀντ-ετόρησε ὑπὲρ θέναρος*.

338] del. Bentley. Vitiosum est *οἱ* pro *Ϝοι*. Heyne coniecit *ὅ Ϝοι*, Wiel *ὅν αἱ*, neuter probabiliter; cum vulgata concinit *Ξ* 178 et Cypriorum fr. *Ϝείματα μὲν χροΐ 'Ϝέστο τά Ϝοι Χάριτές τε καὶ Ὧραι | 'ποίησαν.*

339 *θέναρος*] †.

ἴχωρ, οἷόν πέρ τε ῥέει μακάρεσσι θεοῖσι·
οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα Ϝοῖνον,
τούνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται.
ἣ δὲ μέγα ϜιϜάχουσα ἀπὸ Ϝέο κάββαλεν υἱόν. 343ᵃ = κ 323
καὶ τὸν μὲν μετὰ χερσὶ 'Ϝερύσσατο Φοῖβος Ἀπόλλων 344ᵇ cf. Δ 363 Υ 450
κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων 345ᵇ sq. = 316 sq.
χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο·
τῇ δ' ἐπὶ μακρὸν ἄυσε βοὴν ἀγαθὸς Διομήδης· 347ᵃ cf. 101
„Ϝεῖκε, Διὸς θύγατερ, πολέμου καὶ δηιοτῆτος·
οὐ Ϝάλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
οὐ σύ γ' ἔτ' εἰς πόλεμον πωλήσεαι· ἦ τέ σ' ὀίω
ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι."
ὣς ἔφαθ', ἣ δ' ἀλύουσ' ἀπεβήσετο, 'τείρετο δ' αἰνῶς.
τὴν ἄρα Ϝῖρις ἑλοῦσα ποδήνεμος ἔξαγ' ὁμίλου
ἀχθομένην ὀδύνῃσι· 'μελαίνετο δὲ χρόα καλόν.
ηὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
ἥμενον· ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω.
ἣ δὲ γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο
πολλὰ λισσομένη χρυσάμπυκας ᾔτεεν ἵππους·
„φίλε κασίγνητος, κόμισαί τέ με δός τέ μοι ἵππους,
ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί. 360 cf. Θ 456
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ,
Τυδεΐδης, ὃς νῦν καί κεν Διὶ πατρὶ μάχοιτο." 362 cf. 457
ὣς 'φάτο, τῇ δ' ἄρ' Ἄρης 'δῶκε χρυσάμπυκας ἵππους.

340-342] iure damnasse videtur vir doctus apud Heynium.

340 ἴχωρ] ἰχώρ mss.; vox nonnisi vs. 416 redit; idem quod αἷμα valet Aesch. Ag. 1480, apud posteros significat *serum*. || οἷον Bentley] οἷος mss.

342 ἀναίμονες] †.

344 'Ϝερύσσατο] ἐρύσατο mss. complura.

346 στήθεσσι] -σφι? vid. ad Μ 401.

349 οὐ Nauck] ἦ οὐχ mss.; cf. § 8.

350 οὐ σύ γ' ἔτ' Hartman] εἰ δὲ σύ γ' mss., l. a. εἰ δὲ καί.

352 'τείρετο δ'] τεῖρε γὰρ Genev.

353 ἄρα Thiersch] μὲν ἄρ' mss.

356] del. vHerwerden. Intellegi nequit ἐκέκλιτο, *fulciendi* enim verbum hinc alienum, neque *fulciendo* sed *occultando* apud Homerum inservit ἀήρ, κεκλίσθαι autem *latitandi* sensu potuisse usurpari (= κεκαλύφθαι, κεκρύφθαι) falso veteres grammatici et post eos Corssen statuerunt (vid. ad Φ 18); id quod optime refellitur versu Φ 549, ubi verba κλίνειν et καλύπτειν iuncta sunt. Audacius Bentley ἠέρι δ' ἅρμ' ἐκαλύπτετο, cf. Θ 50. Etiam ἅρμα κατείχετο conicere possit quispiam coll. Ρ 368, 644.

358 πολλὰ] item Φ 368 (l. a. Φ 492?) Χ 91 et πυκνὰ ν 438 (= ρ 198 σ 109), vid. § 26; vHerwerden πολέα (formam in textu tradito non obviam) et πύκινὰ proposuit collatis μείλανι Ω 79 ὄιες ι 425.

359 φίλε] vid. § 22. || *κασίγνητος § 51] κασίγνητε mss. pleraque, κασίγνητ' ἐκκομίσαι cetera. Cf. Δ 155. || τέ μοι C] δέ μοι mss. cetera.

362 καί κεν § 326] γε καὶ ἂν mss.

ἡ δ' εἰς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ.
πὰρ δέ τε Ϝῖρις ἔβαινε καὶ ἡνία 'λάζετο χερσί,
'μάστιξεν δ' ἐλάειν· τὼ δ' οὐκ ἀϜέκοντ' ἐπετέσθην.
αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος, αἰπὺν Ὄλυμπον.
ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ϝῖρις
λύσασ' ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον 'βάλεν εἶδαρ·
ἡ δ' ἐν γούνασ' ἔπιπτε Διώνης δῖ' Ἀφροδίτη,
μητρὸς ἑϜῆς· ἡ δ' ἀγκὰς ἐλάζετο θυγατέρα Ϝήν,
χειρί τέ μιν κατέρεξε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων
μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;“
τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη·
„οὖτά με Τυδέος υἱὸς, ὑπέρθυμος Διομήδης,
οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο,
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστι.
οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή,
ἀλλ' ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται.“
τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη, δῖα θεάων·
„τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνασχέο κηδομένη περ.
πολλοὶ γὰρ δὴ 'τλῆμεν Ὀλύμπια δώματ' ἔχοντες
ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
'τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
παῖδες Ἀλωῆος, 'δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ ἐν κεράμῳ 'δέδετο τρεῖς καὶ δέκα μῆνας.
καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης ἄατος πολέμοιο,

365^bsq. = γ 483 sq.
365^b = Ρ 482 Ω 441
366 = Θ 45 Χ 400 γ 494 ο 192 cf. Ε 768 Κ 530 Λ 519
366^b = Λ 281
367^b = 868 h. Ap. 109
368^a = 775 Θ 49
369 cf. Ν 35 [Ν 34
369^a = 776 cf. Θ 50
372 = Λ 361
373 sq. = Φ 509 sq.
376 cf. Δ 365
377 cf. 318
379 cf. Δ 65
382 cf. Α 586
383 sq. cf. 873 sq.

364 ἀκηχεμένη] § 240. Quoniam adiectivum φίλον in hac locutione addi non solet, coniecimus *ἔβαινε θεὰ ἀκαχημένη ἦτορ (extat ἀκαχημένη in mss. nonnullis).

365 τε Heyne] οἱ mss., Cobet Ϝε coll. χ 233 (vid. etiam ad γ 469), sed cf. Γ 262 Δ 367.

366 ἐλάειν § 191] ἐλάαν mss. || ἀϜέκοντ(ε)] ἄκοντε mss. pleraque.

370 γούνασ' ἔπιπτε] -σι πίπτε mss. || Διώνης] *Diones* nomen nonnisi vs. 381 redit (cf. *Diana*, Διώνυσος). Vid. h. Apoll. 93 et Hes. Theog. 353.

373 τοιάδ' ἔρεξε] ecquid *τοῖ' ἔρρεξε?

374 ἐνωπῇ] hic et vs. parall., *palam*; cf. κατ' ἐνῶπα Ο 320. Par. 2767 ἐνιπῇ, l. a. ἐνωπί.

381 Διώνη] vid. ad vs. 370.

385-404] postmodo additos esse vidit PKnight; antiquiores tamen sunt Panyasi (fr. 16).

385 μιν] ante vocalem etiam Ζ 176, 501 Κ 347 (?) Λ 376 (?) productum est.

387 *χαλκέῳ ... κεράμῳ] significatur πίθος, dolium ingens; qualia vasa fictilia esse solebant, hoc vero ex aere fuit. Sic Eurystheus in dolium se abdidit ut Herculem effugeret. || *χαλκέῳ § 61] χαλκέῳ δ' mss. || τρεῖς καὶ δέκα] τρισκαίδεκα mss. — Mensis intercalaris hic primum fit mentio, si quidem annus integer isque praelongus significatur (cf. AMommsen Chronol. p. 38).

388 ἀπόλοιτο] de optativo vid. ad vs. 311. || ἄατος] ἆτος mss.

εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια
Ἑρμείᾳ ἤγγειλεν· ὃ δ' ἐξέκλεψεν Ἄρηα
ἤδη τειρόμενον, χαλεπὸς δέ Ϝε δεσμὸς ἐδάμνα.
'τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς πάις Ἀμφιτρύωνος
δεξιτερὸν κατὰ μαζὸν ὀιστῷ τριγλώχινι 393 cf. Λ 507
'βεβλήκει· τότε καί μιν ἀνήκεστον 'λάβεν ἄλγος.
'τλῆ δ' ἈϜίδης ἐν τοῖσι πελώριος ὠκὺν ὀιστόν,
εὖτέ μιν αὐτὸς ἀνήρ, υἱὸς Διὸς αἰγιόχοιο,
ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκε. 397ᵇ = ρ 567
αὐτὰρ ὃ 'βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον
κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀιστὸς
ὤμῳ ἔνι στιβαρῷ ἠλήλατο, 'κῆδε δὲ θυμόν. 400ᵇ = Λ 458
τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων 401 cf. 900
ἠκέσατ'· οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο. 402 = 901
σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
νήπιος, οὐδὲ τὸ Ϝοῖδε κατὰ φρένα Τυδέος υἱός,
ὅττι μάλ' οὐ δϜηναιὸς ὃς ἀθανάτοισι μάχηται,
οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσι
ἐλθόντ' ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος. 409 cf. Η 119, 174
τῷ νῦν Τυδεΐδης, εἰ καὶ μάλα καρτερός ἐστι, 410ᵇ = Ν 316 cf. ϑ 139 χ 13
φραζέσθω μή τίς Ϝοι ἀμείνων σεῖο μάχηται,

403 σχέτλιος, ὀβριμοϜεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
ὃς τόξοισιν ἔκηδε θεοὺς οἳ Ὄλυμπον ἔχουσι.

403ᵇ cf. Φ 214 β 232 ε 10
404ᵇ cf. μ 337 ξ 394 σ 180

389 μητρυιή] scil. *Aloidarum*.

390 Ἑρμείᾳ ἤγγειλεν Fick] Ἑρμείᾳ vel -μέᾳ ἐξήγγειλεν mss.; comp. †. Cf. Ν 541 et § 58. || ἐξέκλεψεν] comp. †.

391 ἐδάμνα] cf. § 191.

393 τριγλώχινι] vid. ad Θ 297.

394 καί] mss. nonnulla κέν, sic Ar. in altera ed.

395 ἐν τοῖσι] verba corrupta; vHerwerden dubitanter ἐπὶ τοῖσι, 'addens expectari potius τλῆ δὲ Ϝάναξ ἐνέρων κομίσας χροΐ vel eiusmodi aliquid. Naber ἐνέροισι coll. Ο 188, qui tamen locus non probat hunc dativum locativi sensu potuisse usurpari.

396 αὐτὸς § 9 et 98] ωὐτὸς mss.

397 Πύλῳ] nomen appellativum esse h. l. putabat Ar. (= πύλῃ, cf. vs. 646 Ι 312 et Orci epitheton πυλάρτης); vid. ad Λ 99. — Spectatur h. l. fabula de Herculis ad inferos descensu; cf. Θ 367. Pyli autem Orcus colebatur (Pausan. VI 25 § 3).

401 ὀδυνήφατα] epitheton versu parall. et Λ 847 redit; *dolores necans* (§ 281)?

403 sq.] damnarunt Bekker alii; etiam Christ spurios censet sed ut ante vs. 398 collocarentur destinatos.

403 ὀβριμοϜεργός] αἰσυλοεργός Ar. || ὅς] ὅ τ' Ar.? || αἴσυλα] tantum locis parall. redit; vid. tamen ad Υ 202.

406 Τυδέος υἱός] καὶ κατὰ θυμὸν Eust.

407 δϜηναιός] †.

408 τί] sic et τέ Ar. || παππάζουσι] futurum requirit Naber, at praecedit alterum praesens δϜηναιός (ἐστι). Verbum †, cf. πάππα ζ 57; παππίζειν legitur Ar. Vesp. 609, παππάζοιεν dixit comicus anonymus apud Hesych. et Phot. s. v. — Cum ipsa sententia cf. μ 42 sq. Ι 455 sq.

μὴ δϝὴν Αἰγιάλεια, περίφρων Ἀδρηστίνη,
415 ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο,
413 ἐξ ὕπνου γοάουσα φίλους ϝοικῆας ἐγείρῃ,
414 κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν."
416 ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἴχωρ χειρὸς ὀμόργνυ·
ἤλθετο χείρ, ὀδύναι δὲ κατηπιόοντο βαρεῖαι.
αἱ δ' αὖτ' εἰσοράουσαι Ἀθηναίη τε καὶ Ἥρη
κερτομίοισι ϝέπεσσι Δία Κρονίδην ἐρέθιζον.
τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη· 420 sq.ª cf. *H* 445 [sq.
„Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττι κε ϝείπω; 421 cf. *α* 158, 389 421ª = 762
ἦ μάλα δή τινα Κύπρις Ἀχαιιάδων ἀνιεῖσα
Τρωσὶν ἅμ' ἑσπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησε, 423ᵇ cf. *Γ* 415
τῶν τινα καρρέζουσα Ἀχαιιάδων ἐυπέπλων
πρὸς χρυσέῃ περόνῃ καταμύξατο χεῖρα ϝαραιήν."
ὣς 'φάτ', ἐμείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, 426 = *O* 47
καί ῥα καλεσσάμενος προσέφη χρυσέην Ἀφροδίτην·
„οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήια ϝέργα,
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ϝέργα γάμοιο,
ταῦτα δ' Ἄρηι θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει." 430 cf. *P* 515ᵇ *Ψ* 724ᵇ

ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἰνείᾳ δ' ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
γιγνώσκων ὅ ϝοι αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων·
ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἥζετο, 'ϝίετο δ' αἰεὶ
Αἰνείαν κτεῖναι καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.

412-415] del. PKnight, unum vs. 415 Christ. Ex his versibus male intellectis orta esse videtur narratiuncula de Diomedis uxore servis sui copiam facienti, quam Mimnermo adscribit Tzetz. ad Lycophr. 610.
413 *γοάουσα* § 191] *γοόωσα* mss.
415] ante vs. 413 collocavit Cobet.
416 *ἴχωρ*] *ἰχῶ(ρ)* vel *ἰχῶρ* mss.; de voce cf. vs. 340. || *χειρὸς* Ar. mss.] *χερσὶν* Zen.
417 *ἤλθετο*] *ἄλθετο* mss.; verbum † (*ἀπάλθομαι* *Θ* 405, 419). || **κατηπιόοντο* § 191] *-όωντο* mss.; verbum †.
418 *εἰσοράουσαι* § 191] *-όωσαι* mss.
419 *κερτομίοισι ϝέπεσσι*] *-οις ἐπέεσσι* mss.
422 *Κύπρις*] vid. ad vs. 330. || *ἀνιεῖσα*] *ἐνιεῖσα* Ambros.; vid. *I* 700 *Ξ* 131 *Π* 691.
423 *ἅμ' ἑσπέσθαι*] *ἅμα σπέσθαι* mss. multa. Cf. § 247.
424] del. PKnight. || *τῶν*] novicium pro *τάων*, cf. § 56. || *ἐυπέπλων*] *βαθυκόλπων* Plut. Mor. 739c.
425 *χρυσέῃ* § 18 et 61] *χρυσῇ* mss. || *καταμύξατο*] sic (i. e. *κατ-αμύξατο*) Ar., mss. pleraque *κατεμύξατο*. Comp. non redit (simplex *ἀμύσσω* *Α* 243 *Τ* 284).
426 *'φάτ', ἐμείδησεν*] *φάτο, μείδησεν* mss.
427 *χρυσέην* § 18 et 61] *χρυσῆν* mss.
433] cf. *Δ* 249.
434 *ἥζετο*] *ἅζετο* mss.
435 *κτεῖναι*] *κτάμεναι*? vid. vs. 261.

τρὶς μὲν ἔπειτ' ἐπόρουσε κατακτάμεναι μενεαίνων, 436 cf. Γ 379 Υ 442
τρὶς δέ Ϝοι ἐστυφέλιξε φαεινὴν ἀσπίδ' Ἀπόλλων. 436ª = Π 784 Υ 445
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι Ϝῖσος, 437 cf. Π 703 sq. 438 sq. = Π 705 sq.
δϜεινά Ϝ' ὁμοκλήσας προσέφη ϜεκάϜεργος Ἀπόλλων· 438 sq.ª = Υ 447 438 = Π 786 [sq.
„φράζεο, Τυδεΐδη, καὶ χάζεο, μηδὲ θεοῖσι 438ᵇ = 459, 884 Φ 227
Ϝῖσ' ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων."
ὣς 'φάτο, Τυδεΐδης δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω, 443 cf. Π 710
μῆνιν ἀλευάμενος Ϝεκατηβόλου Ἀπόλλωνος. 444 = Π 711
Αἰνείαν δ' ἀπάτερθεν ὁμίλου 'θῆκεν Ἀπόλλων
Περγάμῳ ἐν ἱερῇ, ὅθι Ϝοι νηὸς ἐτέτυκτο·
ἦ τοι τὸν Λητώ τε καὶ Ἄρτεμις ἰοχέαιρα 447 cf. h. Ap. 159
ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε 'κύδαινόν τε.
αὐτὰρ ὃ Ϝείδωλον 'τεῦξ' ἀργυρότοξος Ἀπόλλων
αὐτῷ τ' Αἰνείᾳ Ϝίκελον καὶ τεύχεσι τοῖον,
ἀμφὶ δὲ Ϝειδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
'δῄοον ἀλλήλων ἀμφὶ στήθεσσι βοείας, 452 sq. = M 425 sq.
ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.
δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων·
„Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα, 455 = 31
οὔ κεν δὴ τόνδ' ἄνδρα μάχης Ϝερύσαιο μετελθὼν,
Τυδεΐδην, ὃς νῦν καί κεν Διὶ πατρὶ μάχοιτο; 457 cf. 362
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ, 458 sq. = 883 sq.
αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι Ϝῖσος." 458ᵇ = P 601 cf. Θ 328 χ 277 ω 398
ὣς Ϝειπὼν αὐτὸς μὲν ἐφέζετο Περγάμῳ ἄκρῃ,

439 *Ϝ'] δ' mss.; cf. Π 706 Υ 448.

443 τυτθὸν] sic Ar., alii olim πολλὸν, ut Π 710.

444 ἀλευάμενος] ἀλευόμενος Ar. et mss. nonnulla, male, vid. § 180.

445 ὁμίλου] ὁμίλοο? cf. § 59.

446 ἒν § 315] εἰν mss. multa. || νηὸς Leaf] νηός γ' mss.

448 ἀδύτῳ] vox redit vs. 512 h. Ap. 523, cf. h. Merc. 247. || 'κύδαινον] κήδαινον Dacieria, idem vel κήδευον vHerwerden, quoniam κῦδος et κυδαίνειν non de corporis praestantia sed de dignitate vel honore solent dici; vulgatam tamen satis tueri videntur Λ 405 al.; cf. ξ 438 π 212.

449-453] fortasse recentis sunt originis; quamquam e versu 451 videtur fluxisse Stesichori (an Hesiodi? schol. Lycophr. 822) inventum, non ipsam Helenam sed eius imaginem a Paride Troiam esse abductam (Plat. Phaedr. 243*a*), quam fabulam sequitur Euripides in Helena.

451 δὲ Bentley] δ' ἄρ' mss.

452 'δῄοον § 191] δῄουν mss.F || στήθεσσι] -σφι mss. pauca; vid. ad M 401.

453 λαισήια] *scuta*; vox nonnisi M 426 redit.

454 προσηύδα] -δαε? vid. § 191.

455] vid. ad vs. parall.

456 οὔ κεν § 326] οὐκ ἂν mss.

457 καί κεν § 326] γε καὶ ἂν mss.

458 Κύπριδα] vid. ad vs. 330. || πρῶτον] πρῶτα mss. multa, sed cf. vs. 883.

F δήϊον dubitanter Wackernagel, Glotta III, Ergänzungsheft p. 140.

Τρώων δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών,
ϝειδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρηκῶν,
υἱάσι δὲ Πριάμοιο διοτρεφέεσσ' ἐκέλευε·
„ὦ υἷες Πριάμοιο, διοτρεφέος βασιλῆος, 464 cf. Δ 338
εἰς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν ἀγανόν;
εἰς ὅ κεν ἀμφὶ πύλῃσ' εὖ ποιητῇσι μάχωνται;
κεῖται ἀνὴρ ὃν ϝῖσον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο. 468 cf. 247
ἀλλ' ἄγετ' ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον.“
ὣς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου. 470 = 792 Ζ 72 etc.
ἔνθ' αὖ Σαρπηδὼν μάλ' ἐνείκεσεν Ἕκτορα δῖον·
„Ἕκτορ, πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
'φῇς ποθ' ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ' ἐπικούρων
οἶος σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι.
τῶν νῦν οὔ τιν' ἐγὼ ϝιδέμεν δύναμ' οὐδὲ νοῆσαι,
ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα·
ἧμες δ' αὖ μαχόμεσθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν.
καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μάλα τηλόθεν ἵκω·
τηλόθι γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι· 479 cf. Β 877
ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱόν,
κὰδ δὲ κτήματα πολλά, τὰ ϝέλδεται ὅς τ' ἐπιδευής.
ἀλλὰ καὶ ὣς Λυκίους ὀτρύνω καὶ μέμον' αὐτὸς

461 *Τρώων*] *Τρῳὰς* codices pauci et olim libri Sinopensis Cyprius Antimachi, quae forma est parum Homerica; cf. § 7. || *οὖλος*] vid. ad *Β* 6.

462] del. PKnight. || *Θρηκῶν*] forma novicia pro *Θρηίκων*, vid. § 17; praeterea suspicionem movet correpta syllaba quae praecedit.

463 *-εσσ' ἐκέλευε*] *-εσσι κέλευε* (*-σε*) mss.

464 *υἷες* PKnight] *υἱεῖς* mss., cf. § 78.

465 *τί ἔτι*] de hiatu vid. § 100 et ad *Θ* 136. || **ἀγανόν*] *Ἀχαιοῖς* mss., l. a. *Ἀχαιῶν*. Vitiosum est *-οις* pro *-οισι* (§ 60), ferri autem nequit *Ἀχαιῶν*, nam sic *κτείνεσθαι* = *κτείνειν* esset accipiendum. Correctionem nostram tuentur *Η* 386 *Κ* 563 *Π* 103 etc.; *ἀγανοί* et *Ἀχαιοί* etiam in schol. *β* 209 confunduntur. Nauck *μαίνεσθαι ἐάσετε λαὸν Ἀχαιῶν*, cf. vs. 717.

466 **εἰς* § 8] *ἦ εἰς* mss.; Nauck *ἦ ἐς ὅ κ'*. || *ποιητῇσι* Zen. mss.] *-τοῖσι* Ar.; femininum certum est *Π* 636, sed *εὐποίητον πυράγρην* est traditum *γ* 434.

467 *ὃν* Eust.] *ὅν τ'* mss.

470 *θυμόν τε* Bentley] *καὶ θυμὸν* mss.

471 *μάλ' ἐνείκεσεν*] *μάλα νείκεσεν* mss.

473 *φῇς*] sic Ar., *φής* mss. multa. || *ποθ'* § 322] *που* mss.

474 *γαμβροῖσι*] *leviris*; eodem sensu *Ν* 464, 466 usurpatur, alibi sensu *generi*; cf. *νυός* et vid. ad *Γ* 49.

475 *ϝιδέμεν* § 126] *ἰδέειν* mss.

477 *ἧμες* § 92] *ἡμεῖς* mss. || *ἔνειμεν*] sic Ar.; vid. ad *Β* 131 *Φ* 586.

478 *ἵκω* Bekker] *ἥκω* mss.; cf. *ν* 325 et ad *β* 28.

479 *τηλόθι* § 322] *τηλοῦ* mss.

481 *τὰ* Bekker] *τά τ'* mss. || *ὅς τ'*] *ὅς κ'* mss. multa, *ὅς* L; vid. ad *Α* 547.

ἀνδρὶ μαχέσσασθαι· ἀτὰρ οὔ τί μοι ἐνθάδε τοῖον
οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν·
τύνη δ' ἕστηκας, ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις
λαοῖσιν μενέμεν καὶ ἀμυνέμεναι δάρεσσι.
μή πως, ὡς ἀψῖσι λίνου πανάγροιο Ϝαλόντες,
ἀνδράσι δυσμενέεσσι Ϝέλωρ καὶ κύρμα γένησθε, 488^{b} cf. *P* 151 γ 271 ι 473
οἳ δὲ τάχ' ἐκπέρσωσ' ἐὺ ναιομένην πόλιν ὑμήν.
σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ, 490^{b} = *X* 432 *Ω* 73 β 345 κ 28, 80 ο 476 ω 63
ἀρχοὺς λισσομένῳ τηλεκλειτῶν ἐπικούρων
νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν."
ὣς 'φάτο Σαρπηδών, 'δάκε δὲ φρένας Ἕκτορι μῦθος. [sqq.
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, 494-497 = *Z* 103
πάλλων δ' ὀξέε δοῦρε κατὰ στρατὸν ᾤχετο πάντη, 494 = *Γ* 29; 494^{b}-497 = *Λ* 211 sqq.
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἳ δ' ἐϜελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν· 497 = *P* 343
Ἀργέιοι δ' ὑπέμειναν ἀϜολλέες οὐδ' ἐφόβηθεν. 498 cf. *O* 312
ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας,
αἳ δ' ὑπὸ λευκαίνονται ἀχυρμιαί· ὣς τότ' Ἀχαιοὶ
λευκοὶ ὕπερθ' ἐγένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
οὐρανὸν εἰς πολύχαλκον ἐπέπληγον πόδες ἵππων 504^{a} = γ 2
ἂψ ἐπιμισγομένων, — ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες, —
οἳ δὲ μένος χειρῶν ἰθὺς 'φέρον. ἀμφὶ δὲ νύκτα 506^{a} cf. *Π* 602^{b}
θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων,

---

484 *Ἀχαιοὶ ἤ*] hiatus vitiosus, cf. υ 166 et § 14.

486 *δάρεσσι*] *ὤρεσσι* mss., cf. *I* 327.

487 *ἀψῖσι*] † (Ar. ἅ.). De re cf. χ 386, 469. || *πανάγροιο Ϝαλόντες* Bentley] *ἁλόντε πανάγρου* mss. duplici vitio, neque enim dualis neque alpha productum participii (Ϝ)*αλόντε* potest defendi; minus tamen certam Bentlei correctionem reddit syllaba -*αγρ*- praeter necessitatem correpta (vid. § 25). Adiectivum *πάναγρος* †.

492 *ἐχέμεν*] **σχέμεναι*? cf. *Δ* 302 et § 126. || *κρατερὴν*] *χαλεπὴν* mss. multa. || *ἀποθέσθαι*] *ἐπιθέσθαι* Naber coll. *M* 409-414, *ὑποδέχθαι* Nauck. Vulgata sana videtur, vert. *repellere crimina*; opp. *ἀνάψαι* β 86, *ἀναθήσει* *X* 100.

495 **ὀξέε δοῦρε*] *ὀξέα δοῦρα* mss.; *ὀξέα δοῦρε* Bekker, recte praeferens substantivi dualem (vid. *Z* 104 *Λ* 212) sed male adiectivi adiungens pluralem. Cf. *Γ* 18 *Λ* 43.

496 *φύλοπιν*] -*πιδ'*? cf. § 66.

497 *ἐϜελίχθησαν* § 41] *ἐλελίχθησαν* mss.

499-502] similis est comparatio *N* 588 sqq.

499 *φορέει*] **φορέῃ* verum videtur.

500 *λικμώντων*] verbum † (*λικμητήρ* *N* 590). || *ὅτε τε*] *εὖτ' ἂν* Ptolemaeus.

501 *κρίνῃ*] *κρίνει* mss. multa.

502 *λευκαίνονται*] verbum redit μ 172. || *ἀχυρμιαί*] †.

503 *ὕπερθ'*] Naber *ἔνερθ'* coll. *B* 150 *Γ* 13 *Λ* 151, 282 *Ψ* 365.

504 *πολύχαλκον*] vid. *P* 425 γ 2 ο 329.

πάντοσ᾽ ἐποιχόμενος· τοῦ δ᾽ ἐκράαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσάορος, ὅς μιν ἄνωγε
Τρωσὶν θυμὸν ἐγεῖραι, ἐπεὶ ᾽Ϝίδε Παλλάδ᾽ Ἀθήνην
οἰχομένην· ἣ γάρ ῥα ᾽πέλεν Δαναοῖσιν ἀρηγών.
  αὐτὸς δ᾽ Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
ἧκε, καὶ ἐν στήθεσσι μένος ᾽βάλε ποιμένι λαῶν.
Αἰνείας δ᾽ ἑτάροισι μεθίστατο· τοὶ δ᾽ ἐχάρησαν, 514ᵇ sq. = Η 307 sq.
ὥς Ϝ᾽ ἔϜιδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα
καὶ μένος ἐσθλὸν ἔχοντα· ᾽μετάλλησάν γε μὲν οὔ τι,
οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρε
Ἄρης τε βροτολοιγὸς Ἔρις τ᾽ ἄμοτον μεμαυῖα. 518ᵇ cf. Δ 440
  τοὺς δ᾽ Αἴαντε δύω καὶ Ὀδυσσεὺς καὶ Διομήδης
ὤτρυνον Δαναοὺς πολεμιξέμεν᾽· οἳ δὲ καὶ αὐτοὶ
οὔτε βίας Τρώων ὑπεδέδϜισαν οὔτε Ϝιωκάς,
ἀλλ᾽ ἔμενον νεφέλῃσι ϜεϜοικότες, ἅς τε Κρονίων 522ᵇ = Λ 27
νηνεμίης ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν ὄρεσσι
ἀτρέμας, ὄφρ᾽ εὕδῃσι μένος Βορέαο καὶ ἄλλων
ζαχραέων ἀνέμων, οἵ τε νέφεα σκιόεντα
πνοιῇσιν λιγυρῇσι διασκιδνᾶσιν ἀέντες·
ὣς Δαναοὶ Τρῶας ᾽μένον ἔμπεδον οὐδ᾽ ἐφέβοντο. 527 = Ο 622
Ἀτρεΐδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίταε πολλὰ κελεύων· 528ᵃ = Γ 449
  „ὦ φίλοι, ἀνέρες ἔστε καὶ ἄλκιμον ἦτορ ἕλεσθε, 529ᵃ = Ο 561
ἀλλήλους τ᾽ αἴδεσθε κατὰ κρατερὰς ὑσμίνας. 530-532 = Ο 562 sqq.
αἰδομένων ἀνδρῶν πλέονες σάοι ἠὲ πέφανται,
φευγόντων δ᾽ οὔτ᾽ ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή.“

508-511] del. Haupt, vs. 512 initio *Φοῖβος δ᾽* scribens.

508 *ἐκράαινεν* L] *ἐκραίαινεν* mss. cetera; vid. § 267.

509 *χρυσάορος* Naber] *χρυσαόρου* mss.; cf. *Ο* 256 h. Ap. 123 Cer. 4 (?) Hes. Oper. 771. — Aureus *ensis* cur Apollini h. l. tribuatur non liquet. || *ἄνωγε* § 225] *ἀνώγει* mss.

511 *᾽πέλεν*] activum suspectum, cf. § 275; **ἣ γὰρ ᾽πέλετ᾽ Ἀργεΐοισιν*? || *ἀρηγών*] sic Ar., *ἀρηγός* mss. nonnulla.

512 *ἀδύτοιο*] vid. ad vs. 448.

515 *ἀρτεμέα*] adi. nonnisi vs. par. redit.

516-518] del. Leaf.

516 *οὔ τι*] *οὐδέν* D, cf. § 100.

517 *ἄλλος*] non est Homericum sensu *ceterus*; Heyne coniecit *αἰπύς*. || *ἀργυρότοξος*] substantivi vice hoc uno loco fungitur.

523 *νηνεμίης*] genitivus temporis, qualis apud Homerum nullus recurrit.

525 *ζαχραέων* PKnight] *ζαχρειῶν* mss.; vox cum verbo *χραῦσαι* (§ 179) cohaerens *Μ* 347, 360 *Ν* 684 recurrit, cf. § 73. Nauck *ἀκραῶν* (melius *ἀκραέων*), cf. *β* 421.

528 *ἐφοίταε* § 191] *ἐφοίτα* mss.

530 *αἴδεσθε* § 289] *αἰδεῖσθε* mss.; vid. versus sequens.

531 *αἰδομένων*] sic Ar. h. l. et *Ο* 563, *αἰδομένων δ᾽* mss. pleraque. Naber *διεμένων*, quod participium apud Hom. non extat (legitur tamen Aesch. Suppl. 819 Eum. 357, 385). || *σάοι* § 62] *σόοι* mss.

ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς, ’βάλε δὲ πρόμον ἄνδρα,
Αἰνεία’ ἕταρον μεγαθύμου, Δηικόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
’τῖον, ἐπεὶ θοὸς ἦσκε μετὰ πρώτοισι μάχεσθαι.
τόν ῥα κατ’ ἀσπίδα δουρὶ ’βάλε κρείων Ἀγαμέμνων· [sq.
ἣ δ’ οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ ’Ϝίσατο χαλκός, 538 sq. = Ρ 518
νειαίρῃ δ’ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε· 538 = ω 524 cf. Δ 138
’δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ. 539a = 616 540 = Δ 504
ἔνθ’ αὖτ’ Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
υἷε Διοκλέεος, Κρήθωνά τε Ὀρσίλοχόν τε,
τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋ κτιμένῃ ἐνὶ Φηρῇ
ἀφνειὸς βιότοιο, γένος δ’ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῖ’, ὅς τ’ εὐρὺ ῥέει Πυλίων διὰ γαίης·
ὃς ’τέκετ’ Ὀρσίλοχον πολέεσσ’ ἄνδρεσσι Ϝάνακτα·
Ὀρσίλοχος δ’ ἄρ’ ἔτικτε Διοκλέεα μεγάθυμον,
ἐκ δὲ Διοκλέεος διδυμάονε παῖδ’ ἐγενέσθην,
Κρήθων Ὀρσίλοχός τε, μάχης ἐϋ Ϝειδότε πάσης. 549b = Β 823
τὼ μὲν ἄρ’ ἡβήσαντε μελαινάων ἐπὶ νηῶν
Ϝίλιον εἰς ἐΰπωλον ἅμ’ Ἀργεΐοισιν ἑπέσθην [Ρ 249
τιμὴν Ἀτρεΐδῃσ’ Ἀγαμέμνονι καὶ Μενελάῳ 552b = Η 373, 470
ἀρνυμένω· τὼ δ’ αὖθι τέλος θανάτοι’ ἐκάλυψε. 553b = Π 502
οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσι
ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης· 555b = ϱ 316 cf. Ο 606
τὼ μὲν ἄρ’ ἁρπάζοντε βόας καὶ Ϝίφια μῆλα
σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέι χαλκῷ·
τοίω τὼ χείρεσσιν ὑπ’ Αἰνείαο δαμέντε
καππεσέτην, ἐλάτῃσι ϜεϜοικότε ὑψηλῇσι.
τὼ δὲ πεσόντ’ ἐλέησεν Ἄρηι φίλος Μενέλαος, 561 cf. Ρ 346 561a cf. 610

---

534 Αἰνεία’ § 55] Αἰνείαο O, Αἰνείεω mss. cetera. || μεγαθύμου] -μοο? vid. § 59.
536 ἦσκε] ἔσκε mss.
538 ’Ϝίσατο § 201] εἴσατο mss. || χαλκὸς] καὶ τῆς mss. multa.
542 Διοκλέεος § 73] -κλῆος mss. || Ὀρσίλοχον] vid. ad vs. 546 sq.
544 ἦν] ἔεν? vid. § 302.
545 Ἀλφειοῖ’ § 59] -οῦ mss.
546 sq. Ὀρσίλοχον et Ὀρσίλοχος] Ὀρτίλοχον et Ὀρτίλοχος Ar. D² Townl. Genev.; cf. γ 489.
547 sq. Διοκλέεα et -κλέεος § 73] -κλῆα et -κλῆος mss.
553 τὼ] *τότε? || θανάτοι’ ἐκάλυψε] -τοιο κάλ. mss.; cf. § 59.
554 οἵω τώ γε] verba mire collocata; οἵω τ’ αὖτε Heyne, οἵω θῆρε Nauck, τὼ οἵω τε Foerstemann.
560 ἐοικότε Ar. L Mosc.] -τες mss. cett.

'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, 562 = *Δ* 495
σείων ἐγχείην· τοῦ δ' ὤτρυνεν μένος Ἄρης,
τὰ φρονέων ἵνα χερσὶν ὑπ' Αἰνείαο δαμείη. [541 cf. *P* 653
τὸν δ' ἔϝιδ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς, 565^{b} = *N* 400 Ψ
'βῆ δὲ διὰ προμάχων· περὶ γὰρ 'δϝίε ποιμένι λαῶν, 566^{a} = *Δ* 495
μή τι πάθοι, μέγα δέ σφας ἀποσφήλειε πόνοιο.
τὼ μὲν δὴ χεῖράς τε καὶ ἔγχεα ὀξυόεντα
ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι·
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ 'μεῖνε, θοός περ ἐὼν πολεμιστὴς, 571 cf. *O* 585
ὡς ἔϝιδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
οἳ δ' ἐπεὶ οὖν νεκροὺς 'ϝέρυσαν μετὰ λαὸν Ἀχαιῶν,
τὼ μὲν ἄρα δϝειλὼ 'βαλέτην ἐν χερσὶν ἑταίρων,
αὐτὼ δὲ στρεφθέντε μετὰ πρώτοισ' ἐμαχέσθην.
ἔνθα Πυλαιμένεα 'ϝελέτην ἀτάλαντον Ἄρηι,
ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
τὸν μὲν ἄρ' Ἀτρεΐδης δουρὶ κλειτὸς Μενέλαος
ἑσταότ' ἔγχε' ἔνυξε κατὰ κληῖδα τυχήσας·
Ἀντίλοχος δὲ Μύδωνα 'βάλ', ἡνίοχον θεράποντα,
ἐσθλὸν Ἀτυμνιάδην, — ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους, —
χερμαδίῳ ἀγκῶνα τυχὼν μέσον· ἐκ δ' ἄρα χειρῶν
ἡνία λεύκ' ἐλέφαντι χαμαὶ 'πέσον ἐν κονίῃσι.
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφε' ἤλασε κόρσην· 584^{b} cf. *N* 576
αὐτὰρ ὅ γ' ἀσθμαίνων ἐυϝεργέος ἔκπεσε δίφρου 585 = *N* 399; 585 sq. cf. *Π* 742 sq.
κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.
δϝηθὰ μάλ' εἱστήκει, 'τύχε γὰρ ψαμάθοιο βαθείης,
ὄφρ' ἵππω πλήξαντε χαμαὶ 'βάλον ἐν κονίῃσι.
τοὺς ἵμασ' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ' Ἀχαιῶν. [sq.
τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς 590^{b} sq. = *Λ* 343

565 *ἔϝιδ'*] *ἴδεν* mss.

567] non sine causa damnat PKnight. || *πάθοι*] *πάθῃ* mss. pleraque. || *σφας*] *σφεας* mss. complura vitio metrico; male Ahrens *σφε*. Cf. *π* 372 et § 92.

575 *πρώτοισ' ἐμαχέσθην*] *-σι μαχ.* mss.

576] non concinere versum *N* 658 multi observarunt.

578 *κλειτὸς*] *κλυτὸς* mss. metro invito.

579 *ἔγχε' ἔνυξε*] *ἔγχεϊ νύξε* mss.; vid. § 71.

584 *ξίφε'* § 71] *ξίφει* mss.

586 *κύμβαχος*] adi. redit *O* 536, sed ibi alio sensu; vid. etiam *Π* 379. || *ἐπὶ — ὤμους*] cf. Verg. Aen. XII 293 (*involvitur*) *in caput inque humeros.* || *βρεχμόν*] †, *occiput.*

587 *εἱστήκει*] *ἑστήκει* Ar. || *ψαμάθοιο*] (*ῥ'*) *ἀμάθοιο* mss. pleraque. Discrimen, quod hoc loco et h. Ap. 439 statuerunt grammatici inter *ψάμαθος arena littoralis* et *ἄμαθος pulvis*, ab ipsis fictum videtur.

κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
καρτεραί· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ,
ἣ μὲν ἔχουσα Κυδοιμὸν ἀναιδέα δηιοτῆτος,
Ἄρης δ' ἐν παλάμηφι πελώριον ἔγχος ἐνώμα,
'φοίταε δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθε.
τὸν δὲ Ϝιδὼν 'ρίγησε βοὴν ἀγαθὸς Διομήδης. 596 = Δ 345
ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος, ἰὼν πολέος πεδίοιο,
στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι,
ἀφρῷ μορμύροντα Ϝιδών, ἀνά τ' ἔδραμ' ὀπίσσω, 599ᵃ cf. Σ 403 Φ 325
ὣς τότε Τυδεΐδης ἀνεχάζετο, 'Ϝεῖπέ τε λαῷ·
„ὦ φίλοι, οἷον δὴ 'θαυμάζομεν Ἕκτορα δῖον
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν. 602 = Π 493 X [269
τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει· 603 cf. Υ 98
καὶ νῦν Ϝοι πάρα κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ϜεϜοικώς.
ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
Ϝείκετε, μηδὲ θεῷ μενεαίνετε Ϝῖφι μάχεσθαι."
ὣς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανε Ϝειδότε χάρμης,
ἐν ἑνὶ δίφρῳ ἐόντε, Μενεσθέα Ἀγχίαλόν τε. 609ᵃ = 160
τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας· 610ᵃ cf. 561
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ, 611 = Δ 496
καὶ 'βάλεν Ἄμφιον, Σελάγοι' υἱόν, ὅς ῥ' ἐν Ἀπαισῷ
'ναῖε πολυκτήμων πολυλήιος· ἀλλά Ϝε μοῖρα
ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.

---

591 κεκληγώς] -γγώς? cf. § 223.

593 ἀναιδέα] vid. ad Δ 521.

594 παλάμηφι] -μησι mss.; pluralis hic ferri nequit, -μηφι autem extat Γ 338, 368 Π 139 ρ 4. Redit vitium Θ 111 Π 74, vid. etiam Λ 238; dubitari potest Ο 411, 677 ε 234.

595 'φοίταε § 191] φοίτα mss.

597 ἀπάλαμνος] †, *imperitus* (παλάμη saepius). || πολέος πεδίοιο] vid. ad Β 785.

603 πάρα εἷς] hiatus vitiosus; Bentley πάρα τις coll. vs. 185, Fick πάραι εἷς; Nauck πάρ' ἕεις, quae non est sincera forma (cf. § 91). Redit vitium Υ 98.

605 πρὸς] malumus ποτὶ, cf. § 25 et 315.

606 θεῷ Nauck] θεοῖς mss.; cf. § 60. || μενεαίνετε Heyne] μενεαινέμεν mss.

609 ἐν § 315] εἰν mss. || Μενεσθέα] Μενέσθην mss., Μενεσθῆν Ar., alii Μενέστην, Μενεσθῆ' Christ; cf. § 76. || Ἀγχίαλον] vid. ad Β 640.

612 Σελάγοι' § 59] -γου mss. || υἱὸν] vid. § 17. — Quoniam duriores sunt versus numeri, tentavimus *καὶ 'βάλ' υἱὸν Σελάγοι' Ἀμφίονα, coll. λ 262, 283. Nomen Ἄμφιος tamen etiam Β 830 occurrit. || ἐν Ἀπαισῷ dubitanter Heyne] ἐνὶ Παισῷ mss., quam lectionem agnoscunt Steph. Byz. s. v. Ἀπαισός et Herodian. π. μον. λέξ. p. 38 Dind.; vid. Β 828.

613 πολυκτήμων πολυλήιος] cf. Ι 125 [sq.]. Multa habebat bona emta pacisve artibus parata (κτητά), multa etiam praedatus erat (ληιστά). Adi. πολυλήιος redit h. Merc. 171, cf. βαθυλήιος Σ 550.

614 ἐπικουρήσοντα] †.

τόν ῥα κατὰ ζωστῆρα ’βάλεν Τελαμώνιος Αἴας, — 615 cf. *P* 578
νειαίρῃ δ’ ἐν γαστρὶ ’πάγη δολιχόσκιον ἔγχος, — 616[a] = 539
’δούπησεν δὲ πεσών, ὃ δ’ ἐπέδραμε φαίδιμος Αἴας
τεύχεα συλήσων· Τρῶες δ’ ἐπὶ δούρατ’ ἔχευαν
ὀξέα παμφανάοντα· σάκος δ’ ἀνεδέξατο πολλά.
αὐτὰρ ὃ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
ἐσπάσατ’· οὐδ’ ἄρ’ ἔτ’ ἄλλα ’δυνήσατο τεύχεα καλὰ — 621 sq. = *N* 510 sq.
ὤμοιίν Ϝ’ ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι.
’δϜεῖσε δ’ ὅ γ’ ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε’ ἔχοντες,
οἵ Ϝε μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν — 625 sq. = *Δ* 534 sq.
ὦσαν ἀπὸ σφείων· ὃ δὲ χασσάμενος ’πελεμίχθη.

ὣς οἳ μὲν ’πονέοντο κατὰ κρατερὴν ὑσμίνην· — 627 = 84
Τληπόλεμον δ’ Ἡρακλεΐδην, ἠύν τε μέγαν τε, — 628 cf. *B* 653
ὦρσεν ἐπ’ ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
οἳ δ’ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ’ ἀλλήλοισιν ἰόντες, — 630 = *Γ* 15
υἱός θ’ υἱωνός τε Διὸς νεφεληγερέταο, — 631[a] cf. *ω* 515
τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔϜειπε· — 632 cf. *N* 306 *π* 460 *ρ* 74
„Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
πτωσσέμεν’ ἐνθάδ’ ἐόντι, μάχης ἀδαήμονι φωτί;
ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
ἔμμεν’, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων. — 637[a] cf. *Y* 305
ἀλλοῖόν τινά φασι βίην Ἡρακλεεείην
ἔμμεν’, ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα· — 639[b] = *λ* 267
ὅς ποτε δεῦρ’ ἐλθὼν ἕνεχ’ ἵππων Λαομέδοντος

---

619 *παμφανάοντα* § 191] *-νόωντα* mss.
620 *νεκροῦ*] *νεκρόο*? cf. § 59.
622 *Ϝ’] addidimus, item Cobet in schedis.
623 *ἀμφίβασιν*] †, *defensionem* (Troianos caesi corpus *ἀμφιβεβηκότας*, vid. ad *A* 37). Cf. *πρόβασιν* *β* 75. || *ἀγερώχων*] vid. ad *B* 654.
627-698] apparet postmodo esse additos, fortasse ab eodem homine qui Rhodiorum mentionem Catalogo inseruit; vid. ad *B* 653 sqq.
630 *ἰόντες*] *ἰόντε* Ar. in altera ed.
634 *πτωσσέμεν’* § 125] *-ειν* mss.
636 *ἔμμεν’* § 125] *εἶναι* mss.
638 *ἀλλοῖον* Tyrannio, ut *π* 181] *ἀλλ’ οἷον* Aristoph. Ar. mss., ut *δ* 242 *λ* 519. || *Ἡρακλεεείην* § 73] *-κληείην* mss., Zen. *Ἡρακλείην* metro invito (? *-κλεΐην* Lehrs).
639 *ἔμμεν’* § 125] *εἶναι* mss. || *θρασυμέμνονα*] nonnisi versu parall. redit.
640 sqq.] Laomedontis filiam Hesionen cum a belua servasset Hercules (cf. *Y* 145 sqq.), equis regis (cf. vs. 265 sqq.), mercede pacta, destitutus urbem expugnavit.
640 *ὅς*] *ὥς* Ambr.

ϝὲξ οἷος σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισι
Ϝιλίου ἐξαλάπαξε πόλιν, 'χήρωσε δ' ἀγυιάς·
σοὶ δὲ κακὸς μὲν θυμὸς, ἀποφθινύθουσι δὲ λαοί.
οὐδέ τί σε Τρώεσσιν ὀίομαι ἄλκαρ ἔσεσθαι
ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα πύλας Ἀϝίδαο περήσειν." 646ᵇ cf. Ψ 71
τὸν δ' αὖ Σαρπηδὼν, Λυκίων ἀγὸς, ἀντίον ηὔδα·
„Τληπόλεμ', ἦ τοι κεῖνος ἀπώλεσε Ϝίλιον ἱρὴν
ἀνέρος ἀφραδίηφιν ἀγανοῦ Λαομέδοντος,
ὅς ῥά μιν εὖ ϝέρξαντα κακῷ ἠνίπαπε μύθῳ,
οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν 652 = Λ 443
ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα 653ᵇsq. = Λ 444sq. 653ᵇcf. Λ 749 Π 848
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϝιδι κλυτοπώλῳ." 654 cf. Π 625
ὣς 'φάτο Σαρπηδὼν, ὃ δ' ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος. καὶ τῶν μὲν ὁμαρτῇ δούρατα μακρὰ
ἐκ χειρῶν ἤιξαν· ὃ μὲν 'βάλεν αὐχένα μέσσον
Σαρπηδὼν, αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή· [Χ 466
τὸν δὲ κατ' ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε. 659 = Ν 580 cf. 659ᵇ cf. Ν 425
Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
'βεβλήκειν, αἰχμὴ δὲ διέσσυτο μαιμάουσα,
ὀστέῳ ἐγχριμφθεῖσα, πατὴρ δ' ἔτι λοιγὸν ἄμυνε.
οἳ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
ἐξέφερον πολέμοιο· 'βάρυνε δέ μιν δόρυ μακρὸν
ἑλκόμενον· τὸ μὲν οὔ τις ἐπεφράσατ' οὐδ' ἐνόησε
667 σπευδόντων· τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.

666 μηροῖ' ἐκϝερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη,

641 *οἷος σὺν* Fick coll. *P* 145] *οἴης σὺν* mss. pleraque, *οἴησιν* D Mosc. Neque praepositio abesse potest neque ferendum est -*ης* pro -*ησι* (cf. § 57).

649 *ἀφραδίηφιν*] -*ησιν* mss.

650 *ῥά μιν εὖ*] **μιν ἐὺ*?

653 *τεύξεσθαι*] pass. †, cf. § 236. Peppmueller *γ' ἔσσεσθαι* coll. *λ* 444.

654 *κλυτοπώλῳ*] epitheton Orci nonnisi locis parall. redit, ex Homero autem illustrari nequit, sed cf. fabula de raptu Proserpinae. Etiam in arte Etruscorum mortis deus et equus iungi solent.

656 *ὁμαρτῇ*] *ἁμαρτὴ* Ar., *ἁμαρτῇ* mss. pleraque; cf. § 319.

657 *ἤιξαν*] sic Ar., *ἤιξεν* Ambr.

659 **ὀφθαλμώ*] -*μῶν* mss. Vitium aut hiatus peperit aut locutio subsimilis *κατ' ὀφθαλμῶν 'κέχυτ' ἀχλύς* (vs. 696 alibi). Cf. *Ξ* 438 *Π* 325, 503; simillima vitia reperiuntur *Ι* 503 *ϑ* 64.

661 *βεβλήκειν* Ar.] -*κει* mss. multa. || *μαιμάουσα* § 191] -*μώωσα* mss.

665 *μὲν*] l. a. *οἱ*.

666] del. vHerwerden coll. *ϑ* 94, 533. || *μηροῖ'* § 59] *μηροῦ* mss.

Τληπόλεμον δ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ 668 cf. Η 311
ἐξέφερον πολέμοιο· 'νόησε δὲ δῖος Ὀδυσσεὺς 669b = Ι 223 π 5, 164
τλήμονα θυμὸν ἔχων, 'μαίμησε δέ ϝοι φίλον ἦτορ·
'μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν, 671 = δ 117 ω 235 cf. Θ 169 κ 151 υ 10
ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
ἢ ὅ γ' ἔτι πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο. 673 cf. Κ 506
οὐδ' ἄρ' Ὀδυσσῆι μεγαλήτορι μόρσιμον ἦεν
ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν' ὀξέι χαλκῷ·
τῷ ῥα κατὰ πληθὺν Λυκίων 'τράπε θυμὸν Ἀθήνη.
ἔνθ' ὅ γε Κοίρανον εἷλεν Ἀλάστορά τε Χρομίον τε
Ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
καί νύ κ' ἔτι πλέονας Λυκίων 'κτάνε δῖος Ὀδυσσεύς, 679 cf. Φ 211
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 680a = Γ 374
'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ, 681 = Δ 495
δϝεῖμα φέρων Δαναοῖσι. 'χάρη δ' ἄρα ϝοι προσιόντι
Σαρπηδών, Διὸς υἱός, ἔπος δ' ὀλοφυδνὸν ἔϝειπε· 683b = Ψ 102 τ 362
„Πριαμίδη, μὴ δή με ϝέλωρ Δαναοῖσιν ἐάσῃς
κεῖσθαι, ἀτάρ μ' ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰὼν
ἐν πόλι' ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρα 'μέλλον ἐγώ γε
νοστήσας ϝοἶκόνδε φίλην εἰς πατρίδα γαῖαν
εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν." 688 cf. Ρ 28
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη κόρυθ' αἰόλος Ἕκτωρ, 689 = Ζ 342 cf. Λ 511
ἀλλὰ παρήιξεν λελιημένος, ὄφρα τάχιστα 690b = Δ 465
ὤσαιτ' Ἀργεΐους, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο. 691 cf. Π 655
οἳ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι
εἷσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέι φηγῷ·
ἐκ δ' ἄρα ϝοι μηροῦ δόρυ μείλινον ὦσε θύραζε
ἴφθιμος Πελάγων, ὅς ϝοι φίλος ἦεν ἑταῖρος.

---

673 γ' ἔτι Nauck] γε τῶν mss.; vid. ad Κ 506.

678] cf. Verg. Aen. IX 766 Ov. Met. XIII 258.

682 ϝοι προσιόντι] Naber μιν (an ϝε?) προσιόντα coll. Θ 378, item Ξ 504 Ω 705 β 249 τ 463.

683 ἔπος] neglecto ϝ. Bentley ingeniose χάρη δ' ἄρα ϝοι Διὸς υἱὸς | Σαρπήδων προσιόντι, ϝέπος etc.

685 *ἀτάρ μ'(οι)] ἀλλ' mss. vitio metrico; vid. § 14 et Ε 848 Θ 126 Λ 836 Ο 118, 473 Ρ 300 Τ 9; simile est vitium ξ 41.

686 πόλι' § 74] πόλει mss.

690 λελιημένος] vid. Δ 465.

693 φηγῷ] hac voce non *fagus* indicatur sed *quercus*, quae tamen species intellegatur incertum. Eadem arbor, prope portam conspicua, commemoratur (Ζ 237) Η 22, 60 Ι 354 Λ 170 Φ 549.

695 Πελάγων] Σελάγων Ptolemaeus Oroandae.

τὸν δ' ἔλιπε ψυχή, κατὰ δ' ὀφθαλμῶν 'κέχυτ' ἀχλύς· 696^{b} = Π 344 cf.
αὖτις δ' ἀμπνύθη, περὶ δὲ πνοιὴ Βορέαο Υ 321^{b}, 421^{a} χ 88^{b}
'ζώγρε' ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν. 698^{b} = ε 468

Ἀργεῖοι δ' ὑπ' Ἄρηι καὶ Ἕκτορι χαλκοκορυστῇ
οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν
οὔτε ποτ' ἀντεφέροντο μάχῃ, ἀλλ' αἰὲν ὀπίσσω
'χάζονθ', ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα. [692
ἔνθα τίνα πρῶτον, τίνα δεύτατον ἐξενάριξαν 703 cf. Λ 299 Π
Ἕκτωρ τε Πριάμοιο πάις καὶ χάλκεος Ἄρης; 703^{a} = Θ 273
ἀντίθεον Τεύθραντ', ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ' αἰχμητὴν Αἰτωλὸν Ϝοινόμαόν τε,
Ϝοινοπίδην θ' Ἕλενον καὶ Ὀρέσβιον αἰολομίτρην,
ὅς ῥ' ἐν Ὕλῃ 'ναίεσκε μέγα πλούτοιο μεμηλώς,
λίμνῃ κεκλιμένος Κηφισίδι· πὰρ δέ Ϝοι ἄλλοι
'ναῖον Βοιωτοί, μάλα πίονα δῆμον ἔχοντες.

τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη 711 cf. Φ 418
Ἀργεΐους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ, 711^{a} = Η 17 cf. Γ
αὐτίκ' Ἀθηναίην Ϝέπεα πτερόεντα προσηύδα· 712 = Η 18 [21
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη, 713 sq. = Φ 419 / 713 = Δ 69 [sq. / 714 = Β 157
ἦ ῥ' ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ϝίλιον ἐκπέρσαντ' ἐυτειχέα ἀπονέεσθαι, 716 = Β 113
εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα θούριδος ἀλκῆς.“ 718 = Δ 418
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη. 719 = Β 166 cf. Θ 381
ἣ μὲν ἐποιχομένη χρυσάμπυκας ἤντυεν ἵππους 720 sq. = Θ 382sq.

697 ἀμπνύθη A[1]] ἀμπνύνθη mss. cetera; cf. Ξ 436 et § 186. L. a. ἐμπνύνθη, sic Ar.? vid. Χ 475.

698 'ζώγρε' § 191] ζώγρει mss. — Alias (Ζ 46 Κ 378 Λ 131) de iis qui *vivi capiuntur* usurpatur ζωγρέω (ζω- et ἀγρέω), hic *excitare* significat, a verbo ἐγείρειν igitur repetendum. || κεκαφηότα θυμόν] *animum efflantem* (anhelum). Cf. ε 468 et ἐκάπυσσε Χ 467.

700 προτρέποντο Ar. mss.] l. a. τράποντο. || ἐπὶ] sic Ar., alii olim ἀπό. De genitivo vid. Γ 5.

703 δεύτατον Naber] δ' ὕστατον mss. Cf. vs. 17. || ἐξενάριξαν Ar.] -ξεν mss. multa.

705] vid. ad Δ 9.

706 Τρῆχον] Τρίχωνα Fick, heroem eponymum urbis Aetolicae *Trichonii* significari ratus. || Αἰτωλὸν Bentley] Αἰτώλιον mss.

707 αἰολομίτρην] †, *fulgenti mitra insignem*. Cf. Δ 137.

708 Ὕλῃ] Ὕδῃ Zen. Vid. ad Η 221. || μεμηλώς] participium redit Ν 297 et 469, ibi quoque adiecto genitivo. Propter vim transitivam Nauck μεμηώς (μεμαώς) proposuit. Apud Hes. Oper. 231 μεμηλώς non de eo qui curat sed de re quae curae est usurpatur.

716 ἐυτειχέα Nauck] -χεον mss.

717 οὖλον] vid. ad Β 6.

720 ἤντυεν] ἔντυεν mss.

Ἥρη, πρέσβα θεὰ, θυγάτηρ μεγάλοιο Κρόνοιο· 721 cf. Ξ 194
Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς 'βάλε καμπύλα κύκλα,
χάλκεα, ὀκτώκνημα, σιδηρέῳ ἄξονι ἀμφί.
τῶν ἦ τοι χρυσέη Ϝίτυς ἄφθιτος, αὐτὰρ ὕπερθε
χάλκε' ἐπίσσωτρα προσαρηρότα, θαῦμα Ϝιδέσθαι·
πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθε.
δίφρος δὲ χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσι
ἐντέταται, δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι.
τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλετ'· αὐτὰρ ἐπ' ἄκρῳ
'δῆσε χρύσειον καλὸν ζυγὸν, ἐν δὲ λέπαδνα
κάλ' ἔβαλε χρύσει'· ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη
ἵππους ὠκύποδας, μεμαυῖ' ἔριδος καὶ ἀυτῆς.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο, 733-737 = Θ 384 sqq.
πέπλον μὲν κατέχευε Ϝεανὸν πατρὸς ἐπ' οὐδῷ,
ποικίλον, ὅν ῥ' αὐτὴ 'ποιήσατο καὶ 'κάμε χερσί·
ἣ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν εἰς πόλεμον 'θωρήσσετο δακρυόεντα. 737 cf. Θ 376
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετ' αἰγίδα θυσανόεσσαν, 738ᵃ = B 45
δϜεινὴν, ἣν πέρι μὲν πάντῃ φόβος ἐστεφάνωται, 738ᵇ cf. O 229 P 593 Σ 204 Φ 400
ἐν δ' Ἔρις, ἐν δ' Ἀλκὴ, ἐν δὲ κρυόεσσα Ϝιωκὴ, 739 cf. Λ 36 sq.
ἐν δέ τε Γοργείη κεφαλὴ δϜεινοῖο πελώρου, 741 cf. λ 634
δϜεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο. 742ᵇ = M 209 π 320
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην 'θέτο τετραφάληρον 743 = Λ 41

734—736 Zen. —

722] currus capsum, qui satis levis esse solebat, quamdiu nullus eius usus erat in basi (*βωμῷ*) fuisse positum et linteo opertum, e *Θ* 441 intellegitur; cf. *B* 777. || *ὀχέεσσι*] *ὀχέεσφι* mss. pleraque vitiose pro *ὄχεσφι*.

723 *χάλκεα*] de hiatu vid. § 15; *χάλκει'* Bentley. || *ὀκτώκνημα* Cobet] *ὀκτάκνημα* mss.; adi. †. || *ἀμφί*] *ἀμφίς* mss.; cf. § 316.

724 *χρυσέη*] cf. § 18 et 61.

725 *ἐπίσσωτρα*] *canthi*; *ὀπίσσωτρα* Par. 2766 et olim alii; cf. *Λ* 537 *Υ* 394, 502 *Ψ* 505, 519. Etymon incertum, sed priorem vocis partem esse praepositionem *ἐπι-* docet compositum *ἐύσσωτρος* *Ω* 578, si sana est ea vox. || *προσαρηρότα*] comp. non redit.

726 *πλῆμναι*] *modioli*; nonnisi *Ψ* 339 vox redit.

727 *χρυσέοισι*] cf. § 18 et 61.

729 *πέλετ'*] *πέλεν* mss. Praesens, quod in vicinia constanter adhibitum est, hic quoque requiri intellexit Bentley, *πέλει* scribens; praestat tamen forma medialis, vid. § 275.

730 *λέπαδνα*] lora pectoribus equorum circumliganda; vox *T* 393 redit.

734 **οὐδῷ*] *οὔδει*. Voces *οὖδας* et *οὐδός* confusae sunt etiam *Θ* 385 *Ω* 527. Vid. ad *ρ* 196.

736 *ἣ δὲ*] l. a. *ἠδὲ* ab Ar. reiecta.

738 *θυσανόεσσαν* A¹ Lips.] *θυσσ.* mss. cetera male; vid. § 21 et ad *B* 448.

739 *ἐστεφάνωται*] *-το* mss. multa; vid. ad vs. 729.

743 *ἀμφίφαλον ... τετραφάληρον*] adi. re-

χρυσείην, ἑκατὸν πολίων πρυλέεσσ' ἀραρυῖαν.
εἰς δ' ὄχεα φλόγεα πόσ' ἐβήσετο, 'λάζετο δ' ἔγχος 745-752 = Θ 389 [sqq.
βριθὺ μέγα στιβαρὸν, τῷ δάμνησι στίχας ἀνδρῶν 746 sq. = α 100 sq.
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμόπατρα. 746^{a} = Π 141, 802 Τ 388
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους· 748 cf. Ρ 430
αὐτόμαται δὲ πύλαι 'μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇσ' ἐπιτετράφαται μέγας οὐρανὸς Οὔλυμπός τε 750^{b} cf. Δ 497
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. 751 cf. λ 525
τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
ηὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων 753^{b} sq. = Δ 498 sq.
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη
Ζῆν' ὕπατον Κρονίδην ἐξείρετο καὶ προσέϝειπε· 756^{b} = Ω 361
„Ζεῦ πάτερ, οὐ νεμεσίζε' Ἄρῃ τάδε καρτερὰ ϝέργα, 757 cf. 872
ὀσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ' ἄχος; οἳ δὲ ϝέκηλοι 759^{a} = Β 214
τέρπονται Κύπρις τε καὶ ἀργυρότοξος Ἀπόλλων,
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα ϝοῖδε θέμιστα.
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα 762^{a} = 421
λυγρῶς πεπληγυῖα μάχης ἓξ ἀποδίωμαι;“

---

deunt versu parall.; cf. *φάλος* (saepius), *ἄφαλος* Κ 258, *τετράφαλος* Μ 384 Χ 315, *φάλαρα* Π 106 et de termino -*ηρον* (pro -*αρϳον*) § 6.

744 *πολίων* A[1] O] -*εων* mss. cetera; cf. § 74. ‖ *πρυλέεσσ'*] vox redit Δ 49 Μ 77 Ο 517 Φ 90; sintne *πρόμαχοι* intellegendi an *πεζοί* incertum. ‖ *ἀραρυῖαν*] *munitam, ornatam* (cf. Ξ 181 Ο 737 ζ 70). — Poeta dicere videtur in galea pugnas esse repraesentatas; verbis tamen parum aptis usus est, nam voces *centum urbium militibus* claram imaginem non praebent. Absurda vero foret versio *galeam tantam ut centum urbium milites posset capere*. Itaque corruptum esse locum veri est simile.

745 *φλόγεα*] nonnisi loco parall. redit. ‖ *πόσ' ἐβήσετο*] *ποσὶ βήσ.* mss.

746 *δάμνησι*] Aristarcho *δάμνησι* in scholio per errorem tribuitur.

747 *ὀβριμόπατρα* IMHoogvliet] -*πάτρη* mss.; vox nonnisi locis parall. redit.

748 *θοῶς*] loco parall. *θοῇ* legitur.

750 *ἐπιτετράφαται* Matro apud Athen. p. 134 *f*] -*τραπται* mss.

752 *κεντρηνεκέας*] nonnisi loco parall. redit.

754 *πολυδειράδος*] epitheton redit Δ 499 Θ 3; significat *saxosum*, a voce *δειράς saxum* (Soph. Aiac. 697 etc., cf. Att. *Δειράς* demi nomen), quam a voce *δειρή* (Att. *δερή*) *collum* distinxit Schulze Quaest. Ep. p. 95.

756 *ἐξείρετο*] *ἐξήρετο* mss. nonnulla; cf. § 264.

757 *Ζεῦ*] *ὦ* Apoll. lex. s. v. *ἀίδηλον*. ‖ *νεμεσίζε'* § 117] -*ζῃ* mss. ‖ *Ἄρῃ*] *Ἄρει* mss. multa, novicium utrumque, cf. § 73; *ὁρῶν* Apoll. lex. (ut vs. 872), quod fortasse verum est; an fuit olim **οὐ νεμεσίζε' Ἄρηι πάτερ*? ‖ *καρτερὰ ἔργα*] sic Ar., *ἔργ' ἀίδηλα* Apoll. lex. et mss. nonnulla, item Apollonius Rhod. (cf. Argon. III 1132)? quae sincera fortasse est lectio. Eadem est varietas vs. 872.

758 *ὀσσάτιον*] vox † et suspecta.

760 *Κύπρις*] vid. ad vs. 330.

763 *ἀποδίωμαι*] comp. †; de producta syllaba *ᾱ*- vid. § 21.

τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἄγρεε μάν ϝοι ἔπορσον Ἀθηναίην ἀγελείην,
ἥ ϝε μάλιστ' εἴωθε κακῇσ' ὀδύνῃσι πελάζειν."
344 κακομηχάνοο κρυοέσσης PKnight] -νου ὀκρυοέσσης mss.; cf. I 64 et § 59. Nihil est ὀκρυόεις, κρυόεις vero ita adhibitum extat E 740 I 2, item ῥιγεδανὴ Ἑλένη T 325.
348 ἀπέϝερσε] ἀπόερσε mss.
349 κακὰ ᾽τεκμήραντο] διετεκμήραντο D.
350 ὤφειλον L] ὤφελλον mss. cetera; cf. § 273. || ἔμμεν᾽ § 125] εἶναι mss.
351 ᾽ϝείδει § 160] ᾔδη mss.
352 ἄρα Christ] ἄρ mss.
353 τῷ] τοῦ vHerwerden, coll. O 16; vid. etiam Λ 410 N 733.
354 νῦν] sic Ar.; alii olim δὴ vel νυν?

εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδροι' ἕνεκ' ἀρχῆς, 356 cf. Γ 100
οἷσιν ἐπὶ Ζεὺς 'θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω 357 sq. cf. ϑ 579 sq.
ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισι."
τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κόρυθ' αἰόλος Ἕκτωρ· 359 = 263
„μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις. 360ᵇ = Σ 126
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται, ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσι.
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτὸς,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.
καὶ γὰρ ἐγὼ Ϝοῖκόνδε ἐλεύσομαι, ὄφρα Ϝίδωμαι
Ϝοικῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γὰρ Ϝοῖδ' ἢ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις
ἢ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμάουσιν Ἀχαιῶν."
ὣς ἄρα φωνήσας ἀπέβη κόρυθ' αἰόλος Ἕκτωρ. 369 = 116
αἶψα δ' ἔπειθ' ἵκανε δόμους ἐὺ ναιετάοντας, 370=497 cf. ρ 28, 85, 178 ω 362
οὐδ' ηὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισι, 370ᵇ=Λ 769 ρ 275, 324 φ 242 cf. υ 371
ἀλλ' ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐυπέπλῳ 371 cf. 377
πύργῳ ἐφειστήκει γοάουσά τε μυρομένη τε. 373ᵇ = Ψ 106 cf. τ 119
Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα 'τέτμεν ἄκοιτιν,
ἔστη ἐπ' οὐδὸν ἰών, μετὰ δὲ δμῳῇσιν ἔϜειπε· 375ᵃ cf. υ 128 φ 124, 149 ω 178, 493
„εἶ' ἄγε μοι, δμῳαί, νημερτέα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο; 377 cf. 371
ἠέ πη εἰς γαλόων ἢ' εἰνατέρων ἐυπέπλων; 378 sq. cf. 383 sq. 378 cf. Χ 473
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι 378ᵇ = Ω 769
Τρῳαὶ ἐυπλόκαμοι δϜεινὴν θεὸν ἱλάσκονται;" 380 = 385
τὸν δ' αὖτ' ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔϜειπε·
„Ἕκτορ, ἐπεὶ μάλ' ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτε πη εἰς γαλόων οὔτ' εἰνατέρων ἐυπέπλων 383 sq. cf. 378 sq.

---

356 ἐμεῖο κυνὸς] ἐμῆς ἔριδος vHerwerden ex Γ 100, quo facilius intellegatur quod sequitur ἀρχῆς. || Ἀλεξάνδροι' § 59] -δρου mss. || ἀρχῆς] ἄτης mss. pleraque. Cf. Γ 100.

358 ἀοίδιμοι] redit h. Ap. 299; cf. ϑ 580 ω 200.

361 ἐπέσσυται, ὄφρ'] constructio insolita pro ἐπέσσυται cum infinitivo.

365 -δε ἐλεύσομαι] -δ' ἐσελεύσομαι mss. multa. Cf. α 88 (ζ 296 ο 504) ρ 52.

367 Ϝοῖδ' Heyne] (ἔ)τ' οἶδ' mss. || ἢ § 327] εἰ mss.; insolite corripitur ἤ (εἰ Χ 410 λ 317), vid. § 16.

368 δαμάουσιν § 191] -μόωσιν mss.

373 ἐφειστήκει mss. pleraque] ἐφεστήκει Ar. || γοάουσα § 191] γοόωσα mss.

376 εἶ' § 328] εἰ δ' mss.

378 γαλόων ... εἰνατέρων] *glorum* (i. e. coniugis sororum)... *ianitricum* (i. e. levirorum uxorum). Cf. Γ 122 et loci parall.

380 Τρῳαὶ] notetur forma contracta, item vs. 385.

οὔτ᾽ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δϝεινὴν θεὸν ἱλάσκονται, 385 = 380
ἀλλ᾽ ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ᾽ ἄκουσε
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος ἔμμεν᾽ Ἀχαιῶν.
ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
μαινομένῃ ϝεϝικυῖα· φέρει δ᾽ ἅμα παῖδα τιθήνη.“
ἦ ῥα γυνὴ ταμίη, ὃ δ᾽ ἀπέσσυτο δώματος ῞Εκτωρ
τὴν αὐτὴν ὁδὸν αὖτις ἐὐ κτιμένας κατ᾽ ἀγυιάς.
εὖτε πύλας ἵκανε διερχόμενος μέγα ϝάστυ
Σκαιάς, τῇ ἄρ᾽ ἔμελλε διεξίμεναι πεδίονδε,
ἔνθ᾽ ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα 394ᵇ = O 88
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, 395 = Θ 187
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ, 396 cf. X 479
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ᾽ ἄνδρεσσι ϝανάσσων· 396ᵇ = 425
τοῦ περ δὴ θυγάτηρ ἔχεθ᾽ ῞Εκτορι χαλκοκορυστῇ.
ἥ ϝοι ἔπειτ᾽ ἤντησ᾽, ἅμα δ᾽ ἀμφίπολος ᾽κίεν αὐτῇ 399ᵇ cf. X 461
παῖδ᾽ ἐπὶ κόλπῳ ἔχουσ᾽ ἀταλάφρονα, νήπιον αὔτως,
῾Εκτορίδην ἀγαπητὸν, ἀλίγκιον ἀστέρι καλῷ,
τόν ῥ᾽ ῞Εκτωρ ᾽καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι 402 sq. cf. X 506 sq.
ϝαστυϝάνακτ᾽· οἶος γὰρ ἐρύετο ϝίλιον ῞Εκτωρ.
ἦ τοι ὃ μὲν ᾽μείδησε ϝιδὼν εἰς παῖδα σιωπῇ·
Ἀνδρομάχη δέ ϝοι ἄγχι παρίστατο δάκρυ χέουσα,
ἔν τ᾽ ἄρα ϝοι ᾽φῦ χειρὶ ϝέπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε· 406 = 253
„δαιμόνιε, φθίσει σε τεὸν μένος, οὐδ᾽ ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη

---

385 *Τρῳαί*] cf. vs. 380.

386 *Ἰλίου*] neglecto ϝ. Naber *ἐπὶ τεῖχος ἔβη μέγα ϝιλίου* (ut vs. 388) coll. *M* 333. Nobis in *μέγαν Ἰλίου* latere videtur **μέγα νηπίη*, cf. *Π* 46 *ι* 44, urbis enim nomen hinc alienum; cui suspicioni favet vox *πύργον* *X* 462 nude posita.

387 *ἔμμεν᾽* § 125] *εἶναι* mss.

388 sq.] del. PKnight.

388 *ἐπειγομένη*] *cito*. Cf. *E* 902.

389 *μαινομένῃ ϝεϝικυῖα*] cf. *μαινάδι ϝίσῃ* *X* 460.

391 *τὴν αὐτήν*] novicium; cf. § 98.

393 *πεδίονδε*] *πεδίοιο* D.

394 *πολύδωρος*] cf. *ἠπιόδωρος* vs. 251. Uxoris epitheton *X* 88 *ω* 294 redit; videtur idem valere quod *ἀλφεσίβοιη* *Σ* 593 (id est *πολύϝεδνος*).

396 *Ἠετίων*] constructio insolita; infeliciter Bentley *Ἠετίωνος ὃ ναῖε* (cf. *Φ* 86), vHerwerden *ζωὸς ἐών* (coll. *B* 699 *P* 153, 271, 478, 672 *X* 436 al.). — De epanalepsi vid. ad *B* 672.

400 *ἀταλάφρονα*] † (*ἀταλός* saepius).

401 *ἀλίγκιον*] alibi (excepto *ϑ* 174) constanter *ἐναλίγκιος*.

407 *τεόν* PKnight] *τὸ σόν* mss.; vid. ad *A* 185.

408 *ἔμ᾽ ἄμμορον*] sic Ar., alii olim *ἐμὸν μόρον*, cf. *Ω* 773.

σεῖ' ἔσομαι· τάχα γάρ σε κατακτενέουσιν Ἀχαιοὶ
πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη 410ᵇ = β 74
σεῖ' ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
ἔσται θαλπωρή, εἴ κεν σύ γε πότμον ἐπίσπῃς.
ἦ τοι γὰρ πατέρ' ἡμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν 'πέρσεν Κιλίκων εὖ ναιετάουσαν,
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, 'σεβάσσατο γὰρ τό γε θυμῷ, 417ᵇ = 167
ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισι
ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο.
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισι,
οἳ μὲν πάντες ἰῷ 'κίον ἤματι Ἄϝιδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἔπ' εἰλιπόδεσσι καὶ ἀργεννῇσ' ὀίεσσι.
μητέρα δ', ἣ 'βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ, 425ᵇ = 396
τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσι,
ἂψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι' ἄποινα,
πατρὸς δ' ἐν μεγάροισι 'βάλ' Ἄρτεμις ἰοχέαιρα. 428ᵇ = ο 478
Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης·
ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτόθι μίμν' ἐπὶ πύργῳ,
μὴ παῖδ' ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα."

413 *ἀλλ' ἄγε· οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ.*
433 *λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα*
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
433—439 Ar. —

409 *σεῖ'* § 92] *σευ* mss. || *κατακτενέουσιν* Cobet] *-κτανέουσιν* mss. Redit vitium Ξ 481 (Ο 702) Σ 309 (Χ 13, 124).

411 *σεῖ'* § 92] *σεῦ* mss. || *χθόνα δύμεναι*] cf. *γαῖαν ἐδύτην* vs. 19.

412 **εἴ κεν*] *ἐπεὶ ἂν* mss.; cf. § 326.

413] cum sequentibus (—439) del. PKnight; e vs. 429 fluxisse videtur.

414 sqq.] imitatus est Soph. Ai. 514 sqq., hunc Quintus Smyrnaeus V 532 sqq.

414 *γὰρ*] *μὲν* Strab. XIII p. 619. || *ἡμὸν* § 95] *ἁμὸν* vel *ἀμὸν* mss.

415 *ναιετάουσαν* § 191] *-τάωσαν* mss. multa, *-τόωσαν* Ar.

417 *'σεβάσσατο*] vid. ad vs. 167.

422 *ἰῷ*] cf. § 91.

428 *πατρὸς*] sc. *matris meae.*

429 sqq.] praeter Sophoclem (vid. ad vs. 414 sqq.) hunc locum imitati sunt Eur. Helen. 277 sqq. (Hec. 280 sq.), Ovid. Heroid. III 52, Terent. Andr. I 5, 60.

431 *αὐτόθι* § 322] *αὐτοῦ* mss.

432 *θήῃς*] sic Ar., *θείης* mss. multa. Cf. § 122.

433 *ἐρινεὸν*] cf. Λ 167 Χ 145.

434 *ἀμβατός*] sic Ar., *ἀμβατή* Callistratus; adi. redit λ 316. || *ἐπίδρομον*] †. — Qui hunc locum scripsit videtur nosse fabulam ad quam alludit Pind. Ol. VIII 30 sqq., Aeaco

τὴν δ' αὖτε προσέϜειπε μέγας κορυθ' αἰόλος Ἕκτωρ· $440 =$ X 232 cf. H 233
„ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς $441^{b} =$ K 38 T 23 X 454
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους, $442 =$ X 105
αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ 'μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι,
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε Ϝοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν, 447-449 = Δ 163 sqq.
ἦμαρ ἔσεσθ' ὅτε κέν ποτ' ὀλώλῃ Ϝίλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο.
ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
οὔτ' αὐτῆς Ϝεκάβης οὔτε Πριάμοιο Ϝάνακτος
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσι,
ὅσσον σεῖ', ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀποϜράς. $455^{b} =$ Π 831 Υ 193
καί κεν ἐν Ἄργε' ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνῃς,
καί κεν ὕδωρ φορέῃς Μεσσηίδος ἢ Ὑπερείης
πόλλ' ἀϜεκαζομένη, κρατερὴ δ' ἐπικείσετ' ἀνάγκη. 458^{a} cf. ν 277
καί ποτέ τις Ϝείπῃσι Ϝιδὼν κατὰ δάκρυ χέουσαν· $459^{a} =$ H 87 cf. Z 479
‚Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι $460^{b} =$ Λ 746 Π 292
Τρώων ἱπποδάμων, ὅτε Ϝίλιον ἀμφεμάχοντο.‛

τρὶς γὰρ τῇ γ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ' ἀμφ' Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἤ ποθί τίς σφιν ἐνίσπε θεοπροπίων ἐὺ Ϝειδώς,
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει. $439^{b} =$ O 43

---

adiutore Apollinem et Neptunum Troiae moenia aedificasse, ea autem parte quam mortalis homo extruxisset hostibus aditum a fato fuisse concessum (vid. vs. 438).

435 *τρίς*] *hodie*? An eo belli tempore quod Iliadis initium antecessit? Non tamen nominatur Achilles.

437 *Ἀτρεΐδας*] *-δα* Ixio.

438 *ποθί* § 322] *πού* mss. || *θεοπροπίων*] *-πέων* et *-πίας* mss. nonnulla. Suspecta est vox *θεοπρόπιον* h. l. et Α 85, ubi vide; legendum videtur *-πίης*; Nauck *-πιῶν*, at vide § 56.

439 *αὐτῶν*] alii olim *αὐτούς*. || *ἐποτρύνει*] *ἐπώτρυνεν* Duentzer; quam si quis probat coniecturam, simul scribat *ἄνωγε* (cf. § 225).

444 *ἄνωγεν*] vid. § 225.

447 *γάρ*] *μέν* mss. complura.

448 **ἦμαρ ἔσεσθ' ὅτε κέν*] *ἔσσεται ἦμαρ ὅτ' ἄν* mss.; cf. Δ 164.

449 **ἐυμμελίης*] *-λίω* (*-ου*) mss. Cf. Δ 47, 165.

454 *σεῖ'*] sic recte h. l. mss., cf. § 92.

455 *ἀποϜράς* § 150] *ἀπούρας* mss.

456 sq.] *ἐν Ἄργεϊ* apud *Agamemnonem*, vel ad Laconicae fontem *Μεσσηίδα* (Pausan. III 20 § 1) *Menelao* serviens, vel in *Achillis* regno ubi erat fons *Ὑπέρεια* (B 734, Pind. Pyth. IV 125). || *Ἄργε'* § 71] *Ἄργει* mss. || *ὑφαίνῃς ... φορέῃς*] *ὑφαίνοις ... φορέοις* mss. pleraque.

ὥς ποτέ τις Ϝερέει· σοὶ δ' αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ' ἀνδρός, ἀμύνειν δούλιον ἦμαρ. 463ᵃ cf. Τ 324
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι, 464ᵇ cf. Ξ 114
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ' ἑλκηθμοῖο πυθέσθαι."
ὣς Ϝειπὼν Ϝοῦ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
ἂψ δ' ὁ πάις πρὸς κόλπον ἐυζώνοιο τιθήνης
ἐκλίνθη ϜιϜάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
δϜεινὸν ἀπ' ἀκροτάτης κόρυθος νεύοντα νοήσας.
ἐκ δ' ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
αὐτίκ' ἀπὸ κρατὸς κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ, 472ᵇ = 494
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανάουσαν·
αὐτὰρ ὃ Ϝὸν φίλον υἱὸν ἐπεὶ 'κύσε 'πῆλέ τε χερσί,
'Ϝεῖπεν ἐπευξάμενος Διί τ' ἄλλοισίν τε θεοῖσι·
„Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ' ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσι, 477 cf. h. Ven. 103
ὧδε βίην τ' ἀγαθὸν καὶ Ϝιλίου ἶφι Ϝανάσσειν·
καί ποτέ τις Ϝείποι ‚πατρός γ' ὅδε πολλὸν ἀμείνων' 479ᵃ cf. 459
ἐκ πολέμοι' ἀνιόντα, φέροι δ' ἔναρα βροτόεντα
κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ."
ὣς Ϝειπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ' ἑϜόν· ἣ δ' ἄρα μιν κηώδεϊ 'δέξατο κόλπῳ 483ᵇ cf. h. Cer. 231
δακρυόεν γελάσασα· πόσις δ' ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξε Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 485 = Α 361

463 *δούλιον*] adi. novicium, vid. ad Γ 409. Versus postmodo additus videtur.

464 *τεθνηῶτα*] *-ειῶτα* mss. pleraque.

465 *γέ τι*] sic et *γ' ἔτι* veteres grammatici et mss.; verum videtur **γε τεῆς*, vid. ad Α 185. || *βοῆς ... ἑλκηθμοῖο*] hendiadys; Nauck *τε κλαυθμοῖο* coniecit vix recte. Vox *ἑλκηθμός* †.

467 *δ' ὁ*] *δὲ*?

469 *ἱππιοχαίτην*] † (*ἱππιο-* redit in *ἱππιοχάρμης* Ω 257 λ 259).

473 *παμφανάουσαν* § 191] *-νόωσαν* mss.

474 *ὃ* Bentley] *ὅ γ'* mss.

475 *'Ϝεῖπεν*] *εἶπε δ'* Ar.

476 sqq.] imitatus est Soph. Ai. 550 sq.

478] del. Heyne. || *ἶφι*] neglecto Ϝ. Bentley *λαοῦ Ϝῖφι*.

479 *εἴποι*] sic Nicanor h. l. et ad Ν 352, item Parisin. 2766 et suprascr. in A; *εἴπῃσι* mss. cetera. Erroris, quem pepererunt loci subsimiles (Ζ 459 Η 87 ζ 275), indicium est prior syllaba vocis *πατρός* correpta, quae alibi sine ulla exceptione producitur; cf. § 25 et ad Π 554. Optativum in precibus flagitat grammatica: *utinam dicat aliquis*; in parallelis vero versibus suus locus est subiunctivo, qui a futuro indicativi prope distat: *dixerit aliquis*, non de optabili re sed de verisimili. Subiunctivum *-ῃσι* h. l. defendere frustra conatus est Ludwich Aristarch. II p. 351, Dawesio Cobeto aliis oblocutus.

480 *πολέμοι'* § 59] *-μου* mss.

483 *κηώδεϊ*] vid. ad Γ 382.

484 *ἐλέησε*] *ἐλέαιρε* mss. nonnulla.

„δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ,
οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ Ἄϝιδι προϊάψει·
μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπεὶ τὰ πρῶτα γένηται.
ἀλλ' εἰς ϝοῖκον ἰοῦσα τέ' αὐτῆς ϝέργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ϝέργον ἐποίχεσθαι· πόλεμος δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοὶ, τοὶ Ϝιλίῳ ἐγγεγάασι."
ὣς ἄρα φωνήσας κόρυθ' εἵλετο φαίδιμος Ἕκτωρ
ἵππουριν· ἄλοχος δὲ φίλη ϝοῖκόνδ' ἐβεβήκει
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετάοντας
Ἕκτορος ἀνδροφόνοιο, 'κιχήσατο δ' ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσε.
αἳ μὲν ἔτι ζωὸν 'γόον Ἕκτορα ϝῷ ἐνὶ ϝοίκῳ·
οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεσθαι, προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.

οὐδὲ Πάρις 'δήθυνεν ἐν ὑψηλοῖσι δόμοισι,
ἀλλ' ὅ γ', ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
'σεύατ' ἔπειτ' ἀνὰ ϝάστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐυρρεέος ποταμοῖο,
κυδιάων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοισ' ἀίσσονται· ὃ δ' ἀγλαΐηφι πεποιθὼς,

489 cf. ϑ 553
489^a = χ 415
490 sq. = α 356 sq. φ 350 sq.
492 cf. α 358 φ 352
492^b = Υ 137 cf. λ 352 h. VI 27
493^a = α 359 λ 353 φ 353 ψ 61
494^b = 472
497 = 370
501 cf. χ 35
502^b = Ν 105 cf. Η 309 Μ 166 Ν 318 Ρ 638 λ 502 Ν 287 Ξ 73
504 cf. μ 228
505^b = Χ 138
506-511 = Ο 263 sqq.
509^b sq. cf. h. Cer. 177

---

489 ἐπεὶ § 326] ἐπὴν mss. || τὰ] τε dubitanter Monro. || πρῶτα] πρωτὰ quidam teste Herodiano (= πεπρωμένα!).

490 τέ' αὐτῆς PKnight] τὰ σαυτῆς vel τὰ σ' αὐτῆς mss.; cf. Α 185. Locum imitatus est Aesch. Sept. 200 sq.

493 πᾶσι, μάλιστα δ' ἐμοὶ Hoffmann] πᾶσιν, ἐμοὶ δὲ μάλιστα mss. Integer verborum ordo servatus est locis parall., qui hinc deducti sunt, α 359 λ 353 φ 353; vid. etiam ψ 61.

500 'γόον] corruptum; Nauck στένον, vHerwerden γόαον τὸν ϝῷ vel γοάεσκον ϝῷ.

501 μιν] vid. ad Ε 385; correctio ἔτι μιν non videtur requiri.

506-511] praeter locum parallelum cf. similis comparatio Χ 22 sq.; imitatur Verg. Aen. XI 492-497.

506 στατὸς ... ἀκοστήσας] voces nonnisi loco parallelo redeunt; vocem ἀκοστή = κριθή Cypriis tribuit Hesych.

507 θείῃ] -ει mss. nonnulla. || πεδίοιο] de genitivo vid. ad Β 785. || κροαίνων] nonnisi loco parall. redit.

508 λούεσθαι] λοέεσθαι? cf. § 295. || ἐυρρεέος § 73] -ρεῖος mss.

509 κυδιάων § 191] -όων mss.

510 sq.] de anacolutho vid. ad Β 353.

510 πεποιθὼς] γεγηθὼς Naber.

ῥίμφα ϝε γοῦνα φέρει μετὰ ϝήθεα καὶ νομὸν ἵππων·
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ ἐβεβήκει 513ª = *T* 398
καγχαλάων, ταχέες δὲ πόδες 'φέρον. αἶψα δ' ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεὸν, εὖτ' ἄρ' ἔμελλε
στρέψεσθ' ἐκ χώρης, ὅθι ϝῇ ὀάριζε γυναικί.
τὸν πρότερος προσέϝειπεν Ἀλέξανδρος θεοϝειδής·
„ἠθεῖ', ἦ μάλα δή σε καὶ ἐσσυμένον κατερύκω 518ª = *X* 229
δηθύνων οὐδ' ἦλθον ἐναίσιμον, ὡς ἐκέλευες;“ 518ᵇ cf. *Π* 9 *ο* 73
τὸν δ' ἀπαμειβόμενος προσέφη κόρυθ' αἰόλος Ἕκτωρ·
„δαιμόνι', οὔ κέν τίς τοι ἀνὴρ, ὃς ἐναίσιμος εἴη, 521ᵇ = *κ* 383
ϝέργον ἀτιμάσσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ϝεκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ' ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ' ἴομεν· τὰ δ' ὄπισθεν ἀρεσσόμεθ', αἴ κέ ποθι Ζεὺς 526ᵇ = *Δ* 128
δώῃ ἐπουρανίοισι θεοῖσ' αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισι,
ἐκ Τροίης ἐλάσαντας ἐυκνήμιδας Ἀχαιούς.

---

511 *ῥίμφα ϝε*] *ῥίμφ' ἑὰ* Zen., idque verum ducit vHerwerden. ‖ *μετὰ* Heyne] *μετά τ'*.

513 *ἠλέκτωρ*] solis nomen vel epitheton (*fulgens*) redit *T* 398 h. Ap. 369, cf. *ἤλεκτρον* et *-ος*.

514 *καγχαλάων* § 191] *-λόων* mss.

521 *οὔ κέν* § 326] *οὐκ ἄν* mss.

522 *ἀτιμάσσειε* Nauck] *-μήσειε* mss.

523 *τὸ*] obiectum verbi *ἄχνυται*.

526 *ἀρεσσόμεθ'*] *ἀκεσσόμεθ'* Nauck, at vid. *Δ* 362.

ΙΛΙΑΔΟΣ Η.

Ἕκτορος καὶ Αἴαντος μονομαχία (vs. 1—312). — *Νεκρῶν ἀναίρεσις* (vs. 313 sqq.).

ὣς ϝειπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ,
τῷ δ' ἅμ' Ἀλέξανδρος 'κί' ἀδελφεός· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι 'μέμασαν πολεμιζέμεν ἠδὲ μάχεσθαι.
ὡς δὲ θεὸς ναύτησιν ἐϝελδομένοισιν ἔδωκε
οὖρον, ἐπεί κε κάμωσιν ἐὺ ξεστῇσ' ἐλάτησι
πόντον ἐλαύνοντες, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται, 6[b] cf. *Ν* 85
ὣς ἄρα τὼ Τρώεσσιν ἐϝελδομένοισ' ἐφανήτην.

ἔνθ' ἑλέτην ὃ μὲν υἱὸν Ἀρηιθόοιο ϝάνακτος,
Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης
'γείνατ' Ἀρηίθοος καὶ Φυλομέδουσα βοῶπις·
Ἕκτωρ δ' Ἠιονῆα 'βάλ' ἔγχεϊ ὀξυόεντι
αὐχέν' ὑπὸ στεφάνης ἐυχάλκου, 'λῦσε δὲ γυῖα.

1] cf. Verg. Aen. XII 441: *haec ubi dicta dedit portis sese extulit ingens.* || *πυλέων*] forma suspecta, cf. § 56; Bentley *πόλιος*, Fick *πύργων*.

3 *πολεμιζέμεν* H] *-ζειν* mss. cetera.

4-6] similis est comparatio *ψ* 233 sqq.

5 *ἐπεί κε κάμωσιν*] sic Ar., *ἐπήν κε κάμωσι* vel *ἐπὴν κεκάμωσιν* mss. complura.

6 *ἐλαύνοντες*] l. a. *ἐρέσσοντες* in Ar. commentariis commemorabatur. Locutio non redit, sed cf. *ἅλα 'τύπτον* *δ* 580 etc.

7 *τώ* Ar. mss.] *τοι* Aristarcho tribuit Ammonius. || *ἐϝελδομένοισ' ἐφανήτην*] *-νοισι φανήτην* mss.

8 *υἱὸν — ϝάνακτος*] vid. ad vs. 123-161[a].

9 *Ἄρνῃ*] Ar. annotavit Zenodotum Arnes nomen hic intactum reliquisse, *B* 507 mutasse. || *κορυνήτης*] redit vs. 138 (*κορύνῃ* legitur vs. 141, 143).

10 *βοῶπις*] vid. ad *Γ* 144.

12 *στεφάνης*] sic *galea* etiam *Κ* 30 *Λ* 96 vocatur; alia est vocis vis *Ν* 138 *Σ* 597 h.

Γλαῦκος δ', Ἱππολόχοιο πάις, Λυκίων ἀγὸς ἀνδρῶν, 13 = Ρ 140
Ϝιφίνοον 'βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην 14 cf. Ρ 15
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον· ὃ δ' ἐξ ἵππων χαμάδις 'πέσε, 'λύντο δὲ γυῖα. 16ᵇ = Ο 435
τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη 17ᵃ = Ε 711
Ἀργεΐους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ, 18 = Ε 712
'βῆ ῥα κατ' Οὐλύμποιο καρήνων ἀΐξασα 19 cf. Β 167
Ϝίλιον εἰς ἱερήν. τῇ δ' ἀντίος ὤρνυτ' Ἀπόλλων
Περγάμου ἐκκατιδὼν, Τρώεσσι δὲ 'βούλετο νίκην. 21 cf. Ν 347
ἀλλήλοισι δὲ τώ γε συνηντέσθην παρὰ φηγῷ. 21ᵃ = Δ 508 21ᵇ = Π 121
τὴν πρότερος προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων·
„τίπτε σὺ δ' αὖ μεμαυῖα, Διὸς θύγατερ μεγάλοιο,
ἦλθες ἀπ' Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκε; 25ᵇ = Φ 395
ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην 26ᵇ = Θ 171 Π 362
δώῃς; οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις;
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη· 28 = υ 381
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηιοτῆτα 28ᵇ = Χ 108 cf. Ρ 417 λ 358 υ 316
σήμερον· ὕστερον αὖτε μαχέσσοντ', εἰς ὅ κε τέκμωρ 30 sq. cf. Ι 48 sq. 30 cf. 291
Ϝιλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
ὑμίν γ' ἀθανάτῃσι, διαπραθέμεν τόδε Ϝάστυ."
τὸν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ὧς ἔστω, ϜεκάϜεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυέμεν' ἀνδρῶν;"
τὴν δ' αὖτε προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων· 37 = Υ 103
„Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,

VI 7. || εὐχάλκου] εὐκύκλου D; -κοο? cf. § 59. || 'λῦσε] λύντο Ar. (? — ad vs. 16 scholion refert vHerwerden).

15 Δεξιάδην] pro adverbio *a dextra* habebant quidam; vid. Epigr. Kaibel 573⁴ (?) et ad Λ 99.

21 ἐκκατιδὼν] Ϝ neglectum; PKnight ἐκκατιὼν, vid. ad Δ 508.

22 συνηντέσθην] συναντέσθην mss. || φηγῷ] vid. ad Ε 693.

23 Διὸς υἱὸς] ἑκάεργος Genev.

25 θυμὸς ἀνῆκε] nonnisi h. l. et in versu parall. deest infinitivus finalis.

26 sq.] del. PKnight.

27 *δώῃς;] δῷς; ἐπεὶ mss.; vid. § 122. — In fine versus interrogandi signum posuimus suadente vHerwerden.

30-32] del. PKnight.

30 μαχέσσοντ' § 291] μαχήσοντ' mss.

32 ὑμίν γ' Fick] ὑμῖν mss.; an ὕμισιν? cf. § 92. || ἀθανάτῃσι] -τοισι Zen. et mss. nonnulla, ἀμφοτέρῃσι Aristoph. || διαπραθέμεν § 126] -θέειν mss.

33 τὸν δ' αὖτε προσέϜειπε] l. a. τὸν δ' ἠμείβετ' ἔπειτα.

34 *ὧς] ὧδ' mss.

36 *καταπαυέμεν'] -σέμεν mss.; vid. ad Β 544.

ἥν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι· 40 = Γ 20
οἵ δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἶον ἐπόρσειαν πολεμιζέμεν' Ἕκτορι δίῳ."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη. 43 = B 166
τῶν δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, σύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖσιν ἐϝάνδανε μητιάουσι·
'στῆ δὲ παρ' Ἕκτορ' ἰὼν καί μιν πρὸς μῦθον ἔϝειπε· 46 cf. Θ 280
„Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, 47 = Δ 200
ἦ ῥά κέ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι· 48^a = Δ 93
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς, 49 = Γ 68
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι· 51 = Γ 20
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν. 52^b cf. δ 562 ε 308 λ 389 μ 342 ξ 274 ω 22
ὣς γὰρ ἐγὼ ϝόπ' ἄκουσα θεῶν αἰειγενετάων."
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτε 'χάρη μέγα μῦθον ἀκούσας, 54-56 = Γ 76 sqq.
καί ῥ' εἰς μέσσον ἰὼν Τρώων ἀνέϝεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών· τοὶ δ' ἱδρύθησαν ἅπαντες.
κὰδ δ' Ἀγαμέμνων εἷσεν ἐυκνήμιδας Ἀχαιούς.
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέσθην, ὄρνισι ϝεϝοικότε αἰγυπιοῖσι,
φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο,
ἀνδράσι τερπόμενοι. τῶν δὲ στίχες ἥατο πυκναί,
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι. 62 cf. N 339
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ 62^b = Δ 282

53 Ar. —

39 *ἥν*] novicium, cf. § 326; **καί*? || *οἰόθεν οἶος*] figura notabilis (§ 47) redit vs. 226; vid. etiam *αἰνόθεν αἰνῶς* vs. 97 et *μέγας μεγαλωστί* Π 776 etc.

41 *ἀγασσάμενοι*] *-σσόμενοι* Ar. (?). || *χαλκοκνήμιδες*] † (alias *ἐυκν.*).

42 *οἶον*] sc. *τινα.* || *πολεμιζέμεν'* § 125] *-ζειν* mss.

45 *ἐϝάνδανε* Bentley] *ἐφήνδανε* mss. || *μητιάουσι* § 191] *-τιόωσι* mss.

47 *υἱέ*] cf. § 17.

48 **κέ*] *νύ* mss.; cf. Δ 93.

49 *κάθισον*] **κάθεσον*? vid. § 220.

56 *τοί*] *οἵ* mss. complura. || *ἱδρύθησαν* H] *ἱδρύνθησαν* mss. cetera. Vid. Γ 78.

59 *ϝεϝοικότε* Ahrens] *ἐοικότες* mss. — Vertendumne *velutι* an *mutali in*? Cf. χ 240. || *αἰγυπιοῖσι*] nomen redit N 531 Π 428 P 460 π 217 χ 302. Significatur *gypaetus barbatus* (*lammergier*, *αἰγι-γυπιός*, cf. § 12).

60 *φηγῷ*] vid. ad *E* 693.

61 *ἥατο* § 220] *εἵατο* mss.

62 *πεφρικυῖαι*] l. a. *βεβριθυῖαι* parum probabilis, ab Ar. tamen loco parall. Δ 282 in alteram ed. recepta; cf. π 474.

63 *φρίξ*] *horror*, cf. Φ 126 Ψ 692 δ 402.

ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ' αὐτῆς, 64^b^ cf. μ 406 ξ 304
τοῖαι ἄρα στίχες ἧατ' Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ. Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔϝειπε· 66^b^ sq. = Γ 85 sq.
„κέκλυτέ μοι, Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί,
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. 68 = 349, 369 Θ 6 etc.
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσε,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισι,
εἰς ὅ κεν ἢ ὕμες Τροίην ἐύπυργον ἕλητε
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμήετε ποντοπόροισι.
ὕμιν δ', — ἐν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν, —
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγῃ,
δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε δὲ μυθέομαι, Ζεὺς δ' ἧμ' ἐπὶ μάρτυρος ἔστω·
εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας,
σῶμα δὲ ϝοίκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με 79 sq. = Χ 342 sq.
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος Ἀπόλλων, 81 cf. Π 725 φ 338 81^b^ cf. χ 7
τεύχεα συλήσας οἴσω προτὶ Ϝίλιον ἱρὴν
καὶ κρεμάω προτὶ νηὸν Ἀπόλλωνος ϝεκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐυσσέλμους ἀποδώσω,
ὄφρα ϝε ταρχύσωσι κάρη κομάοντες Ἀχαιοὶ 85^a^ cf. Π 456, 674

---

64 μελάνει δέ τε πόντος ὑπ' αὐτῆς] sic vel αὐτῇ mss., πόντον nonnulla, αὐτοῦ G, μελάνει δέ τε πόντον ὑπ' αὐτῇ Ar. (?), alii olim πόντος ὑπ' αὐτοῦ, sic Aristot. Probl. 23, 23. Nihil est μελάνω, neque μελανεῖν verbum, quo Alexandrini saepius usi sunt (Apoll. Rh. IV 1574, Callim. epigr. 56, Arat. Phaen. 817, 836, 877 sq.), Homero imputandum, qui alias verbo μελαίνομαι usus est (Ε 354 Σ 548). Coll. μ 406 = ξ 304 verum ducimus *ἤχλυσε δὲ πόντος ὑπ' αὐτῆς; leniorem mutationem πόντος δὲ μελαίνετ' ὑπ' αὐτῆς non admittit metrum (cf. § 2).

65 ἧατ' § 220] εἵατ' mss.

67 μοι § 92] μευ mss.

68 ἔσπω § 246] εἴπω mss.; Heyne ὡς ϝείπω.

71 ὕμες § 92] ὑμεῖς mss. || ἐύπυργον] †.

72 δαμήετε § 122] -είετε mss.

73 δ' ἐν Ar.] μὲν mss. pleraque. Quam genuinam esse lectionem, versus autem 69-72 postmodo esse insertos, ignota enim huius episodii poetae fuisse quae nunc in libris Γ et Δ leguntur, probabiliter statuerunt Heyne Haupt alii.

74 νῦν ὅν] Par. 2767 εἴ κέν, l. a. εἰ καί. || ἀνώγῃ LaRoche] ἀνώγει mss.; cf. ο 395.

76 ἧμ'(ι) § 92] ἄμμ' mss.

77 κεν] vi arsis h. l. et Υ 243 productum suspicionem movet; corrigi posset κεν κεῖνός με, nisi ἐμέ aliquanto aptius esset sententiae.

81 εἰ δέ κ' ἐγὼ τὸν] αἴ κέν πώς μιν Apoll. lex.

83 κρεμάω § 191] -μόω mss.

85 ταρχύσωσι] verbum redit Π 456, 674; postea ταριχεύειν dictum est, cf. τάριχος de cadavere condito (*mummie*) Herodot. IX 120 Aristoph. fr. 21 Dind. (apud Athen. III p. 119c). Remansit igitur hoc verbum ex aetate quae heroicam antecessit; olim enim in Graecia non cremata esse corpora,

σῆμά τέ ϝοι χεύωσιν ἐπὶ πλατέ᾽ Ἑλλησπόντῳ. 86b = ω 82 cf. P 432
καί ποτέ τις ϝείπησι καὶ ὀψιγόνων ἀνθρώπων 87a = Z 459
νηὶ πολυκλήιδι πλέων ἐπὶ ϝοίνοπα πόντον·
‚ἀνδρὸς μὴν τόδε σῆμα πάλαι κατατεθνηῶτος, 89 cf. Ψ 331
ὅν ποτ᾽ ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ.‘
ὥς ποτέ τις ϝερέει· τὸ δ᾽ ἐμὸν κλέος οὔ ποτ᾽ ὀλεῖται.“ 91b cf. B 325
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ· 92 = Γ 95
ἤδεσθεν μὲν ἀνήνασθαι, ᾽δϝεῖσαν δ᾽ ὑποδέχθαι.
ὀψὲ δὲ δὴ Μενέλαος ἀνίστατο καὶ μετέϝειπε
νείκε᾽ ὀνειδίζων, μέγα δ᾽ ἐστεναχίζετο θυμῷ·
„ὤ μοι ἀπειλητῆρες, Ἀχαιίδες, οὐκέτ᾽ Ἀχαιοί· 96b = B 235
ἦ μὲν δὴ λώβη τάδε γ᾽ ἔσσεται αἰνόθεν αἰνῶς,
εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσι.
ἀλλ᾽ ὗμες μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε,
ἥμενοι αὖθι ϝέκαστος ἀκήριοι, ἀκλεὲς αὔτως·
τῷδε δ᾽ ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθε
νίκης πείρατ᾽ ἔχονται ἐν ἀθανάτοισι θεοῖσι.“
ὣς ἄρα φωνήσας κατεδύσετο τεύχεα καλά.
ἔνθα κέ τοι, Μενέλαε, ᾽φάνη βιότοιο τελευτὴ 104b = Π 787
Ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν, 105a = Ω 738 105b = Z 158
εἰ μὴ ἀναΐξαντες ἕλον βασιλῆες Ἀχαιῶν
αὐτός τ᾽ Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
δεξιτερὴν ἕλε χεῖρα ϝέπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·

---

ut in carminibus Homericis constanter fieri videmus, sed sale suffimentis melle praesertim esse condita et sepulta, hodie constat ex antiquissimis sepulcris quae Mycenis sunt reperta; cf. Helbig Hom. Epos[1] p. 41 sq. Eodem ducit *mellis* in ritibus funebribus mentio Ψ 170 ω 68, neque hinc alieni sunt loci T 38 sq. Ω 664 ω 63. || κομάοντές § 191] -μόωντες mss.

86 πλατέ᾽ § 75] πλατεῖ mss.

89 μὴν § 18] μὲν mss. || κατατεθνηῶτος Ar.] -ειῶτος mss. pleraque.

91 ὀλεῖται] cf. § 147 et ad B 325.

93 ἤδεσθεν] αἴδεσθεν mss.

95 νείκε᾽ § 71] νείκε᾽ G, νείκει mss. cetera; in quibusdam commentariorum Aristarcheorum exemplis νείκε᾽ fuisse refert Didymus. || ἐστεναχίζετο] (ἐ)στον. mss. complura.

96 ἀπειλητῆρες] †.

97 αἰνόθεν αἰνῶς] vid. ad vs. 39.

99 ὗμες § 92] ὑμεῖς mss.

100 ϝέκαστος Cauer vHerwerden] ἕκαστοι mss., quae ferri posset lectio si de singulis *agminibus* sermo esset; sed solos *duces* Menelaum spectare patet. Idem error in textu tradito est Ψ 55, contrarius I 88.

103 κατεδύσετο] -σατο mss. multa; vHerwerden ἐνεδύσετο, at vid. Δ 222 Z 504 μ 228.

104 βιότοιο] l. a. θανάτοιο, quod legit Vergilius (*mortis metae* Aen. XII 546), Nauck verum ducit h. l. et in versu parall., contrarium errorem Eur. Herc. 1351 irrepsisse observans; cf. Δ 170.

108 δεξιτερὴν ... χεῖρα Bentley] δεξιτερῆς ... χειρὸς mss. Correctioni fidem faciunt Ξ 137 Ω 671 α 121 σ 258.

„ἀφραίνεις, Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
ταύτης ἀφροσύνης· ἀνὰ δὲ σχέο, κηδόμενός περ, 110^{b} cf. Λ 586
μηδ' ἔθελ' ἐξ ἔριδος σέ' ἀμείνονι φωτὶ μάχεσθαι,
῞Εκτορι Πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι. 112^{b} = Ο 167, 183
καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
ἔρριγ' ἀντιβολῆσαι, ὅ περ σέο πολλὸν ἀμείνων. 114^{b} = Φ 107 cf. Π 709
ἀλλὰ σὺ μὲν νῦν ἵζε' ἰὼν μετὰ Ϝέθνος ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί.
εἴ περ ἀταρβής ἐστι καὶ εἰ μόθου ἔστ' ἀκόρητος,
φημί μιν ἀσπασίως γόνυ καμψέμεν', αἴ κε φύγῃσι 118 sq. cf. Τ 72 sq.
δηίου ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος.“ 119 = 174 cf. Ε 409
ὣς Ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως, 120 = Ζ 61
αἴσιμα παρϜειπών· ὃ δ' ἐπείθετο. τοῦ μὲν ἔπειτα
γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο. 122^{b} = Π 782, 846 cf. Ζ 28
Νέστωρ δ' Ἀργεΐοισιν ἀνίστατο καὶ μετέϜειπε·
„ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιίδα γαῖαν ἱκάνει. 124 = Α 254
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής,
ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεε Ϝῷ ἐνὶ Ϝοίκῳ,
πάντων Ἀργεΐων ἐρέων γενεήν τε τόκον τε· 128 cf. Ο 141 128^{b} cf. ο 175
τοὺς νῦν εἰ πτώσσοντας ὑφ' ῞Εκτορι πάντας ἀκούσαι,
πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι,
θυμὸν ἀπὸ μελέων δῦναι δόμον ῎ΑϜιδος εἴσω.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ ῎Απολλον, 132 = Β 371

110 δὲ σχέο] sic Ar., δ' ἴσχεο mss. multa.

111 ἐξ ἔριδος] *aemulatione abreptus.* Redit locutio δ 343 (= ρ 134). || σέ' § 92] σεῦ mss.

113 τούτῳ] alii olim τοῦτον.

114 ἀντιβολῆσαι] quidam olim ἀντιμολῆσαι (male); vid. ad Λ 809. || ἀμείνων] -νω Zen.; cf. Λ 80.

115 ἵζε' § 117] ἵζευ mss.

117 *ἀταρβής] ἀδειής τ' mss. duplici vitio pro ἀδϜεής. Male Ahrens εἴ πέρ τ' ἀδϜειὴς καὶ etc. Correximus coll. Ν 299, glossema ἀδεής in locum glossae irrepsisse rati; praeterea autem delevimus inutilem particulam τ'. Quod ad sententiam attinet, non minus aptum est ἀτειρής, quod coniecit vHerwerden coll. Ο 697 (Γ 60 λ 270).

118 ἀσπασίως] vid. ad Σ 270. || καμψέμεν' § 125] -ψειν mss.

120 ἀδελφεόο § 59] -φειοῦ mss.

123-161[a]] recentioris sunt originis, vs. 142 sqq. autem neglecta est temporum ratio; nam Menesthii, qui ad Troiam pugnavit (vs. 8 sqq.), pater Areithous a Lycurgo interfici non potuit.

127 ποτέ] cf. Λ 765 sqq. || μ' εἰρόμενος μέγ' ἐγήθεε] Zen. μειρόμενός μεγάλ' ἔστενεν, putans μειρόμενος = στερόμενος esse; quem refutavit Ar. coll. Ι 616 (an ποτ' ἀμειρόμενος legebat Zen.?).

128 ἐρέων] ἀρχῶν coniecit vHerwerden.

130 φίλας ἀνὰ] βαρείας Ar. Par. 2767; cf. Α 88 (89).

131 δῦναι] cf. § 125.

ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ Κελάδοντ' ἐμάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι,
Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα. 135^{b} = γ 292
τοῖσι δ' Ἐρευθαλίων πρόμος ἵστατο, Ϝισόθεος φώς,
τεύχε' ἔχων ὤμοισιν Ἀρηιθόοιο Ϝάνακτος,
δίου Ἀρηιθόου, τὸν ἐπίκλησιν κορυνήτην
ἄνδρες ἐκίκλησκον καλλίζωνοί τε γυναῖκες, 139^{b} cf. Ω 698 ψ 147
οὕνεκ' ἄρ' οὐ τόξοισι 'μαχέσκετο δουρί τε μακρῷ,
ἀλλὰ σιδηρείῃ κορύνῃ 'ρήγνυσκε φάλαγγας.
τὸν ΛυκόϜοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε, 142^{b} cf. Ψ 515^{a}
στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη Ϝοι ὄλεθρον 143^{a} = Ψ 416
'χραῖσμε σιδηρείη· πρὶν γὰρ ΛυκόϜοργος ὑποφθὰς
δουρὶ μέσον 'περόνησεν, ὃ δ' ὕπτιος οὔδε' ἐρείσθη· 145^{a} = Ν 397
τεύχεα δ' ἐξενάριξε, τά Ϝοι 'πόρε χάλκεος Ἄρης. 145^{b} = Λ 144 cf. Μ 192
καὶ τὰ μὲν αὐτὸς ἔπειτα 'φόρει μετὰ μῶλον Ἄρηος. 147^{b} = Π 245
αὐτὰρ ἐπεὶ ΛυκόϜοργος ἐνὶ μεγάροισιν ἐγήρα,
'δῶκεν Ἐρευθαλίωνι, φίλῳ θεράποντι, φορῆναι·
τοῖ' ὅ γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἳ δὲ μάλ' ἐτρόμεον καὶ ἐδέδϜισαν, οὐδέ τις ἔτλη. 151 cf. h. Ap. 47
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεΐ Ϝῷ· γενεῇ δὲ νεώτατος ἦσκον ἁπάντων·
καὶ 'μαχόμην Ϝοι ἐγώ, 'δῶκεν δέ μοι εὖχος Ἀθήνη. 154^{b} cf. ι 317
τὸν δὴ μήκιστον καὶ κάρτιστον 'κτάνον ἄνδρα·

133 *ἡβῷμ'*] pro *ἡβάοιμ'* suspectum, cf. vs. 157. De optativi usu vid. ad *Δ* 314 et § 109. || *Κελάδοντ' ἐμάχοντο*] *-ντι μάχοντο* mss.; vocem *κελάδοντι* pro adiectivo habebat Ar., vid. ad *Λ* 99.

134 *ἐγχεσίμωροι*] cf. *Β* 692.

135 *Φειᾶς*] sic Ar.; cf. § 5. Fuisse qui pro *Κελάδοντι* poscerent *Ἀκίδοντι* et *Χάας* pro *Φειᾶς* refert Strabo VIII p. 348, vid. etiam Pausan. V 5. Versus geographicae arti repugnans spurius videtur. Commemoratur *Phea* urbs etiam *ο* 297. De *Φήρης* Didymi coniectura cf. Lehrs Ar.[2] p. 242.

138] de epanalepsi vid. ad *Β* 672. || *κορυνήτην*] vid. ad vs. 9.

139 *ἐκίκλησκον*] *κίκλησκον* mss.

141 *κορύνῃ*] nonnisi vs. 143 redit vox, vid. ad vs. 9.

142 *ΛυκόϜοργος*] vid. ad *Ζ* 130.

143 *κορύνη*] vid. ad vs. 141.

144 *ΛυκόϜοργος*] vid. ad *Ζ* 130. || *ὑποφθὰς* Ar. mss.] *ἀναστὰς* olim alii.

145 *οὔδε'* § 71] *οὔδει* mss.

146 *δ'*] sic Ar., *τ'* mss. nonnulla.

149 *'δῶκεν*] *δῶκε δ'* Ar. et mss. pleraque.

150 *τοῖ'* § 59] *τοῦ* mss.

151] in quibusdam mss. subiungitur *ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι* (= vs. 40, 51 *Γ* 20).

153 *θάρσεΐ Ϝῷ*] *θάρσει ἐμῷ* Zen.; vert. *sed me mea virtus suâ audaciâ impulit* (*cor audax me impulit*) *ut cum illo pugnam inirem.* (De reflexiva pronominis *Ϝός* vi vid. § 95.) || *ἦσκον*] *ἔσχον* mss.

155 *'κτάνον*] *ἴδον* Nauck praeter necessitatem.

πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ' ὣς ἡβάοιμι βίη τέ μοι ἔμπεδος εἴη· 157 = Λ 670 Ψ 629 ξ 468 cf. Δ 314
τῷ κε τάχ' ἀντήσειε μάχης κόρυθ' αἰόλος Ἕκτωρ.
ὕμων δ' οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἳ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν."
ὣς 'νείκεσσ' ὁ γέρων, οἳ δ' ἐννέα πάντες ἀνέσταν. 161^{b} = Θ 258
ὦρτο πολὺ πρώτιστα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 162 cf. Ψ 288
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης, 163 = Ψ 290
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιϜειμένοι ἀλκὴν, [sqq. 164-167 = Θ 262
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος, 164^{b} = Σ 157 [sq. 165^{b} sq. = Ρ 258
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδροφόντῃ, 166 cf. Β 651
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱὸς, 167^{b} = Β 736
ἂν δὲ Θόας Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς·
πάντες ἄρ' οἵ γ' ἔθελον πολεμιζέμεν' Ἕκτορι δίῳ.
τοῖσ' αὖτις μετέϜειπε γερήνιος ἵπποτα Νέστωρ·
„κλήρῳ νῦν πεπαλέσθε διαμπερὲς, ὅς κε λάχῃσι·
οὗτος γὰρ δὴ ὀνήσει ἐυκνήμιδας Ἀχαιούς·
καὶ δ' αὐτὸς Ϝὸν θυμὸν ὀνήσεται, αἴ κε φύγῃσι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος." 174 = 119
ὣς ἔφαθ', οἳ δὲ κλῆρον ἐσημήναντο Ϝέκαστος,
ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος Ἀτρεΐδαο.
λαοὶ δ' ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον· [sq. 177 sq.^{a} = Γ 318
ὧδε δέ τις 'Ϝείπεσκε Ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 178 = 201 178^{b} = Γ 364

---

156 *πολλὸς*] *ingens*, item Ψ 245. || *τις*] cf. κ 45. || *παρήορος*] *ex obliquo extensus*. Hoc sensu †, translata est vocabuli vis Ψ 603, diversa vox videtur Π 471, 474 (cf. Θ 87 Π 154).

157 *ἡβάοιμι* § 191] *ἡβώοιμι* mss. — De optativi usu vid. ad Δ 314 et § 109. || *τέ* Nauck] *δέ* mss.; cf. Λ 670.

159 *ὕμων* § 92] *ὑμέων* mss.

160 *οἳ … μέματ'(ε)*] cf. Τ 324 sq. *ὃ δὲ … πολεμίζω*.

161 *'νείκεσσ' ὁ*] *'νείκεσσε?*

162 *πρώτιστα* Bentley] *πρῶτος (-ον) μὲν* mss. (*μὲν* om. L), item Ψ 288. Cf. Λ 105 etc.

166 *ἀνδροφόντῃ* § 28] *ἀνδρ(ε)ιφόντῃ* mss.

169 *πολεμιζέμεν'* § 125] *-ζειν* mss.

170 **τοῖσ'*] *τοῖσ(ι) δ'* mss.; vid. § 60. Christ *τοῖσιν δ' αὖ*, cf. Κ 241. || *γερήνιος*] vid. Β 336.

171 *πεπαλέσθε* Doederlein] *πεπάλασθε* Ar., sic aut *πεπάλαχθε* mss. In *sortiendo* sollemne est verbum *πάλλειν*, cf. Γ 316, 324 Ο 191 Ψ 353 Ω 400 etc.; sensum vero non praebet *πεπάλαχθε*, *polluere* enim significat; nihili forma est *πεπάλασθε*, nam *παλάζειν* verbum non extat. Redit vitium ι 331. Cf. tamen *ἐμπαλασσόμενοι* = *ἐμπλεκόμενοι* (?) Herodot. VII 86. || *ὅς* Ar. mss.] l. a. *ὥς*.

175 *κλῆρον ἐσημήναντο*] non de *litteris* poetam loqui sed de aliis signis, quae is solus qui insculpsisset agnoscere posset, vere observavit Ar. — Artis scribendi nonnisi Ζ 169, ubi vid., apud Homerum fit mentio.

177 *θεοῖσι δὲ*] *θεοῖς, ἰδὲ* mss. nonnulla; certabant grammatici. Cf. Γ 318.

„Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης.“ 180 cf. Λ 46
ὣς ἄρ’ ἔφαν, ’πάλλεν δὲ γερήνιος ἱππότα Νέστωρ, 181 cf. Γ 324
ἐκ δ’ ἔθορε κλῆρος κυνέης ὃν ἄρ’ ἤθελον αὐτοί, 182ᵃ = κ 207
Αἴαντος· κήρυξ δὲ φέρων ἀν’ ὅμιλον ἁπάντη 183ᵇ = 186
’δεῖξ’ ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν.
οἳ δ’ οὐ γιγνώσκοντες ἀπηνήναντο ϝέκαστος.
ἀλλ’ ὅτε δὴ τὸν ἵκανε φέρων ἀν’ ὅμιλον ἁπάντη, 186ᵇ = 183
ὅς μιν ἐπιγράψας κυνέῃ ’βάλε, φαίδιμος Αἴας,
ἦ τοι ὑπέσχεθε χεῖρ’, ὃ δ’ ἄρ’ ἔμβαλεν ἄγχι παραστὰς,
’γνῶ δὲ κλήρου σῆμα ϝιδών, ’γήθησε δὲ θυμῷ.
τὸν μὲν πὰρ πόδ’ ἑϝὸν χαμάδις ’βάλε, ’φώνησέν τε·
„ὦ φίλοι, ἦ τοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτὸς
θυμῷ, ἐπεὶ δοκέω νικησέμεν Ἕκτορα δῖον.
ἀλλ’ ἄγετ’, ὄφρα κ’ ἐγὼ πολεμήια τεύχεα δύω,
τόφρ’ ὗμες εὔχεσθε Διὶ Κρονίωνι ϝάνακτι
σιγῇ ἐφ’ ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται·
ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δέδϝιμεν ἔμπης· 196ᵇ = β 199
οὐ γάρ τίς με βίῃ γε ϝεκὼν ἀϝέκοντα δίηται,
οὐδέ τι ϝιδριίῃ, ἐπεὶ οὐδ’ ἐμὲ νήϝιδά γ’ οὕτως
ϝέλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.“ 199ᵇ = Σ 436 γ 28
ὣς ἔφαθ’, οἳ δ’ ηὔχοντο Διὶ Κρονίωνι ϝάνακτι·
ὧδε δέ τις ’ϝείπεσκε ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 201 = 178

195—199 Zen. Aristoph. Ar. —

179 *λαχεῖν*] *τυχεῖν* L. De inf. cf. § 124.

181 *γερήνιος*] vid. *Β* 336.

184 *ἐνδέξια*] *dextrorsum* cur progrediatur praeco, iusta causa non apparet; e conviviorum descriptione, ubi prima sedes a parte sinistra omnium erat honoratissima, unde initium pocula implendi faciebat pincerna (cf. *Α* 597), adverbium huc irrepsit.

186-189] notetur subiectorum crebra mutatio: *ἵκανε* praeco, *’βάλε* et *ὑπέσχεθε* Aiax, *ἔμβαλεν* praeco, *’γνῶ* Aiax.

186 *τὸν*] *ὅ’* A, utrumque agnoscit Didymus.

187 *ἐπιγράψας*] vid. ad vs. 175.

188 *χεῖρ’, ὃ δ’ ἄρ’*] **χεῖρα, ὃ δ’*?

192 *δοκέω*] *existimandi* sensu more Ionico adhibitum h. Merc. 208 redit; transitum a vulgata significatione (*videor*) parat *σ* 382.

193 *ὄφρα κ’* § 326] *ὄφρ’ ἂν* mss. || *δύω*] *δύνω* Ar.

194 *ὗμες* § 92] *ὑμεῖς* mss.

195-199] heroe indignos veteres critici sine iusta causa censuerunt. Submissa voce pro me ad deos precamini, Aiax inquit, ne Troiani precibus vestris exauditis contraria precentur vel incantamentis vestra verba irrita reddant. Sed statim retrahit quae dixit, ne pusilli animi videatur quive metum in se admittere possit. Quadam tenus conferenda sunt Helenae verba *Γ* 432-436.

197 *ϝεκὼν*] *ἑλὼν* Ar. L Z.

198 **τι ϝιδριίῃ*] *τι ἰδρείῃ* Ar., *μιν ἰδρείῃ* Aristoph., *τ’ (γ’) ἀιδρείῃ* mss. (omnia?), quod erant qui *πολυπειρίᾳ* interpretarentur. || *οὕτως*] *αὔτως* H, fortasse recte.

„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε, 202 = Γ 276
δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ,
ϝίσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον.“
ὣς ἄρ' ἔφαν, Αἴας δὲ 'κορύσσετο νώροπι χαλκῷ. 206 cf. Π 130
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ τεύχε' ἔϝεστο, 207 cf. Ξ 187
'σεύατ' ἔπειθ' οἷός τε πελώριος ἔρχεται Ἄρης,
ὅς τ' εἶσιν πόλεμόνδε μετ' ἀνέρας, οὕς τε Κρονίων
θυμοβόροι' ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι·
τοῖος ἄρ' Αἴας ὦρτο πελώριος, ἕρκος Ἀχαιῶν,
μειδιάων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶ
ἤιε μακρὰ βιβὰς, κραδάων δολιχόσκιον ἔγχος. 213[b] = τ 438
τὸν δὲ καὶ Ἀργέιοι μὲν ἐγήθεον εἰσοράοντες,
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ϝέκαστον, 215 = Γ 44
Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ 'στήθεσσ' ἐπάτασσε· 216[b] cf. Ν 282 Ψ 370
ἀλλ' οὔ πως ἔτι εἶχεν ὑποτρέσαι οὐδ' ἀναδῦναι 217[a] = Ρ 354
ἂψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ.
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠύτε πύργον, 219 = Λ 485 Ρ 128
χάλκεον ἑπταβόειον, ὅ ϝοι Τυχίος 'κάμε τεύχων,
σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι ϝοικία ναίων·
ὅς ϝοι ἐποίησεν σάκος αἰόλον ἑπταβόειον,
ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλασε χαλκόν.
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας
'στῆ ῥα μάλ' Ἕκτορος ἐγγὺς, ἀπειλήσας δὲ προσηύδα·
„Ἕκτορ, νῦν μὲν δὴ σάφα ϝείσεαι οἰόθεν οἷος,
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι,

---

207 *τεύχε' ἔϝεστο] ἕσσατο τεύχη mss. Correctionem, quam poscit forma parum Homerica τεύχη (mss. nonnulla τεύχεα, vid. § 71), tuentur Μ 464 Ψ 67 ρ 203 etc. Transposuerunt verba qui τεύχη ἕστο vitiosum ducebant versus exitum. Fick ϝέσσατο χαλκὸν coll. Ξ 383.

210 θυμοβόροι' § 59] -ρου mss.

212 μειδιάων § 191] -όων mss. || βλοσυροῖσι προσώπασι] *truci vultu*; cf. δακρυόεν γελάσασα Ζ 484.

213 μακρὰ βιβὰς] cf. Verg. Aen. X 572: *longe gradientem.* || βιβὰς] sic Ar.; cf. Ν 371 Ο 307 et ad Μ 277.

214 μὲν Ar.] μέγ' mss. pleraque. || εἰσοράοντες § 191] -ρόωντες mss.

215 ϝέκαστον] ἑκάστου mss. nonnulla.

216 στήθεσσ' ἐπάτασσε] -σσι (-σφι) πάτ. mss.

217 ἔτι εἶχεν] hiatus valde suspectus, vid. tamen Ξ 358 Ρ 354. Fick vHerwerden ἔτι ϝεῖκέ ϝ'(οι), cf. Σ 520 et § 242.

221 σκυτοτόμων] † (σκῦτος ξ 34 †). || Ὕλῃ] Boeotiae haec urbs nominatur etiam Β 500 (ubi longum est υ) et Ε 708. Apud Strab. IX p. 408 XIII p. 626 commemoratur l. a. Ὕδῃ (cf. Zen. Ε 708).

226 οἰόθεν οἷος] cf. vs. 39. Hoc loco verba incommoda ducit vHerwerden.

καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
ἀλλ' ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι 229 sq. = Β 771 sq.
κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι, ποιμένι λαῶν.
ἦμες δ' εἰμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν,
καὶ πολέες. ἀλλ' ἄρχε μάχης ἠδὲ πτολέμοιο."
τὸν δ' αὖτε προσέϜειπε μέγας κορυθαίολος Ἕκτωρ· 233 = 287 cf. Ζ 440
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 234 = Ι 644 Δ 465
μή τί με' ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικός, ἣ οὐ Ϝοῖδεν πολεμήια Ϝέργα.
αὐτὰρ ἐγὼν εὐ Ϝοῖδα μάχας τ' ἀνδροκτασίας τε· 237ᵇ cf. Ω 548
Ϝοῖδ' ἐπὶ δεξιά, Ϝοῖδ' ἐπ' ἀριστερὰ νωμῆσαι βοῦν.
Ϝοῖδα δ' ἐπαΐξαι μόθον ἵππων ὠκειάων,
Ϝοῖδα δ' ἐνὶ σταδίῃ δηίῳ μέλπεσθαι Ἄρηι.
ἀλλ' οὐ γάρ σ' ἐθέλω βαλέμεν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύσας, ἀλλ' ἀμφαδόν, αἴ κε τύχωμι."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 244 = Γ 355
καὶ 'βάλεν Αἴαντος δϜεινὸν σάκος ἑπταβόειον 245 cf. 266
ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ' αὐτῷ.
Ϝὲξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής,

239 ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν·

230 ἀπομηνίσας] l. a. ἐπιμ. ab Ar. commemorata. Vid. ad *Β* 772.

231 ἦμες § 92] ἡμεῖς mss. || ἂν] novicium pro κεν. Praeterea displicet τοιοῖ οἵ et 3ª potius quam 1ª persona requiri videtur propter καὶ πολέες.

235 με' § 92] μευ mss. || ἠΰτε παιδὸς] Hectorem his verbis uti quod adversarius ei primum iactum concesserit, quae res *Γ* 324 sq. sorte decernitur, coll. *Φ* 439 sunt qui putent; sed quoniam oblata sibi ab adversario condicione Hector revera utitur vs. 244, interpretandum videtur potius: *ne vultu minisque terrere me conatus sis tanquam puerulum.* || ἀφαυροῦ] -ρόο? vid. § 59.

236] spurius? Numeri sunt duriores.

238 βοῦν Aristoph. L] βῶν Ar. et mss. pleraque, βῶ (pro βόα) Rhianus. Forma βῶν non est Aeolica neque ex antiquissima flexione superstes sed e βοῆν (Hom. βοείην contracta esse credebatur. Optime vero βοῦς pro *scuti corio* dicitur, cf. *Μ* 105, 137 *Π* 636, item pro *loro* Aesch. Ag. 36, *boves = flagella* Plaut. Asinar. I 1, 20; sic *elephas* pro *ebore* *Δ* 141 σ 196. Subsimile loquendi genus est σάκος ταύρων *Ε* 222 sq., ἱμὰς βοὸς *Γ* 375, ἀσκοὶ καμήλων Herodot. III 9. Eodem errore, quem peperit vetustae litteraturae (*ΒΟΝ*) ambiguitas, εὔβων pro εὔβουν legitur h. Ap. 54.

239] delevimus. Spurium esse apparet e perverso usu adiectivi ταλαύρινος, quod *bellatoris* esse epitheton, fere = φέρασπις (vid. *Ε* 289 *Υ* 78 *Χ* 267), docet etymologia; cf. ταλαϜεργός et ταλαπενθής. Praeterea incommodum est τό. Deleto hoc versu apte continuatur Ϝοῖδα trium versuum initio. Vs. 238-243 del. PKnight. || ἀζαλέην] vid. ad *Δ* 487.

241 δηίῳ] Ar. δηίων. De syllaba δη- correpta vid. § 17. || μέλπεσθαι] cf. *Π* 617.

242 βαλέμεν § 126] βαλέειν mss.

243 ὀπιπεύσας] vid. ad *Δ* 371. || τύχωμι] τύχοιμι mss. multa.

ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ 'σχέτο. δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος, 249ᵇ-254 = Γ 355 sqq.
καὶ 'βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἄντικρυς δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω 255ᵇ sq.ᵃ cf. Ψ 686 sq.
σύν ῥ' ἔπεσον, λίεσσι ϝεϝοικότες ὠμοφάγοισι 256ᵇ sq. = Ε 782 sq.
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί· 258 cf. Ν 646 Ο 528
οὐδ' ἔρρηξεν χαλκὸς, ἀνεγνάμφθη δέ ϝοι αἰχμή. 259 = Γ 348
Αἴας δ' ἀσπίδ' ἔνυξ' ἐπιάλμενος· ἣ δὲ διὰ πρὸ 260 cf. Μ 404
ἤλυθεν ἐγχείῃ, 'στυφέλιξε δέ μιν μεμαῶτα, 261 = Μ 405
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης κόρυθ' αἰόλος Ἕκτωρ, 263ᵃ = Λ 255
ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ 264 cf. Φ 403
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε· 265 = Φ 404
τῷ 'βάλεν Αἴαντος δϝεινὸν σάκος ἑπταβόειον 266 cf. 245
μέσσον ἐπομφάλιον· περιϝήχησεν δ' ἄρα χαλκός.
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας 268ᵇ sq. = ι 537 sq.
ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ϝῖν' ἀπέλεθρον,
εἴσω δ' ἀσπίδ' ἔϝαξε βαλὼν μυλοϝειδέι πέτρῳ,
'βλάψε δέ ϝοι φίλα γούναθ'· ὃ δ' ὕπτιος ἐξετανύσθη
ἀσπίδ' ἐνιχριμφθείς· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων.
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν οὐτάζοντο, 273ᵃ = Ρ 530
εἰ μὴ κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν, 274ᵇ = Λ 334
ἦλθον, ὃ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε καὶ 'Ιδαῖος, πεπνυμένω ἄμφω·

255—257 (256 sq. Lehrs) Zen. om.

251 *διὰ*] cf. § 22.

253 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.

256 *λίεσσι* Nauck] *λείουσιν* mss., cf. § 74.

259 *χαλκὸς*] sic Ar., *-κὸν* mss. pleraque; vid. ad Γ 348.

260 **ἀσπίδ' ἔνυξ' ἐπιάλμενος*] *-δα νύξεν ἐπάλμενος* mss.

262 *τμήδην*] †.

267 *ἐπομφάλιον*] adi. † (cf. *ὀμφαλός*); adverbii vice fungitur. || *περιϝήχησεν*] comp. † (simplex h. Cer. 38).

270 *μυλοϝειδέι πέτρῳ*] adi. †; *μύλαξ* dicitur Μ 161.

272 *ἀσπίδ' ἐνιχριμφθείς* Ar. Mor.] *ἀσπίδι ἐγχριμφθείς* mss. cetera. || *αἶψ'*] sic Ar., alii olim *ἄψ*.

μέσσῳ δ' ἀμφοτέρων σκῆπτρ' ἔσχεθον, εἶπέ τε μῦθον — 277a = Γ 416
κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα Ϝειδώς· — 278 cf. β 38
„μηκέτι, παῖδε φίλω, πολεμίζετον ἠδὲ μάχεσθον·
σφῶι γὰρ ἀμφοτέρω φιλέει νεφεληγερέτα Ζεύς· — 280 = Κ 552
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ Ϝίδμεν ἅπαντες.
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι.“ — 282 = 293 cf. Θ 502
τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
„Ἰδαῖ', Ἕκτορα ταῦτα κελεύετε μυθήσασθαι,
αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείσομαι, ᾗ κέ περ οὗτος.“
τὸν δ' αὖτε προσέϜειπε μέγας κορυθαιόλος Ἕκτωρ· — 287 = 233
„Αἶαν, ἐπεί τοι ἔδωκε θεὸς μέγεθός τε βίην τε
καὶ πινυτήν, περὶ δ' ἔγχε' Ἀχαιῶν φέρτατός ἐσσι,
νῦν μὲν πανσώμεσθα μάχης καὶ δηιοτῆτος,
ὡς σύ τ' ἐυφρήνῃς πάντας παρὰ νηυσὶν Ἀχαιούς,
σούς τε μάλιστα Ϝέτας καὶ ἑταίρους οἵ τοι ἔασι,
αὐτὰρ ἐγὼ κατὰ Ϝάστυ μέγα Πριάμοιο Ϝάνακτος — 296b = Ρ 160 Φ 309 γ 107
Τρῶας ἐυφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα. — 298 cf. Σ 376
δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
ὄφρα τις ὧς Ϝείπησιν Ἀχαιῶν τε Τρώων τε·

291 σήμερον· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων — 291 cf. 30
ἧμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην. — 291b sq. = 377 sq., 396 sq.
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι· — 293 = 282

293 Ar. — || 295 Ar. —

277 σκῆπτρ' ἔσχεθον] -τρα σχέθον mss. || εἰπέ] neglecto Ϝ; ἔσπε? quae tamen indicativi forma non extat, vid. § 246. Bentley σκῆπτρα σχέθε, sed σκῆπτρον potius dicendum foret neque credibile est otiosum adstitisse Talthybium. Metrum non sinit scribi quod Christ et Fick suaserunt σκῆπτρ' ἔσχον (vid. § 24).

279 *πολεμίζετον ἠδὲ] -ζετε μηδὲ (μήτε Genev.) mss.; vid. ad Ο 511.

280 *σφῶι γὰρ ἀμφοτέρω φιλέει] ἀμφοτέρω γὰρ σφῶι φιλεῖ mss., item Κ 552; cf. § 191. An *ἄμφω γὰρ σφῶι φιλέει?

286 κέ περ § 326] περ ἂν mss.

288 ἔδωκε] δῶκε mss.

289 ἔγχε' § 71] ἔγχει mss.

290] mss. nonnulla νῦν μὲν παύσωμεν πόλεμον καὶ δηιοτῆτα (= vs. 29), male.

291-293] del. vHerwerden Naber.

291 μαχεσσόμεθ' § 291] μαχησόμεθ' mss.

292 ἧμε § 92] ἄμμε mss.

298 δύσονται] alii olim θύονται, male. Versus si integer neque spurius est, ita est accipiendus ut μοι sit dativus commodi, εὐχόμεναι significet *gratias agentes* (cf. εὐχωλαί ν 357), θεῖον ἀγῶνα autem valeat *pium coetum* (in templo congregatorum). Vox ἀγών *coetum* significat etiam Σ 376 Ω 1 (ubi vid. schol.) θ 380 Hes. Theog. 91 (Scut. 312); cf. etiam Aesch. Ag. 513.

300 ὧς Bentley] ὧδ' mss. || τε Τρώων τε] χαλκοχιτώνων D Genev.

ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο, 301ᵇ = Π 476 Υ 253
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.“
ὣς ἄρα φωνήσας 'δῶκε ξίφος ἀργυρόηλον,
σὺν κολεῷ τε φέρων καὶ ἐὺ τμητῷ τελαμῶνι· 304 = Ψ 825
Αἴας δὲ ζωστῆρα 'δίδου φοίνικι φαεινόν. 305ᵇ = Ζ 219
τὼ δὲ διακρινθέντε ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν
ἤι', ὃ δ' εἰς Τρώων ὅμαδον 'κίε. τοὶ δ' ἐχάρησαν, 307ᵇ sq. = Ε 514 sq.
ὥς Ϝ' ἔϜιδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα,
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους· 309ᵇ = Μ 166 Ν 318 Ρ 638 λ 502 cf. Ζ 502
καί Ϝ' ἦγον προτὶ Ϝάστυ, ἀϜελπτέοντες σάον εἶναι.
Αἴαντ' αὖθ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ 311 cf. Ε 668
εἰς Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ. 312ᵃ = Ψ 36

οἳ δ' ὅτε δὴ κλισίῃσιν ἒν Ἀτρεΐδα' ἐγένοντο, 313 = Ι 669
τοῖσι δὲ βοῦν ἱέρευσε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων 314 sq. cf. Β 402 sq.
ἄρσενα πεντεϜέτηρον ὑπερμενέι Κρονίωνι.
τὸν 'δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα, 316-318ᵃ = τ 421 sqq.
'μίστυλλόν τ' ἄρ' ἐπισταμένως 'πεῖράν τ' ὀβελοῖσι, 317 sq. = Ω 623
ὤπτησάν τε περιφραδέως, 'Ϝερύσαντό τε πάντα. 317 cf. Α 465 [sq.
αὐτὰρ ἐπεὶ 'παύσαντο πόνου 'τετύκοντό τε δαῖτα, 318-320 = Α 466 sqq.
'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης·
νώτοισιν δ' Αἴαντα διηνεκέεσσ' ἐγέραιρε 321 cf. ξ 437
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων. 322 = Α 102
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο, 323-326 = Ι 92 323 = Α 469 [sqq.

---

302 ἀρθμήσαντε] †, cf. ἀρθμός h. Merc. 524, ἄρθμιος π 427.

303-305] dona haec utrique mortem intulisse finxere posteri; vid. Soph. Ai. 657 sqq., 815 sqq., 1025 sqq.

304 ἐὺ τμητῷ] ἐυκμήτῳ Ar.

306 τὼ ... διακρινθέντε] vid. ad Γ 211.

308] versum ex Ε 515 perperam repetitum censet Naber. || *Ϝ'] adiecimus. || ἀρτεμέα] vid. ad Ε 515.

310 *Ϝ'] ῥ' (δὴ Eust.) mss. || ἀϜελπτέοντες] ἀέλποντες G male. Verbum †, cf. ἀϜελπής ε 408, ἄϜελπτος h. Ap. 91 h. Cer. 219, 253. Suspecta est verbi forma et synizesis (cf. § 8 et 191), mire autem sic dictum est pro ἐξ ἀέλπτου αὐτὸν σῶν ὁρῶντες; quapropter vHerwerden ἀελπτοῦσιν proposuit, simul tamen dubitans an spurii sint vs. 310-312. || σάον § 62] σόον mss.

313 Ἀτρεΐδα' ἐγένοντο] -δαο γένοντο mss.; cf. § 55.

315 πεντεϜέτηρον] πενταέτηρον mss.

321 διηνεκέεσσ' ἐγέραιρε] -σσι γέρ. mss. — De re vid. δ 65 sq. Herod. VI 56 et ad Δ 263; νῶτα διηνεκέα dicuntur *psoa* (*haas*), ut vere explicavit Zucker. Locum male interpretatus est Verg. Aen. VIII 182 sq. *vescitur ... perpetui tergo bovis*; integrum tergum non assabant ('μίστυλλον τ' ἄλλα).

323 εἶντο] ἕντο mss.

τοῖσ' ὁ γέρων πάμπρωτος ὑφαίνεμεν' ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη 'φαίνετο βουλή· 325 sq. = ω 52 sq. 325[b] = *B* 5
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 327 = 385 Ψ 236
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομάοντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' ἌϜιδόσδε κατῆλθον·
τῷ σε χρὴ πόλεμον μὲν ἅμ' ἠόι παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
333 *βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτούς.*
336 *τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες* 336-341 cf. 435 sqq.
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν, 338 cf. Ξ 56, 68
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππους καὶ λαὸν ἐρυκάκῃ ἀμφὶς ἐοῦσα,
μή ποτ' ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνεσσαν βασιλῆες. 344 = *I* 710

Τρώων αὖτ' ἀγορὴ 'γένετ' Ἰλίου ἐν πόλι' ἄκρῃ

334 *τυτθὸν ἀπὸ πρὸ νεῶν, ὥς κ' ὀστέα παισὶ Ϝέκαστος*
Ϝοίκαδ' ἄγῃ, ὅτε κ' αὖτε νεώμεθα πατρίδα γαῖαν.
334 sq. Ar. —

324 *τοῖσ' ὁ*] *τοῖσι?* || *ὑφαινέμεν'* § 125] *-νειν* mss.
327 *Ἀτρεΐδη*] *-δαι* mss. nonnulla.
328 *κομάοντες* § 191] *-μόωντες* mss.
331 *ἠόι* § 77] *ἠοῖ* mss.
332 *κυκλήσομεν*] †.
333 *βουσὶ*] boves ad plaustra trahenda etiam *Ω* 782 adhibentur, aratrum trahunt *K* 352 *N* 703 *ν* 32. || *κατακήομεν* § 177] *-κείομεν* mss. || *αὐτούς*] misere languet; IMHoogvliet *αὖθι*, sed sic *ἀτὰρ* commode explicari nequit. Omnino mire abundat pronomen *αὐτός* in versibus 332-340.
334 sq.] iure damnavit Ar.; nam sing. *πυρή* vs. 336, adi. *ἄκριτος* vs. 337 et 436, inprimis vero verbum *ἐνήεον* vs. 431 docent, de *secernendis* singulis corporibus poetam non cogitasse. Praeterea non concinunt loci *Δ* 174 *Σ* 332 *γ* 108 sqq. Novisse tamen videtur Aeschylus, vid. Agam. 436-445.
335 *ὅτε κ'* § 326] *ὅτ' ἂν* mss.
336 *δ'*] *τ'* Ar. Par. 2767. || *ἐξαγαγόντες*] *struentes*; non recte Ar. pro intransitivo habebat (*postquam e castris processimus*).
337 *ἐκ πεδίου*] *ἐν πεδίῳ* Aristoph. || *αὐτὸν*] suspectum; vid. ad vs. 333.
339 *εὖ*] l. a. *ἕπτ'* (male).
340 *ἱππηλασίη*] redit loco parall. (*-λατος* legitur *δ* 607 *ν* 242). || *εἴη* GHermann] *εἴη* mss.; cf. § 302.
342 *ἵππους* Eust.] *ἵππον*. || **ἐρυκάκῃ*] *-κοι* mss. || *ἀμφὶς ἐοῦσα*] *interposita*. Cf. *Γ* 115. || *ἐοῦσα*] l. a. *ἔχουσα* (male, e *ϑ* 340).
343 *ἀγερώχων*] vid. ad *B* 654.
344 *ἐπήνεσσαν* § 295] *-νησαν* vel *-νεσαν* mss.
345 *αὖτ'*] *δ' αὖτ'* D G. || *'Ιλίου*] neglecto

δϝεινὴ τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃσι.
τοῖσιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν· .347 cf. Σ 249 χ 461
„κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, 348 sq. = 368 sq. 348 = Γ 456
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. 349 = 68
δεῦτ' ἄγετ', Ἀργεΐην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ 350[b] = Γ 458
δώομεν Ἀτρεΐδῃσιν ἄγειν· νῦν δ' ὅρκια πιστὰ 351[a] cf. Χ 117
ψευσάμενοι μαχόμεσθα· τῷ οὔ νύ τι κέρδιον ἧμιν."
ἦ τοι ὅ γ' ὣς ϝειπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη 354 = Α 68
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 355 = Γ 329
ὅς μιν ἀμειβόμενος ϝέπεα πτερόεντα προσηύδα· [sqq.
„Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 357[b]-360 = Μ 231 357[b] = Σ 285
ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μέθ' ἱπποδάμοισ' ἀγορεύσω. 361[b] = Θ 525
ἄντικρυς δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ', ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,
πάντ' ἐθέλω δόμεναι καὶ ϝοίκοθεν ἄλλ' ἐπιθεῖναι." 364 = 391
ἦ τοι ὅ γ' ὣς ϝειπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη 365 = Α 68
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος, 366[b] = Ρ 477 γ 110, 409 cf. Ξ 318
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϝειπε·
„κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι, 368 sq. = 348 sq.
ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ, 370[a] = Σ 298
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ϝέκαστος· 371 = Σ 299
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας 372 cf. 381

353 ϝέλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
353 Ar. —

ϝ. Bentley πέλε (malumus 'πλέτο) ϝιλίου. An aberat olim nomen proprium (cf. Σ 246)? || πόλι' § 74] πόλει mss.

347 ἦρχ' ἀγορεύειν] ἀντίον ηὔδα A.

348 *μοι] μευ mss.; cf. § 92 et ad Α 37.

349 ἔσπω § 246] εἴπω mss. Cf. vs. 68.

353 ἵνα] ἵν' ἂν Ar., in versu spurio malam lectionem ferendam esse fortasse ratus.

359 εἰ δ' Ar. mss.] l. a. εἰ.

361] abesse mavult vHerwerden.

362 ἄντικρυς § 31] ἀντικρὺ mss.

364] observatu dignum olim visum est littera sigma hunc versum carere, teste Eust. 1335,50. || καὶ Eust. l. l.] καὶ ἔτ' mss.

368 sq.] om. A H.

368 *μοι] μευ mss.; cf. § 92 et ad Α 37.

369 ἔσπω § 246] εἴπω mss.; cf. vs. 68.

370 πτόλιν] mss. nonnulla στρατὸν, male, ut ostendunt verba ὡς τὸ πάρος περ. Sed cf. vs. 380.

371] e libro Σ huc invectum censet Leaf. || ἐγρήγορθε] cf. § 161.

Ϝειπέμεν' Ἀτρεΐδῃσ' Ἀγαμέμνονι καὶ Μενελάῳ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
καὶ δὲ τὸ Ϝειπέμεναι πυκινὸν Ϝέπος, αἴ κ' ἐθέλωσι
παύσασθαι πολέμου δυσϜηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων
ἧμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο.
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.
τοὺς δ' ηὗρ' ἐν ἀγορῇ Δαναούς, θεράποντας Ἄρηος,
νηὶ πάρα πρυμνῇ Ἀγαμέμνονος· αὐτὰρ ὁ τοῖσι
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
ἤνωγε Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγανοὶ
Ϝειπέμεν', αἴ κέ περ ὗμι φίλον καὶ Ϝηδὺ γένηται,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε.
κτήματα μέν, ὅσ' Ἀλέξανδρος κοίλῃσ' ἐνὶ νηυσὶ
ἠγάγετο Τροίηνδ' — ὡς πρὶν ὤφειλ' ἀπολέσθαι —
πάντ' ἐθέλει δόμεναι καὶ Ϝοίκοθεν ἄλλ' ἐπιθεῖναι·
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἤνωγον Ϝειπεῖν Ϝέπος, αἴ κ' ἐθέλητε
παύσασθαι πολέμου δυσϜηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχεσσόμεθ', εἰς ὅ κε δαίμων
ἧμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην."

373b = Ε 552
374 = Γ 87
375 cf. 394
376-378 = 395 sqq.
377b sq. = 291 sq.
379 = Ι 79 Ξ 133 etc. cf. ζ 247 υ 157
381 cf. 372
385 = 327
386b = Κ 563
387 cf. Δ 17
388 = Γ 87
389 sq.a cf. Χ 115 sq.
390b cf. Ω 764
391 = 364
394 cf. 375
395-397 = 376 sqq.

380 *δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσι.* — 380 cf. Δ 730 Σ 298, 314

375] τὸ Heyne] τόδ' mss.; PKnight καὶ τόδε.
376 πολέμου Bekker] -μοιο mss.
377 κήομεν § 177] κείομεν mss. pleraque. || μαχεσσόμεθ' § 291] μαχησόμεθ' mss. pleraque.
378 ἧμε § 92] ἄμμε mss.
380] versum e Σ insertum om. mss. complura. Si servaretur, pro στρατόν legendum esset πτόλιν; cf. vs. 370.
382 ἐν § 315] εἰν mss. pleraque.
383] apud *Ulixis* navem concio habetur Λ 806 sqq.
384 ἠπύτα] † (Ἠπυτίδης Ρ 324, ἠπύω saepius). Cf. § 54.
385 ἀριστῆες Παναχαιῶν] ἐυκνήμιδες Ἀχαιοί mss. nonnulla.
386 ἤνωγε § 225] ἠνώγει mss. De singulari numero vid. ad Δ 255.
387 εἰπέμεν C] εἰπεῖν mss. cetera. || ὗμι § 92] ὔμμι vel ὕμμι mss. || γένηται Naber] γένοιτο mss. Cf. vs. 394.
390 ὤφειλ' § 273] ὤφελλ' mss.
391 καὶ Heyne] καί ἔτ' mss. Cf. vs. 364.
393 μὴν] sic Ar., μιν mss. nonnulla.
394 ἤνωγον § 225] ἠνώγεον mss. Etiam singularis ἤνωγεν (ἠνώγειν Spitzner minus recte) ferri posset; cf. vs. 386.
395 πολέμου Bekker] -μοιο mss.
396 κήομεν § 177] κείομεν mss. pleraque. || μαχεσσόμεθ' § 291] μαχησόμεθ' mss. pleraque.
397 ἧμε § 92] ἄμμε mss.

ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 398 sq.ᵃ = υ 320
ὀψὲ δὲ δὴ μετέϝειπε βοὴν ἀγαθὸς Διομήδης· 398 = Γ 95 [sq. 398ᵇ sq.ᵃ = η 154 sq.
„μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω 399 = Ι 31, 696
μήθ' Ἑλένην· γνωτὸν δέ, καὶ ὃς μάλα νήπιός ἐστι,
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται." 402ᵇ = Μ 79 χ 41 cf. χ 33
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐϝίϝαχον υἷες Ἀχαιῶν, 403 sq. = Ι 50 sq.
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο. 404 = Ι 711 404ᵃ = Θ 29 Ι 431, 694
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·
„Ἰδαῖ', ἦ τοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιϝανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖσιν — κατακαιέμεν' οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν' ὦκα.
ὅρκια δὲ Ζεὺς ϝίστω, ἐρίγδουπος πόσις Ἥρης."
ὣς ϝειπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσι,
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ϝίλιον ἱρήν.
οἱ δ' ἕατ' ἐν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι 415ᵃ = Β 789
Ἰδαῖος· ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέϝειπε
στὰς ἐν μέσσοισιν. τοὶ δ' ὡπλίζοντο μάλ' ὦκα,
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην· 418 cf. 420
Ἀργέιοι δ' ἑτέρωθεν ἐυσσέλμων ἀπὸ νηῶν. 419ᵃ = Λ 215 Μ 415 Ν 835

ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας 421 sq. = τ 433 sq.
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἱ δ' ἤνταον ἀλλήλοισι.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ϝέκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,

420 ὠτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην. 420 cf. 418

400 Ἀλεξάνδροιο] cf. Λ 596.
402 πείρατ'] vid. ad Ζ 143.
403 ἐϝίϝαχον Bentley] ἐπίαχον mss.
409 κατατεθνηώτων Ar.] κατατεθνειώτων mss. pauca.
412] vid. ad Λ 234. || τὸ] abundat.
414 ἐν § 315] εἰν mss.
419] verbum e vss. praecedentibus supplendum, ut Λ 56 Υ 3.
420] damnavit vHerwerden. || ὠτρύνοντο νέκυς] ὀτρύνοντο νέκυς Ar., ὤτρυνον (ὄτρυνον) νέκυας mss. multa.
422 ἀκαλαρρείταο] epitheton *leniter fluens* significans nonnisi loco parallelo redit; cf. βαθυρρείτης Φ 195. Cohaeret ἀκήν.
423 εἰσανιών] comp. †. || ἤνταον § 191] ἤντεον mss.
424 διαγνῶναι] *διακρῖναι? vid. § 125. || χαλεπῶς] -πὸν mss. pauca. Adv. nonnisi Υ 186 (ubi vid.) redit. || ἦν] ἔεν? vid. § 302.

δάκρυα θερμὰ χέοντες ἀμαξάων ἐπάειραν. 426ᵃ cf. *Π* 3 *Σ* 17, 235 *δ* 523 *ω* 46
οὐδ' εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἔπ' ἐνήεον ἀχνύμενοι κῆρ, 428 = 431
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ϝίλιον ἱρήν.
ὣς δ' αὔτως ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
νεκροὺς πυρκαϊῆς ἔπ' ἐνήεον ἀχνύμενοι κῆρ, 431 = 428
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
ἦμος δ' οὐκ ἄρα πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς ἤγρετο λαὸς Ἀχαιῶν, 434 cf. *Ω* 789
τύμβον δ' ἀμφ' αὐτὴν ἕν' ἐποίεον ἐξαγαγόντες 435-440 cf. 336 sqq.
ἄκριτον ἐκ πεδίου, ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν,
εὐρεῖαν μεγάλην, ἓν δὲ σκόλοπας κατέπηξαν. 441 cf. *Ι* 350
ὣς οἳ μὲν 'πονέοντο κάρη κομάοντες Ἀχαιοί· 442ᵃ = *Ε* 84
οἳ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ 443ᵃ = *Δ* 1
'θηεῦντο μέγα Ϝέργον Ἀχαιῶν χαλκοχιτώνων.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων· 445 sq.ᵃ cf. *Ε* 420 sq.
„Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν,
ὅς τις ἔτ' ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίσπῃ;
οὐχ ὁράεις, ὅτι δ' αὖτε κάρη κομάοντες Ἀχαιοὶ
τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον 449ᵇ sq. = *Μ* 5 sq.

443—464 Zen. Aristoph. Ar. —

427 *εἴα*] *ἔαε*? || *οἳ δὲ*] l. a. *ἀλλά*.

428 *πυρκαϊῆς* Ar. mss.] *-ῇ* Zen. || *ἔπ' ἐνήεον* (*ἐπενάϜεον*) PKnight] *ἐπενήνεον* mss., l. a. *ἐπινήνεον*. Vitium redit *Η* 431 *α* 147 *π* 51; vid. *Ψ* 139, 163 *Ω* 276.

431 sq.] cum vs. 420 damnat Leaf.

431] vid. ad vs. 428.

433 *ἦμος*] supple *ἐστι*; illo noctis tempore quo iam paullulum allucescit. Cf. *Ψ* 226. || *οὐκ* Nauck] *οὔτ'* mss. || *ἄρα* Nauck] *ἄρ* mss. || *ἀμφιλύκη*] †, *diluculum, twilight*. Vid. ad *Δ* 101.

434 *κριτὸς*] corruptum ducit Christ. || *ἤγρετο* Duentzer Cobet LaRoche] *ἔγρετο* mss. Vitiorum, quae peperit vetusta litteratura, insigne admodum hoc est exemplum. Redit error *Ω* 789, contrarius *Ψ* 287 v. l. *υ* 123.

435 *ἕν' ἐποίεον*] *ἕνα ποίεον* mss.

436 *ἐκ πεδίου, ποτὶ*] *ἐν πεδίῳ* (sic Par. 2766) *περὶ* Aristoph. non recte.

439 *ἱππηλασίη*] vid. ad vs. parall.

442 *κομάοντες* § 191] *κομόωντες* mss.

443 sqq.] non concinere *Φ* 446 vidit Ar., neque libri *Μ* initio hic locus respicitur.

444 *'θηεῦντο*] vid. § 7 et 191.

447 **ἐνίσπῃ*] *ἐνίψει* mss.; vid. § 246.

448 *ὁράεις* § 191] *ὁρᾷς* mss. || *κομάοντες* § 191] *κομόωντες* mss.

449 *ἐτειχίσσαντο*] *ἐτεκτήναντο* Hesych. Verbum *τειχίζω* †.

ἤλασαν, οὐδὲ θεοῖσι 'δόσαν κλειτὰς ἑκατόμβας;
τοῦ δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἐπὶ κίδναται ἠώς· — 451 cf. 458
τοῦ δ' ἐπιλήσονται τό τ' ἐγὼ καὶ Φοῖβος Ἀπόλλων
ἥρωι Λαομέδοντι 'πολίσσαμεν ἀθλήσαντε."
τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς· — 454 cf. *Α* 517; 454ª = *Π* 48 *Ρ* 18 *Τ* 419 *Χ* 14 δ 30, 332 cf. ο 325
„ὢ πόποι, ἐνοσίγαι' εὐρυσθενὲς, οἷον ἔϝειπες. — 455 = ν 140; 455ª = *Θ* 201
ἄλλος κέν τις τοῦτο θεῶν δϝείσειε νόημα,
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε·
σὸν δ' ἦ τοι κλέος ἔσται ὅσον τ' ἐπὶ κίδναται ἠώς. — 458 cf. 451
ἄγρεε μὰν, ὅτε κ' αὖτε κάρη κομάοντες Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην εἰς πατρίδα γαῖαν, — 460 = *Ο* 499 cf. *Β* 140
τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι,
αὖτις δ' ἠιόνα μεγάλην ψαμάθοισι καλύψαι, — 462 cf. *Μ* 31
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
'δύσετο δ' ἠέλιος, 'τετέλεστο δὲ ϝέργον Ἀχαιῶν, — 465ª cf. β 388 etc.
'βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο.
νῆες δ' ἐκ Λήμνοιο παρέσταν ϝοῖνον ἄγουσαι
πολλαὶ, τὰς προέηκεν 'Ιησονίδης 'Εύνηος,
τόν ῥ' ἔτεχ' Ὑψιπύλη ὑπ' 'Ιήσονι, ποιμένι λαῶν.
χωρὶς δ' Ἀτρεΐδῃσ' Ἀγαμέμνονι καὶ Μενελάῳ — 470 cf. *Ε* 552
'δῶκεν 'Ιησονίδης ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθ' ἄρ' ἐϝοινίζοντο κάρη κομάοντες Ἀχαιοὶ,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖσ', ἄλλοι δ' αὐτῇσι βόεσσι,

---

451 ὅσον Zen.] ὅσην Ar. et mss. nonnulla. Cf. *Γ* 12 *Ο* 358 etc.

452 τό τ' Ambr. A L] τὸ Ar. Par. 2767, ὅτ' mss. cett.

453 ἥρωι § 17] ἥρῳ disyllabum Ar. h. l. et ϑ 483; vid. ζ 303. || ἀθλήσαντε] novicium pro ἀεθλ.; cf. *Ι* 124, 266 *Λ* 699 *Ο* 30 *Ω* 734 ϑ 160, 164. Naber ἀρθμήσαντε coll. vs. 302.

455 ἐνοσίγαι'(ε) G] ἐννοσίγαι' mss. cett.; cf. § 21. || εὐρυσθενὲς] -γαιε ἐρισθενὲς Nauck, cui coniecturae egregie favet Hes. Oper. 416 Ζηνὸς ἐρισθενέος. Attamen adiectivum etiam *Θ* 201 ν 140 obvium satis defendi videtur compositis similibus εὐρύϝοπα, εὐρυφυής (Εὐρυσθεύς?) etc.

458 ὅσον Zen.] ὅσην Ar. et mss. nonnulla; cf. vs. 451.

459 ἄγρεε § 191] ἄγρει mss. || ὅτε κ' § 326] ὅτ' ἂν mss. || κομάοντες § 191] κομόωντες mss.

463 ἀμαλδύνηται] verbum redit locis similibus *Μ* 18, 32 et praeterea h. Cer. 94.

465 δ'] τ' mss. multa; cf. loci paralleli.

466 'βουφόνεον] † (βουφόνος h. Merc. 435).

467 Λήμνοιο] de Lemni vino cf. *Θ* 230 sqq.; vid. etiam *Ι* 71 sq. || παρέσταν Bentley] παρέστασαν mss.

472 ἔνθ' D] ἔνθεν mss. cetera. || ἄρ' ἐϝοινίζοντο] ἄρα οἰνίζοντο mss. || κομάοντες § 191] κομόωντες mss.

vv. 467-475 postea ab Attico quodam poeta insertos esse propter ἀνδραπόδεσσι suspicatur Wackernagel Glotta VII p. 314 sqq.

ἄλλοι δ' ἀνδραπόδοισι· 'τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομάοντες Ἀχαιοὶ — 476ᵃ = Σ 354
'δαίνυντο, Τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·
παννύχιος δέ σφιν κάκ' ἐμήδετο μητιέτα Ζεὺς
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δϝέος ᾕρει· — 479ᵇ = μ 243 cf. Θ 77 Ρ 67 λ 43, 633 χ 42 ω 450
ϝοῖνον δ' ἐκ δεπάων χαμάδις 'χέον, οὐδέ τις ἔτλη
πινέμεναι, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
'κοιμήσαντ' ἄρ' ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο. — 482 cf. Ι 713 π 481 τ 427

475 Zen. Aristoph. Ar. —— || 482 Zen. om. (cf. Θ 1)

475 *ἀνδραπόδοισι* Ar.] *-δεσσι* mss.; vox †, cf. Γ 409.
476 *κομάοντες* § 191] *κομόωντες* mss.

478 *κάκ' ἐμήδετο*] *κακὰ μήδετο* mss.
481 *πινέμεναι* Ar. (*πιέμεναι* cod., correxit Cobet)] *πρὶν πιέειν* mss. Cf. Π 825 π 143 σ 3.

ΙΛΙΑΔΟΣ Θ.

Κόλος μάχη.

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
Ζεὺς δὲ θεῶν ἀγορὴν 'ποιήσατο τερπικέραυνος
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο.
αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ἐπὶ πάντες ἄκουον·
„κέκλυτέ μοι, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι·
μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην
πειραέτω διακέρσαι ἐμὸν Ϝέπος, ἀλλ' ἅμα πάντες
αἰνέετ', ὄφρα τάχιστα τελευτήσω τάδε Ϝέργα.
ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν' ἢ Δαναοῖσι,
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω εἰς Τάρταρον ἠερόεντα,
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,

1 = Ω 695 cf. Ψ [227
1ᵃ = Τ 1
3 = Α 499
5 sq. = Τ 101 sq.
5 = h. Ap. 311
5ᵇ = 20 ϑ 341
10 cf. Α 549 Β 391 Ο 348
11 cf. Ν 9
12 sq. cf. h. Merc. 255 sqq.
13ᵇ = Hes. Theog. 721

---

6 ὄφρ' ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. — 6 = Η 68

1 Zen. post 52 collocabat (cf. Η 482)

---

2 τερπικέραυνος] cf. § 251.
3 πολυδειράδος] vid. ad Ε 754.
4 ἐπὶ vHerwerden] ἅμα Z, ὑπὸ mss. cetera.
5 *μοι] μευ mss.; vid. § 92 et ad Α 37.
6] om. AD. || ἔσπω § 246] εἴπω mss. Cf. Η 68.
7 θεὸς] l. a. θεῶν, ab Ar. probata, certe commemorata.
8 πειραέτω § 191] -ράτω mss. || διακέρσαι] comp. †, cf. κείρει Ο 467 (ἐνικλᾶν Θ 408?).
9 αἰνέετ' § 191] αἰνεῖτ' mss.
10 δέ κ' § 326] δ' ἂν mss. || ἀπάνευθε] μετόπισθε Zen., ἀπάτερθε Aristoph.
12 πληγεὶς] sc. κεραυνῷ, cf. Θ 455 Ο 17.
14 ἧχι] vid. Α 607 Γ 326 Δ 76 γ 87. || βέρεθρον] vox nonnisi μ 94 redit.

ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός, 15 cf. Hes. Theog. 732 sq., 811
τόσσον ἔνερθ' Ἀϝίδα' ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης· 16 cf. Hes. Theog. 720
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων.
εἶ' ἄγε πειρήσασθε, θεοί, ἵνα ϝείδετε πάντες· 18 cf. Α 302
σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες
πάντες τ' ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι· 20^{b} = 5
ἀλλ' οὔ κεν ϝερύσαιτ' ἐξ οὐρανόθεν πεδίονδε
Ζῆν' ὕπατον μήστωρ', οὐδ' εἰ μάλα πολλὰ κάμοιτε. 22^{a} cf. Ρ 339
ἀλλ' ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ϝερύσσαι,
24 αὐτῇ κεν γαίῃ ϝερύσαιμ' αὐτῇ τε θαλάσσῃ·
27 τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν περί τ' εἴμ' ἀνθρώπων."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ, 28 = Γ 95
μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευσε. 28 sq. = Ι 693 sq. 28-30 cf. Ι 430 sqq.
ὀψὲ δὲ δὴ μετέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη· 29^{a} cf. Η 404 30 sq. = α 44 sq.
„ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων, 31 = ω 473 [80 sq.
εὖ νυ καὶ ἧμες ϝίδμεν ὅ τοι σθένος οὐκ ἐπιϝεικτόν· 32 cf. 463 τ 493 32^{a} = Σ 197
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων, 33 sq. = 464 sq.
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται. 34 = 354
ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', ὡς σὺ κελεύεις· 35 cf. 466
βουλὴν δ' Ἀργείοισ' ὑποθησόμεθ', ἥ τις ὀνήσει, 36 sq. = 467 sq.
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεεῖο."

25 σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο
δησαίμην, τὰ δέ κ' αὖτε μετήορα πάντα γένοιτο.

25 sq. Zen. — || 28—40 Ar. — || 37 Zen. om.

15] del. Bekker.

16 *Ἀϝίδα'* § 55] *Ἀίδαο* Genev.² Plut. Mor. 940*e*, *Ἀίδεω* mss. cetera.

18 *εἶ'* § 328] *εἰ δ'* mss.

18 sq.] Nicanor *πάντες, ... κρεμάσαντες·* quae necessaria est interpunctio si in vs. 20 legitur *δ'*.

19-27] de aurea hac catena mira commenti sunt posteriores, *solem* interpretati (vid. Plat. Theaet. 153*c*, Eur. Orest. 982 sqq. etc.). Poeta nihil significare voluit nisi virium experimentum (*ἑλκυστίνδα*), *aurea* autem dicitur catena ut divina quaelibet.

20 *τ'* C] *δ'* mss. cetera.

21 *οὔ κεν* § 326] *οὐκ ἂν* mss.

22 *μήστωρ'*] *πάντων* Aristot. de an. mot. 4. || *κάμοιτε*] l. a. *πάθοιτε*.

23 *δὴ ... ἐθέλοιμι*] *κεν* Aristid. II p. 506 Pseudoplut. vit. Hom. 94, *ἐθέλωμι* Ar.; aut utraque lectio est recipienda aut neutra. || *πρόφρων*] *πρόσσω* Ptolemaeus Oroandae.

25 sq.] Olympus hic non mons terrester intellegitur sed locus coelestis; unde versus spurios esse apparet.

27 *εἴμ' ἀνθρώπων*] *εἰμὶ θεάων* coniecit vHerwerden.

28-40] locum, qui centonis instar est, postmodo esse insertum, versibus autem 39 sq. mire frangi vim verborum Iovis quae praecedunt, intellexit Ar.

29 *ἀγασσάμενοι*] alii olim *φρασσάμενοι*.

32 *ἧμες* § 92] *ἡμεῖς* mss. || *ἐπιϝεικτόν*] *ἀλαπαδνόν* Bekker, idem aut *μένος οὐκ ἐπιϝεικτόν* vHerwerden; cf. vs. 463.

35 *ὡς*] sic Ar., *ἦ* C, mss. nonnulla *εἰ*.

37 *τεεῖο* Heyne] *τεοῖο* mss.; cf. § 93.

τὴν δ' ἐπιμειδήσας προσέφη νεφεληγερέτα Ζεύς· — 38 cf. Δ 356; 38b-40 = X 182 sqq.
„θάρσεε, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι ἤπιος εἶναι.“ — 40b = h. Merc. 466
ὣς ϝειπὼν ὑπ' ὄχεσφι 'τιτύσκετο χαλκόποδ' ἵππω, — 41b-44 = N 23 sqq.
ὠκυπέτα, χρυσέῃσι ϝεθείρῃσιν κομάοντε,
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, 'γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑϝοῦ δ' ἐπεβήσετο δίφρου.
'μάστιξεν δ' ἐλάειν· τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην — 45 = E 366 cf E 768
μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος. — 46 = E 769
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν, — 47 = h. Ven. 68 cf. Ξ 283 O 151
Γάργαρον, ἔνθα τέ ϝοι τέμενος βωμός τε θυήεις. — 48 cf ϑ 363; 48b = Ψ 148
ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε θεῶν τε — 49a = E 368, 775
λύσας ἐξ ὀχέων, κατὰ δ' ἠέρα πολλὸν ἔχευε. — 50 cf. E 776; 50a = N 35 cf. E 369
αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κύδεϊ γαίων, — 51b sq. = Δ 81 sq.
εἰσοράων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν. — 51b = Δ 405

οἳ δ' ἄρα δεῖπνον ἕλοντο κάρη κομάοντες Ἀχαιοὶ
ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ 'θωρήσσοντο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο,
παυρότεροι· 'μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι,
χρηό' ἀναγκαίῃ, πρό τε παίδων καὶ πρὸ γυναικῶν.
πᾶσαι δ' ᾠίγνυντο πύλαι, ἐκ δ' ἔσσυτο λαὸς, — 58 sq. = B 809 sq.
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. — 59b = 63
οἳ δ' ὅτε δή ῥ' εἰς χῶρον ἕνα ξυνιόντες ἵκοντο, — 60-65 = Δ 446 sqq
σύν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν

---

39 θάρσεε § 191] θάρσει mss. || Τριτογένεια] cf. Δ 515.

41] χαλκόποδ'] hic et loco parallelo.

42 ὠκυπέτα] hic et loco parallelo; cf. ὠκύπτερος N 62. || χρυσέῃσι] § 18 et 61. || κομάοντε § 191] κομόωντε mss.

45 ἐλάειν § 191] ἐλάαν mss. || ἀϝέκοντ'(ε)] ἄκοντε mss.

48 ἔνθα τέ C] ἔνθα δέ mss. cetera; cf. N 21 Ξ 215 X 147 ϑ 363 μ 127 (?), 262, 318 h. Ven. 59 et ad φ 9. || βωμός τε θυήεις] cf. X 170 sq.

50 κατὰ] περὶ mss. multa, ut legitur loco parall. || *πολλὸν] πολλὴν C, πο(υ)λὺν mss. cetera; cf. § 83.

51 κύδεϊ γαίων] vid. Δ 405.

52 εἰσοράων § 191] -ρόων mss. || Inter vss. 52 et 53 Zen. inserebat vs. 1.

53 κομάοντες § 191] κομόωντες mss.

54 ἀπὸ δ' αὐτοῦ] *ab eo autem* (sc. *surgentes*), i. e. *statim post*; l. a. τοὶ δ' αὐτόθι. Hoc uno loco apud Homerum ἀπό de tempore usurpatur. || αὐτοῦ] αὐτόο? cf. § 59.

55 ὡπλίζοντο] ὁπλ. Ar. — Verbum *arma induere* etiam ω 495 significat, alias *parare*; cf. ὅπλα *instrumentum* de *armis* usurpatum K 254, 272 Σ 614 T 21 (vid. ad δ 784).

57 χρηό' § 77 et 190] χρειοῖ mss.

58 πᾶσαι] vid. ad B 809.

60 ἵκοντο] ἵκανον L.

χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. 63ᵇ = 59
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ 'πέλετ' ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, 'ρέε δ' αἵματι γαῖα.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, 66 sq. = Λ 84 sq. 66 = ι 56
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαός. 67 = Ο 319 Π 778
ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφεβεβήκει, 68 cf. Π 777 δ 400
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, 69 sq. = Χ 209 sq.
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων, 71 = Γ 127
72 εἷλκε δὲ μέσσα λαβών, 'ρέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν. 72 cf. Χ 212
αὐτὸς δ' ἐξ Ἴδης μεγάλ' ἔκτυπε, δαιόμενον δὲ
ἧκε σέλας μετὰ λαὸν Ἀχαιῶν. οἳ δὲ ϝιδόντες
'θάμβησαν, καὶ πάντας ὑπὸ χλωρὸν δϝέος εἷλε. 77ᵇ = χ 42 cf. Η 479
ἔνθ' οὔτ' Ἰδομενεὺς 'τλῆ μιμνέμεν' οὔτ' Ἀγαμέμνων,
οὔτ' Αἴαντε δύω 'μενέτην, θεράποντες Ἄρηος·
Νέστωρ οἶος ἔμιμνε γερήνιος, οὖρος Ἀχαιῶν, 80 cf. Λ 840 Ο 370, 659 γ 411
οὔ τι ϝεκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν 'βάλεν ἰῷ
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 82 = Γ 329
ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων

---

73 *αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πολυβοτείρῃ*
ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.

73 sq. Ar. —

---

62 *χαλκεοθωρήκων*] vid. ad vs. parall.
63 *ἔπληντ'*] **ἐπλήατ'*? Cf. § 119 et 17.
64 *'πέλετ'* § 275] *πέλεν* mss.
66 *ἦν*] forma suspecta, cf. § 302; LMeyer *ἦεν ἀέξετό θ'*, an **ὄφρ' ἠὼς μὲν ἔην (ἔεν)*?
68] cf. Verg. Aen. VIII 97: *sol medium caeli conscenderat igneus orbem.* || *ἀμφεβεβήκει*] *ἀμφιβ.* mss.
69-72] imitatur Verg. Aen. XII 723-725.
69 *καὶ τότε δὴ*] *αὐτὸς δὲ* Clem. Alex. Strom. V p. 727.
72 *εἷλκε*] *ἕλκε* mss. || *ῥέπε … αἴσιμον ἦμαρ*] *fatalis dies inclinatus est*, i. e. *fatum decretum est.* Simplex *ῥέπειν* nonnisi loco parall. redit, *ἐπιρρέπειν* Ξ 99; vid. praeterea ad ε 367.
73 sq.] spurios esse cum verbi dualis *ἑζέσθην* ostendit pro plurali adhibitus (nam nihili est l. a. *ἕζεσθεν*), tum vero nominis pluralis *κῆρες*, cum de *una* tantum *sorte* sermo esse possit. Debentur errori eorum qui *κῆρας* intellegebant *τὰς ψυχάς*, in quorum numero fuisse Aeschylum testatur eius tragoedia *Ψυχοστασία*.
73 *πολυβοτείρῃ* D] *πουλ.* mss. cetera; cf § 21.
74 *ἑζέσθην*] male alii olim *ἕζεσθεν*.
77 *εἷλε*] *ᾕρει* L, ut legitur Η 479.
78 *μιμνέμεν'* § 125] *μίμνειν* mss.
79 *οὔτ' Αἴαντε δύω* C] *οὔτε (οὐδὲ) δύ' Αἴαντε(ς)* mss. cetera.
80 *γερήνιος*] cf. Β 336.
81-86] imitatur Verg. Aen. X 890-894.
81 *ἵππος*] significari equum *funalem* (*παρήορον*), cuius praeterea nonnisi Π 152, 467 sqq. (et δ 590) fit mentio, docent sequentia. || *ἐτείρετο*] l. a. *ἐδάμνατο* in Ar. commentariis.
83 *ὅθι*] *ἵνα* Aristot. de anim. gen. V 5.

κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστι. 84ᵇ = 326
ἀλγήσας δ' ἀνέπαλτο, — βέλος δ' εἰς ἐγκέφαλον 'δῦ, —
σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.
ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε
φασγάνῳ ἀίσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι 88ᵃ cf. *Ε* 81
ἦλθον ἀν' ἰωχμὸν, θρασὺν ἡνίοχον φορέοντες
Ἕκτορα. καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσε,
εἰ μὴ ἄρ' ὀξὺ 'νόησε βοὴν ἀγαθὸς Διομήδης· 91ᵃ = *Ι* 374
σμερδαλέον δ' ἐβόησεν ἐποτρύνων Ὀδυσῆα·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
πῇ φεύγεις μετὰ νῶτα βαλὼν, κακὸς ὣς ἐν ὁμίλῳ;
μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ. 95 cf. *Χ* 283
ἀλλὰ μέν', ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα.“
ὣς ἔφατ', οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεὺς,
ἀλλὰ παρήιξεν κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδεΐδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη, 99 cf. *Ε* 134
'στῆ δὲ πρόσθ' ἵππων Νηληιάδαο γέροντος,
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταὶ,
σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει, 103ᵇ cf. *Δ* 321
ἠπεδανὸς δέ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ϝίδηαι 105-107 = *Ε* 221 sqq.
οἷοι Τρώιοι ἵπποι, ἐπιστάμενοι πεδίοιο
κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι,
οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην, μήστωρα φόβοιο.

---

84 κρανίῳ] †. || καίριον] cf. *Δ* 185.

85 ἀνέπαλτο] cf. *Υ* 424 *Ψ* 692, 694 *Τ* 351. Ab ἀνα-πάλλομαι multi deducunt cum Eur. Orest. 322; cf. *Ο* 645 *Υ* 483. Alii ἀνεπᾶλτο scribunt, ab ἀνεπ-άλλομαι derivantes, coll. *Φ* 140; quae potior videtur ratio, nisi quod *ἀνέαλτο malumus, quo ducit participium ἔπι-άλμενος *Η* 15 alibi. Cf. *Δ* 94 et § 150[40].

86 ἵππους] i. e. ἅρμα (*span*), ut alibi passim; hic tamen post vocem ἵππος (vs. 81) displicet. De re cf. *Π* 474.

87 ὄφρ' ὁ] ὄφρα? || παρηορίας] redit vox *Π* 152; significantur lora (σεῖραι posteris dicta), quibus currui adiunctus est equus funalis, παρήορος (*Π* 471, 474, cf. *Η* 156 et ad *Κ* 499).

89 ἰωχμὸν] vox (= ϝιωκή *Ε* 521 etc.) nonnisi vs. 158 redit.

90 ἔνθ' ὁ] ἔνθα?

94 κακὸς ὣς] de syllaba -ὸς ante ὣς non producta cf. § 101.

97 ἐσάκουσε] comp. h. Cer. 285 redit; *aurem praebuit* interpretabatur Ar., alii fortasse rectius *audivit* (ut h. Cer. l. l.).

103 ὀπάζει] sic Ar., ἐπείγει Ixio, ἱκάνει mss. nonnulla; cf. *Δ* 321.

104 ἠπεδανὸς] adi. dubiae originis (a πούς repetit Schultze) redit *θ* 311 h. Ap. 316. || βραδέες] cf. *Ψ* 310.

106 Τρώιοι] vid. ad *Ε* 222. || πεδίοιο] vid. ad *Β* 785.

108 ποτ'] vHerwerden τότ' (coll. *Ι* 131)

τούτω μὲν θεράποντε κομείτων, τώδε δὲ νῶι [sq.
Τρωσὶν ἐφ' ἱπποδάμοισ' ἰθύνομεν, ὄφρα καὶ Ἕκτωρ 110ᵇ sq. cf. Π 242
Ϝείσεται εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμηφι.“ 111 cf. Π 74 sq.
ὣς ἔφατ', οὐδ' ἀπίθησε γερήνιος ἱππότα Νέστωρ. 112 = Λ 516
Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντ' ἐκομείτην,
ἴφθιμος Σθένελός τε καὶ Εὐρυμέδων ἀγαπήνωρ.
τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματ' ἐβήτην·
Νέστωρ δ' ἐν χείρεσσι 'λάβ' ἡνία σιγαλόεντα,
'μάστιξεν δ' ἵππους· τάχα δ' Ἕκτορι ἄγχ' ἐγένοντο. 117ᵇ cf. Ψ 447
τοῦ δ' ἰθὺς μεμαῶτος ἀκόντισε Τυδέος υἱός· 118ᵃ cf. Λ 95 Υ 386
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ἡνίοχον θεράποντα, 119ᵃ = Φ 171 cf. Θ 302
υἱὸν ὑπερθύμου Θηβαίοι' Ἠνιοπῆα,
ἵππων ἡνί' ἔχοντα 'βάλε στῆθος παρὰ μαζόν. 121ᵃ = Π 739 [sqq. 121ᵇ-125 = 313
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Ϝοι ἵπποι 122 = Ο 452
ὠκύποδες· τοῦ δ' αὖθι 'λύθη ψυχή τε μένος τε. 123 = Ε 296
Ἕκτορα δ' αἰνὸν ἄχος 'πύκασε φρένας ἡνιόχοιο. 124 cf. Ρ 83
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
κεῖσθαι, ὃ δ' ἡνίοχον μέθεπε θρασύν· οὐδ' ἄρ' ἔτι δϜὴν
ἵππω ἐδευέσθην σημάντορος, αἶψα γὰρ ηὗρε
Ϝιφιτίδην Ἀρχεπτόλεμον θρασὺν, ὄν ῥα τόθ' ἵππων
ὠκυπόδων ἐπέβησε, 'δίδου δέ Ϝοι ἡνία χερσί.
ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα Ϝέργ' ἐγένοντο, 130 sq.ᵃ = Λ 310 sq.
καί νύ κ' ἐσήκασθεν κατὰ Ϝίλιον ἠύτε Ϝάρνες,

---

vel περ. Vid. Θ 230. Res narrata est Ε 323 sq. || μήστωρα L Z Eust. Plat. Lach. 191b] μήστωρε Ar. et mss. pleraque. Vid. Ε 272.

109 κομείτων] sic Ar., -την Zen. et mss. nonnulla; forma suspecta, vid. § 116. Malumus *κομίσσετον, ἧμε δὲ τώδε (cf. § 92).

111 Ϝείσεται] futurum h. l. et loco parallelo post ὄφρα ferendum videtur; vHerwerden tamen utrobique Ϝειδέῃ coniecit, nos *ὄφρα Ϝίδηται | Ἕκτωρ; δ 163 autem futurum sine dubio errori debetur et ρ 7 hinc alienus est. || εἰ] ἢ A¹ Townl., cf. § 327. || παλάμηφι] -μῃσι mss.; vid. ad Ε 594.

112 γερήνιος] cf. Β 336.

114 ἴφθιμος A D] -μοι mss. cetera. Vid. Ψ 511.

115 ἅρματ' ἐβήτην] -τα βήτην mss.

116 σιγαλόεντα] φοινικόεντα mss. complura, redit varietas vs. 137 (cf. Δ 141 ψ 201).

117 Ἕκτορι] -ρα mss.; vid. versus parall. || ἄγχ' ἐγένοντο] ἄγχι γέν. mss.

119 ὃ δ'] vid. ad Α 191.

120 Θηβαίοι'] -ου mss.; an -οο? vid. § 59.

126 ὃ δ'] vid. ad Α 191. || μέθεπε] sc. ἵππους? Cf. Ε 329.

127 ἐδευέσθην] δευέσθην mss.

128 Ἀρχεπτόλεμον] Ἐρασιπτόλεμον Zen. h. l., sed in vs. 312 vulgatam sequebatur.

130 ἔην] ἔεν? vid. § 302. || Ϝέργ' ἐγένοντο] ἔργα γέν. mss.

131 ἐσήκασθεν] †. || Huic versui olim a quibusdam subiungebantur ieiuni versiculi duo: Τρῶες ὑπ' Ἀργείων, ἔλιπον δέ κεν Ἕκτορα δῖον | χαλκῷ δηιόωντα (δῃωθέντα LaRoche), δάμασσε δέ μιν Διομήδης. Eidem fonti ipse versus 131 deberi videtur.

εἰ μὴ ἄρ᾽ ὀξὺ ᾽νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε· 132a = *Γ* 374
βροντήσας δὲ δϝεινὸν ἀφῆκ᾽ ἀργῆτα κεραυνὸν,
κὰδ δὲ πρόσθ᾽ ἵππων Διομήδεος ἧκε χαμᾶζε·
δϝεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο,
τὼ δ᾽ ἵππω δϝείσαντε κατεπτήτην ὑπ᾽ ὄχεσφι.
Νέστορα δ᾽ ἐκ χειρῶν ᾽φύγον ἡνία σιγαλόεντα· 137b = *Δ* 128
δϝεῖσε δ᾽ ὅ γ᾽ ἐν θυμῷ, Διομήδεα δὲ προσέϝειπε·
„Τυδεΐδη, ἄγε δ᾽ αὖτε φόβονδ᾽ ἔχε μώνυχας ἵππους.
ἦ οὐ γιγνώσκεις ὅ τοι ἐκ Διὸς οὐχ ἕπετ᾽ ἀλκή;
νῦν μὲν γὰρ τούτῳ Κρονίδης Ζεὺς κῦδος ὀπάζει, 141 cf. *Φ* 570 141b cf. *P* 566 *τ* 161
σήμερον· ὕστερον αὖτε καὶ ἥμισιν, αἴ κ᾽ ἐθέλησι,
δώσει· ἀνὴρ δέ κεν οὔ τι Διὸς νόον εἰρύσσαιτο,
οὐδὲ μάλ᾽ ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι." 144b = 211 *X* 40 cf. *Λ* 169
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα βοὴν ἀγαθὸς Διομήδης·
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔϝειπες· 146 = *Α* 286
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει· 147 = *O* 208 *Π* 52 *σ* 274 cf. *X* 43
Ἕκτωρ γάρ ποτε φήσει ἐνὶ Τρώεσσ᾽ ἀγορεύων·
‚Τυδεΐδης ὑπ᾽ ἐμεῖο φοβεύμενος ἵκετο νῆας.'
ὥς ποτ᾽ ἀπειλήσει· τότε μοι χάνοι εὐρεῖα χθών." 150b = *Δ* 182
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„ὤ μοι Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔϝειπες. 152 cf. *Δ* 370
εἴ περ γάρ σ᾽ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήῃ,
ἀλλ᾽ οὐ πείσονται Τρῶες καὶ Δαρδανίωνες
καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀσπιστάων,
τάων ἐν κονίῃσι ᾽βάλες θαλεροὺς παρακοίτας."
ὣς ἄρα φωνήσας φύγαδ᾽ ἔτραπε μώνυχας ἵππους 157 cf. 432
αὖτις ἀν᾽ ἰωχμόν· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ 158b sq. = *O* 589 sq.
ϝηχῇ θεσπεσίῃ βέλεα στονόεντ᾽ ἐχέοντο.
τῷ δ᾽ ἐπὶ μακρὸν ἄυσε μέγας κόρυθ᾽ αἰόλος Ἕκτωρ· 160a = *E* 101
„Τυδεΐδη, περὶ μέν σε ᾽τίον Δαναοὶ ταχύπωλοι 161 cf. *Δ* 257

---

133 *δὲ* Nauck] *δ᾽ ἄρα* mss. ‖ *δϝεινὸν ἀφῆκ᾽*] **δϝείν᾽ ἀφέηκ᾽*?
136 *κατεπτήτην*] *καταπτήτην* mss.
137 *φύγον*] sic Ar., *φύγεν* mss. nonnulla. ‖ *σιγαλόεντα*] l. a. *φοινικόεντα*, cf. vs. 116.
139 *δ᾽ αὖτε*] *νῶι* Zen. pro dativo habens; cf. § 92.
140 *ὅ τοι*] *ὅτι* mss. complura.
142-144] del. PKnight.
142 **ἥμισιν*] *ἡμῖν* mss., vid. § 93.
143 *εἰρύσσαιτο*] forma suspecta, cf. § 293.
149 *φοβεύμενος*] cf § 7 et 191.
151 *γερήνιος*] cf. *B* 336.
153 **φήῃ*] *φῆσι* Cobet, *φήσει* mss.; cf. § 122 et *α* 168.
157 *φύγαδ᾽ ἔτραπε*] *φύγαδε τράπε* Ar.
158 *ἰωχμόν*] cf. vs. 89.
159 *στονόεντ᾽ ἐχέοντο*] *-ντα χέοντο* mss.

ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοισι δέπασσι·
νῦν δέ σ' ἀτιμάσσουσι· γυναικὸς ἄρ' ἀντ' ἐτέτυξο.
Ϝέρρε, κακὴ γλήνη, ἐπεὶ οὐ Ϝείξαντος ἐμεῖο
πύργων ἡμετέρων ἐπιβήσεαι οὐδὲ γυναῖκας
ἄξεις ἐν νήεσσι· πάρος τοι πότμον ἐφήσω."
ὣς 'φάτο, Τυδεΐδης δὲ διάνδιχα 'μερμήριξε,
ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι.
τρὶς μὲν ἐμερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
τρὶς δ' ἄρ' ἀπ' Ἰδαίων ὀρέων 'κτύπε μητιέτα Ζεὺς
σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας·
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
γιγνώσκω δ' ὅτι μοι πρόφρων κατένευσε Κρονίων
νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα·
νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα 'μηχανάοντο
ἀβλήχρ' οὐδενόσωρα· τὰ δ' οὐ μένος ἡμὸν ἐρύξει,
ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν.
ἀλλ' ὅτε κεν δὴ νηυσὶν ἔπι γλαφυρῇσι γένωμαι,
μνημοσύνη τις ἔπειτα πυρὸς δηίοιο γενέσθω,
ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτούς."

162 = *M* 311
167ᵇ = *Α* 189
169 cf. *E* 671
171ᵇ = *H* 26
172 = *Z* 110 cf. *Λ* 285 *O* 424, 485
172ᵇ-174 = *P* 183 sqq.
173 sq. = *Λ* 286 sq. *O* 486 sq.
173 = *N* 150 etc.
174 = *Z* 112
182 cf. *N* 629 *Ξ* [47 *O* 702

183 *Ἀργείους παρὰ νηυσίν, ἀτυζομένους ὑπὸ καπνοῦ.* 183 cf. *I* 243

164—166 Aristoph. Ar. —

162] cf. *Δ* 263. ‖ *πλείοισι δέπασσι*] *πλείοις δεπάεσσι* mss.; cf. § 60.

163 *ἀτιμάσσουσι* Nauck] *ἀτιμήσουσι* mss. ‖ *ἀντ' ἐτέτυξο*] *ἀντὶ τέτυξο* Ar. et mss. multa.

164 *γλήνη*] proprie *oculi pupilla*, *Ξ* 494 *ι* 390 Soph. Oed. R. 1277; cf. *γλήνεα ornamenta* *Ω* 192 et *τρίγληνος* *Ξ* 183 *σ* 298. Nostro loco aut *puellam* significat (cf. *κόρη* de *pupilla* apud posteros dictum) aut *ludibrium*.

166 *πότμον ἐφήσω* Zen., cf. *Δ* 396] *δαίμονα δώσω* mss. (cf. *I* 571), quod e *λαιμὸν ἀμήσω* corruptum esse suspicatur Naber (cf. *Σ* 34), Zenodoteam tamen lectionem praeferens et ipse.

168 *στρέψαι*] *τρέψαι* D. ‖ Nonnulli olim subiungebant insulsum versiculum *ἢ μήτε στρέψαι μήτ' ἀντίβιον μαχέσασθαι*. Vid. ad *Λ* 192.

169 *ἐμερμήριξε*] *μερμήριξε* mss.

170 *ἀπ'*] l. a. *ἐπ'*.

177 *οἳ* Ar. mss.] *οἵ'* Dionysius Sidonius. Cf. *O* 104 *α* 8. ‖ *'μηχανάοντο* § 191] *-νόωντο* mss.

178 *ἀβλήχρ'*] cf. *E* 337. ‖ *οὐδενόσωρα*] †: de voce insolita ratione formata cf. § 100. ‖ *ἡμὸν* § 95] *ἁμὸν* vel *ἀμὸν* mss.

179 *ῥέα*] cf. § 88.

181 *μνημοσύνη*] † (nomen proprium h. Merc. 429, *μνήμων* *θ* 163 *φ* 95); cf. *μνήσασθε … ἀλκῆς* *Z* 112 etc., *μνησώμεθα χάρμης* *T* 148 etc. ‖ *δηίοιο*] vid. § 17.

182 *κτείνω*] *κτενέω* Cant.

183-212] postmodo additos censet PKnight; quod si certum esset, in vs. 186 et 191 *-τε* pro *-τον* legi et vs. 185 in contextu servari posset.

183] om. mss. pleraque. ‖ *ὑπὸ καπνοῦ*] l. a. *περὶ καπνῷ*; cf. *I* 243.

184 ὣς Ϝειπὼν ἵπποισιν ἐκέκλετο ’φώνησέν τε· 184 = Ψ 442
186 „νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, 187 = Z 395
ὗμιν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκε
Ϝοῖνόν τ’ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
ἢ ἐμοί, ὅς πέρ Ϝοι θαλερὸς πόσις εὔχομαι εἶναι.
ἀλλ’ ἐφομαρτέετον καὶ σπεύδετον, ὄφρα λάβωμεν 191ª = Ψ 414 cf. M 412
ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει,
πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτὴν,
αὐτὰρ ἀπ’ ὤμοιιν Διομήδεος ἱπποδάμοιο
δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος ’κάμε τεύχων.
εἰ τούτω γε λάβοιμεν, ἐϜελποίμην κεν Ἀχαιοὺς 196ª = E 273
αὐτονυχὶ νηῶν ἐπιβησέμεν’ ὠκειάων.“
ὣς ἔφατ’ εὐχόμενος, ’νεμέσησε δὲ πότνια Ἥρη,
’σείσατο δ’ ἐν θώκῳ, ἐϜέλιξε δὲ μακρὸν Ὄλυμπον, 199ª cf. O 150
καί ῥα Ποσειδάωνα μέγαν θεὸν ἀντίον ηὔδα·
„ὢ πόποι, ἐνοσίγαι’ εὐρυσθενὲς, οὐδέ νυ σοί περ 201ª = H 455; 201ᵇ sq. cf. O 553 sq.
ὀλλυμένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός;
οἳ δέ τοι εἰς Ϝελίκην τε καὶ Αἰγὰς δῶρ’ ἀνάγουσι
πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι ’βούλεο νίκην. 204ª = I 599

185 Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε δῖε,
185 Ar. — || 189 Aristoph. Ar. —

185] spurium esse docet numerus dualis in sequentibus adhibitus, quadrigis autem neque Hector utitur neque ceteri heroes; vid. ad *O* 680. Equorum nomina interpolator desumsit e *Π* 149 *Ψ* 295 *ψ* 246.

189] verba absurda; quis enim cratera apponat equorum praesepibus! Non tamen spurium esse hunc versum, sed de ipso Hectore olim dictum fuisse, totum autem locum (quocum cf. *Ψ* 281 sq.) graviter esse corruptum, probabiliter statuit Friedlaender. || ἐγκεράσασα] comp. †, vid. tamen *υ* 252.

191 ἐφομαρτέετον § 191] -τεῖτον mss. || ὄφρα Ar. mss.] l. a. αἴ κε.

192-195] neque Nestoris clarus hic clipeus neque Diomedis thorax a Vulcano fabricatus (cf. *Z* 236?) alias commemoratur.

193] damnat Nauck. || κανόνας] clipei haec *manubria* etiam *N* 407 commemorantur (*Ψ* 761 alia est vocis vis); vid. Helbig Hom. Epos[1] p. 225 et 230.

196 γε Thiersch] κε mss.

197 αὐτονυχὶ] †.

199 *ἐν θώκῳ] εἰνὶ θρόνῳ mss.; de vitiosa forma εἰνὶ vid. § 315. Correximus coll. vs. 439 *β* 14 *ε* 3 et l. a. Arist. Ran. 1515. Redit locutio *O* 150; praeterea εἰνὶ θύρῃσι habent mss. *θ* 325 (?) *ι* 417 *κ* 310 *μ* 256, ubi ἐν προθύροισι est corrigendum. || ἐϜέλιξε Dawes Cobet] ἐλέλιξε mss.; vid. § 41[24] et ad *A* 530. An *’πελέμιξε fuit olim (vid. vs. 443)?

200 ἀντίον ηὔδα] alias *respondit* significat, hoc uno loco *allocutus est*.

201 ἐνοσίγαι’ § 21] ἐνν. (εἰν.) mss. || εὐρυσθενὲς] vid. *H* 455.

204 ’βούλεο] *antehac solebas iis favere*. Alii imperativum intellegunt: *tu igitur nunc... victoriam iis praebe*.

εἴ περ γάρ τ' ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί, 205^{a} = Β 123
Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύϝοπα Ζῆν, 205^{b} cf. Φ 371, 428
αὐτόθι κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἶος ἐν Ἴδῃ."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη κρείων ἐνοσίχθων· 208 cf. Ο 184
„Ἥρη ἀπτοϝεπὲς, ποῖον τὸν μῦθον ἔϝειπες; 208^{a} = Λ 517
οὔ κεν ἐγώ γ' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι 210 sq. cf. Υ 134 sq.
ἧμας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι." 211^{b} = 144
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
τῶν δ', ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔϝεργε,
'πλῆθεν ὁμῶς ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων
ϝελλομένων· 'ϝέλλεν δὲ θοῷ ἀτάλαντος Ἄρηι
Ἕκτωρ Πριαμίδης, ὅτε ϝοι Ζεὺς κῦδος ἔδωκε. 216 = Λ 300 Τ 204
καί νύ κ' ἐνέπρησεν πυρὶ κηλέῳ νῆας ἐϝίσας,
εἰ μὴ ἐνὶ φρέσ' ἔθηκ' Ἀγαμέμνονι πότνια Ἥρη 218^{a} cf. ε 427
αὐτῷ ποιπνύσαντι θοῶς ὀτρῦναι Ἀχαιούς.
'βῆ δ' ἴμεναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν, 220 = Ν 167, 208 cf. Λ 617
πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ, 221 cf. ϑ 84
'στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ, 222 sq. = Λ 5 sq.
ἥ ῥ' ἐν μεσσάτῳ ἦσκε γεγωνέμεν ἀμφοτέρωσε,

224 ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο 224-226 = Λ 7 sqq.
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐϝίσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν·

205 *τ'] κ' mss. Cf. Β 123.

206 Ζῆν] Ζῆν'(α) mss. Ar. Nicanor. Cf. § 80.

207 αὐτόθι § 322] αὐτοῦ mss. An *αὐτίκα? || ἔνθ' ἀκάχοιτο καθήμενος] ἔνθα κάθοιτ' ἀκαχήμενος Zen.

209 ἀπτοεπὲς] sic Ar. mss., l. a. ἀπτοεπὲς. Vox † et obscura, quae aut praefixum habuit ϝ (cf. § 14) aut, quod veri est similius, vitio debetur. Wackernagel Leaf ἀεπτοεπὲς vel ἀαπτοεπὲς (vid. ἄαπτος - ἄεπτος Λ 567) *linguam invictam (duram) gerens*, Peppmueller ἁμαρτοεπὲς (ut Ν 824), Nauck ἀμετροεπὲς, nos *ἀναρτοϝεπὲς coll. Γ 215 Ν 824 Χ 281.

210 οὔ κεν § 326] οὐκ ἂν mss.

211 ἧμας § 92] ἡμέας mss. || φέρτερος] -τατος mss. nonnulla.

213 ἀπὸ Ar. mss.] καὶ Zen. || πύργου τάφρος] l. a. τάφρου πύργος. Voce πύργος hic totus murus significari videtur (cf. Μ 333), sed obscura est praepositionum ἐκ et ἀπό potestas et totus locus; ἐπὶ πύργῳ τάφρος Monro. || ἔεργε] sic et ἔρυκε Ar.

215 ϝελλομένων· 'ϝέλλεν § 265] εἰλομένων· εἴλει mss.

217 κ' ἐνέπρησεν] κεν ἔπρησεν mss. multa; compositum commendant vs. 182, 235 alii, simplex Β 415 †. || κηλέῳ] cf. § 8.

218 ἐνὶ] ἐπὶ mss.; vid. Λ 55. || φρέσ' ἔθηκ'] φρεσὶ θῆκ' mss.

220 ἴμεναι § 125] ἰέναι mss.

221] cf. Β 183.

222] vid. ad Λ 806. || μεγακήτεϊ] *vasta (cava)*; *navis* epitheton est etiam versu parall. et Λ 600, *delphini* Φ 22, *maris* γ 158. Cf. κῆτος Ν 27 δ 443 etc. et Lacedaemonis epitheton καιετάεσσα Β 581 δ 1.

223 ἦσκε] ἔσκε mss.

224-226] versus e Λ desumtos om. mss. pleraque, addit Eust., in margine habet Genev.

226 εἴρυσαν] ἔϝρυσαν? cf. § 293.

ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
„αἰδὼς, Ἀργέιοι, κάκ' ἐλέγχεα, Ϝεῖδος ἀγητοί·
πῇ ἔβαν εὐχωλαὶ, ὅτε δὴ 'φάμεν ἔμμεν' ἄριστοι,
ἃς τότ' ἐνὶ Λήμνῳ κενεαυχέες ἠγοράεσθε,
ἔσθοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
πίνοντες κρητῆρας ἐπιστεφέας Ϝοίνοιο,
Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε Ϝέκαστος
στήσεσθ' ἐν πολέμῳ· νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν.
Ζεῦ πάτερ, ἦ ῥά τιν' ἤδη ὑπερμενέων βασιλήων
τῇδ' ἀάτῃ ἄασας καί μιν μέγα κῦδος ἀπέϜρας;
οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν
νηὶ πολυκλήιδι παρελθέμεν' ἐνθάδε Ϝέρρων·
ἀλλ' ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί' ἔκηα,
Ϝιέμενος Τροίην ἐυτειχέα ἐξαλαπάξαι.
ἀλλὰ, Ζεῦ, τόδε πέρ μοι ἐπικρήηνον ἐϜέλδωρ·
αὐτοὺς δή περ ἔασον ὑπεκφυγέμεν καὶ ἀλύξαι,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς."
ὣς 'φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
'νεῦσε δέ Ϝοι λαὸν σάον ἔμμεναι οὐδ' ἀπολέσθαι.

227 = Α 275, 586 Ρ 247 cf. Μ 439 Ν 149
228 = Ε 787
229-234 cf. Υ 83-85
231ᵇ = Σ 573 μ 348
232 cf. β 431
241ᵇ = Δ 129
242 cf. Α 455
243ᵇ = μ 216
244 = Ο 376
245 = Ρ 648
246 cf. Δ 117
246ᵇ cf. Ι 230

235 Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ. 235 cf. Ο 507 Χ 374

231 Ar. — || 235 Aristoph. Ar. —

227 *γεγωνώς*] cf. § 260.

229 *δὴ 'φάμεν*] *δὴ ἔφαμεν* per crasin (synizesin) pronunciari posse dicit Herodianus. Cf. § 130. || *ἔμμεν'* § 125] *εἶναι* mss.

230 **τότ' ἐνὶ* cf. *Ι* 19, 131 (273)] *ὁπότ' ἐν* mss., Bentley *ἅσσα ποτ' ἐν.* || *κενεαυχέες*] † (*αὐχέω* *iacto* apud poetam non obvium). || *ἠγοράεσθε* § 191] *ἠγοράασθε* mss., l. a. *εὐχετάασθε.*

231] e verbis Aristonici ad hunc locum et ad *Υ* 84, Athenaei p. 39*d*, Eustathii ad *Υ* 84 apparet, levi de causa Aristarchum hunc versum in suspicionem vocasse, nempe quod non inter edendum sed inter potandum fieri soleant promissa inania et gloriosa.

232] de vino Lemnio cf. *Η* 467. || *ἐπιστεφέας*] adi. nonnisi versu parall. redit; vid. ad *Δ* 470.

233 *ἄνθ'*] i. e. *ἄντα,* sic Demetrius Herodianus; cf. *Ρ* 29, 167. Ar. *ἀντ'(ί),* *se virtute parem* (*ἀντάξιον*)... *fore,* cf. vs. 163.

234 *δ'*] om. A.

235] futuri praescium Agamemnonem male fingi observavit Ar., addens poetam sine offeusione scribere potuisse v. c. *ᾧ δὴ κῦδος Ὀλύμπιος αὐτὸς ὀπάζει.* || *κηλέῳ*] cf. § 8.

236 *ἤδη*] cf. *Β* 699.

237 *ἀάτῃ*] *ἄτῃ* mss. || *ἄασας*] *ἆσας* mss. pleraque. || *ἀπέϜρας* § 150] *ἀπηύρας* mss.

240 *ἔκηα*] *ἔκαιον* Ambr., *ἔκη(ι)ον* mss. nonnulla.

241 *ἐυτειχέα* Nauck] *-χεον* mss.

243 *δή περ*] particulae insolito ordine collocatae. || *ἔασον*] Naber *νεῦσον* coll. vs. 246. || *ὑπεκφυγέμεν* § 126] *-γέειν* mss.

244] om. Ambr.

245 *ὀλοφύρατο*] *-ρετο* mss. complura.

246 *σάον* § 62] *σόον* mss. || *ἀπολέσθαι*] *ἀπολεῖσθαι* Ar. (cf. *ι* 496) non recte, melius Christ *ὀλέεσθαι,* sed aoristus bene habet. Cf. *Ι* 230.

αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν, 247 = Ω 315
νεβρὸν ἔχοντ' ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης·
πὰρ δὲ Διὸς βωμῷ περικαλλέι κάββαλε νεβρόν,
ἔνθα πανομφαίῳ Ζήν' ἐρρέζεσκον Ἀχαιοί.
οἳ δ' ὡς οὖν ἐϜίδονθ' ὅ τ' ἄρ' ἐκ Διὸς ἤλυθεν ὄρνις,
μᾶλλον ἐπὶ Τρώεσσ' ἔθορον, 'μνήσαντο δὲ χάρμης. 252 = Ξ 441 cf. Ο 380
ἔνθ' οὔ τις πρότερος Δαναῶν, πολλῶν περ ἐόντων,
ηὔξατο Τυδεΐδαο πάρος σχέμεν ὠκέας ἵππους
τάφρου τ' ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι,
ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν, 256ᵇ = Δ 457
Φραδμονίδην Ἀγέλαον. ὃ μὲν φύγαδ' ἔτραπεν ἵππους·
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε 258 sq. = Λ 447 [sq.
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 258ᵇ sq. = Ε 40 sq.
ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 260 = Ε 294
τὸν δὲ μετ' Ἀτρεΐδαι, Ἀγαμέμνων καὶ Μενέλαος·
τοῖσι δ' ἐπ' Αἴαντες θοῦριν ἐπιϜειμένοι ἀλκήν· 262-265 = Η 164 sqq.
τοῖσι δ' ἐπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδροφόντῃ·
τοῖσι δ' ἐπ' Εὐρύπυλος, Εὐαίμονος ἀγλαὸς υἱός·
Τεῦκρος δ' εἴνατος ἦλθε, παλίντονα τόξα τιταίνων,
'στῆ δ' ἄρ' ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο.
ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος· αὐτὰρ ὅ γ' ἥρως
παπτήνας, ἐπεὶ ἄρ τιν' οἰστεύσας ἐν ὁμίλῳ
βεβλήκοι, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὄλεσσε,
αὐτὰρ ὃ αὖτις ἰών, πάις ὣς ὑπὸ μητέρ', ἔδυσκε
εἰς Αἴανθ'· ὃ δέ μιν σάκε' ἐκρύψασκε φαεινῷ.

---

247 *τελειότατον*] *certissima omina praebentem.* Nonnisi versu parall. redit epitheton, positivus (= *integer*) legitur Α 66 Ω 34 h. Merc. 526, forma correpta *τέλεον* h. Merc. 129 (cf. *τελήεις* Α 315 etc.).

249 *κάββαλε*] l. a. *θήκατο*.

250 *πανομφαίῳ*] nonnisi h. Merc. 473 redit; cf. υ 100. || *Ζήν' ἐρρέζεσκον*] *Ζηνὶ ῥέζ.* mss.

251 *ἐϜίδονθ'*] *ἤσθονθ'* (i. e. *ᾔσθονθ'*) Genev. — Olim videtur fuisse *ἐϜίδοντο ὅ τ' ἐκ.*

252 *Τρώεσσ' ἔθορον*] *-σσι θ.* mss.

254 *πάρος*] hoc uno loco gen. adsciscit.

255 *ἐξελάσαι*] infinitivus finalis a *σχέμεναι* suspensus.

260 *ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ*] l. a. *ὑπερώησαν δέ οἱ ἵπποι* (ut vs. 314).

264 *ἀνδροφόντῃ* § 28] *ἀνδρ(ε)ιφόντῃ* mss.

266 *εἴνατος*] vid. ad Β 295.

267 *δ' ἄρ' ὑπ'*] *δὲ παρ'* A (non recte).

270 *βεβλήκοι*] sic Ar., *-κει* mss. multa; cf. § 159. || *ὃ*] sc. Troianus vulneratus.

271 *ὃ*] **ὅς?* alii *ὅ γ'*, vid. § 15. || *πάις ὣς*] de syllaba *-ις* ante *ὣς* non producta cf. § 101. || *μητέρ', ἔδυσκε*] *-ρα, δύσκε* mss.

272 *σάκε' ἐκρύψασκε*] *σάκεϊ κρύπτασκε* mss.; de vitioso termino *-πτασκε* vid. § 146, aoristum autem requiri docet versus praecedens.

ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων; 273ᵃ = *E* 703
᾿Ορσίλοχον μὲν πρῶτα καὶ Ὄρμενον ἠδ᾿ ᾿Οφελέστην
Δαίτορά τε Χρομίον τε καὶ ἀντίθεον Λυκοφόντην
καὶ Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον.
τὸν δὲ ϝιδὼν ᾿γήθησε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 278 cf. *Δ* 255
τόξου ἄπο κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας· 279ᵇ = *T* 152
᾿στῆ δὲ παρ᾿ αὐτὸν ἰὼν καί μιν πρὸς μῦθον ἔϝειπε· 280 cf. *H* 46
„Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
βάλλ᾿ οὕτως, αἴ κέν τι φάος Δαναοῖσι γένηαι 282ᵇ = *Δ* 797 cf. *Π* 39
πατρί τε σῷ Τελαμῶνι, ὅ σ᾿ ἔτρεφε τυτθὸν ἐόντα, 283ᵇ = λ 67 cf. *X* 480 α 435 ψ 325
καί σε νόθον περ ἐόντα ᾿κομίσσατο ϝῷ ἐνὶ ϝοίκῳ·
τὸν καὶ τηλόθ᾿ ἐόντα ἐυκλεΐης ἐπίβησον.
σοὶ δ᾿ ἐγὼ ἐκϝερέω, ὡς καὶ τετελεσμένον ἔσται· 286 cf. *Δ* 212
αἴ κεν ἐμοὶ δώῃ Ζεύς τ᾿ αἰγίοχος καὶ Ἀθήνη
ϝιλίου ἐξαλαπάξαι ἐὺ κτίμενον πτολίεθρον, 288 = *Δ* 33
πρώτῳ τοι μετ᾿ ἐμὲ πρεσβήιον ἐν χερὶ θήσω,
ἢ τρίποδ᾿ ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφι 290ᵇ cf. *Δ* 699
ἠὲ γυναῖχ᾿, ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.“
τὸν δ᾿ ἀπαμειβόμενος προσεφώνεε Τεῦκρος ἀμύμων·
„Ἀτρεΐδη κύδιστε, τί με σπεύδοντα καὶ αὐτὸν
ὀτρύνεις; οὐ μέν τοι, ὅση δύναμίς γε πάρεστι,
παύομαι, ἀλλ᾿ ἐξ οὗ προτὶ ϝίλιον ὠσάμεθ᾿ αὐτούς,
ἐκ τοῦ δὴ τόξοισι δεδεγμένος ἄνδρας ἐναίρω.
ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀιστούς,

277 *πάντας ἐπασσυτέρους ᾿πέλασε χθονὶ πολυβοτείρῃ.* 277 = *M* 194 *Π* 418
284 Zen. om., Aristoph. Ar. —

276 *Ἀμοπάονα*] *ἅμ᾿ ὀπάονα* olim quidam, vid. ad *Δ* 99.
277] om. mss. multa. || *πολυβοτείρῃ* § 21] *πουλ.* mss.
279 *ἄπο*] cf. *Ω* 605.
282 *φάος* § 71] *φόος* G, *φόως* mss. cetera.
283 *ὅ σ᾿*] *ὅς* non recte mss. complura.
284] Ar. observabat Teucri genus neque tempestive neque urbane hic commemorari, e versibus autem *M* 371 *O* 439 apparere poetam pro Aiacis fratre germano eum habuisse. At *νοθείας* nullum apud Homerum est opprobrium.
285 *ἐπίβησον*] vid. ad ψ 13.
287 *ἐμοὶ* Nauck] *μοι* mss.
288 *ϝιλίου*] *ϝίλιον* Bekker; cf. vs. parall.
289 *πρεσβήιον*] †, vid. ad *Δ* 59.
290 *ἵππους*] *ἵππω* Zen. Aristoph. Townl.
295 *παύομαι*] l. a. *-σομαι*. || *αὐτούς*] pronominis usus novicius, vid. § 97; Hoogvliet *ὠσάμεθ᾿ ἄνδρας,* | ... *αἰὲν ἐναίρω.* Sed cento potius male consutus haec pars Iliadis videtur quam carmen magno poeta dignum.
296 *δεδεγμένος*] sic Ar., alii *-χμένος*.
297 *τανυγλώχινας*] †. Significantur sagittae quarum cuspis *uncis* (*tribus*) *extensis* est munita; cf. *γλωχίν* *Ω* 274, *τριγλώχιν* *E* 393 *Δ* 507, *χαλκογλώχιν* *X* 225, et ad *Δ* 151.

πάντες δ' ἐν χρό' ἔπηχθεν ἀρηιθόων αἰζηῶν· 298 cf. *O* 315
τοῦτον δ' οὐ δύναμαι βαλέμεν κύνα λυσσητῆρα."
ἦ ῥα, καὶ ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλε 300^{b} sq. = 309 sq.
Ἕκτορος ἄντικρυς, βαλέμεν δέ Ϝε 'Ϝίετο θυμός.
καὶ τοῦ μέν ῥ' ἀφάμαρθ', ὃ δ' ἀμύμονα Γοργυθίωνα, 302^{a} cf. 119
υἱὸν ἐὺν Πριάμοιο, κατὰ στῆθος 'βάλεν ἰῷ· 303^{b} = *N* 586 cf. *Λ* 108 *N* 186 *O* 420
τόν ῥ' ἐξ Αἰσύμηθεν ὀπυιομένη 'τέκε μήτηρ,
καλὴ Καστιάνειρα, δέμας ϜεϜικυῖα θεῇσι.
μήκων δ' ὣς ἑτέρωσε κάρη 'βάλεν, ἥ τ' ἐνὶ κήπῳ, 306^{a} cf. *Ψ* 697^{b}
καρπῷ βριθομένη νοτίῃσί τε Ϝεαρινῇσι·
ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι βαρυνθέν.
Τεῦκρος δ' ἄλλον ὀιστὸν ἀπὸ νευρῆφιν ἴαλλε 309^{a} = *O* 458
Ἕκτορος ἄντικρυς, βαλέμεν δέ Ϝε 'Ϝίετο θυμός. 309^{b} sq. = 300 sq.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτε· παρέσφηλεν γὰρ Ἀπόλλων· 311^{a} cf. *N* 518
ἀλλ' Ἀρχεπτόλεμον, θρασὺν Ἕκτορος ἡνιοχῆα,
Ϝιέμενον πόλεμόνδε 'βάλε στῆθος παρὰ μαζόν· 313^{b}-317 = 121 sqq.
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Ϝοι ἵπποι
ὠκύποδες· τοῦ δ' αὖθι 'λύθη ψυχή τε μένος τε.
Ἕκτορα δ' αἰνὸν ἄχος 'πύκασε φρένας ἡνιόχοιο.
τὸν μὲν ἔπειτ' εἴασε, καὶ ἀχνύμενός περ ἑταίρου,
Κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγγὺς ἐόντα
ἵππων ἡνί' ἑλεῖν· ὃ δ' ἄρ' οὐκ ἀπίθησεν ἀκούσας. 319^{b} = *o* 98
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ 'θόρε παμφανάοντος 320 = *Ψ* 509

---

298 *χρό' ἔπηχθεν*] *χροΐ πῆχθεν* mss. — Aor. *ἐπήχθην* † (et Eur. Cycl. 302); Naber *ἧφθεν*, sed sic genitivum potius addendum fuisse observat vHerwerden.

299 *βαλέμεν* § 126] *βαλέειν* mss. || *λυσσητῆρα*] † (cf. *λυσσώδης* *N* 53, *λύσσα* *I* 239, 305 *Φ* 542), l. a. *λωβητῆρα*.

301 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss. || *βαλέμεν* § 126] *βαλέειν* mss.

302 *ὃ δ'*] vid. ad *Λ* 191.

304 *Αἰσύμηθεν* mss.] *-μνηθεν* Zen. Aristoph. Ar.

305] Athen. p. 632*f* sic exhibet corruptum: *Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα.*

306 *μήκων*] †. Minus accurate loquitur poeta; nam cum *gemma* papaveris, quae veluti languescens de caulo pendet, pulcherrime comparari potuit caput iuvenis, quem immatura mors aufert, in humerum delapsum; *flos* vero erectus stat nec non *capsa* semine turgens. Vergilius Aen. IX 436 ita secutus est Homerum ut molestam vocem *καρπῷ* non redderet: *lassove papavera collo | demisere caput, pluvia cum forte gravantur.* || *ἥ τ'*] aegre desideratur verbum (*ἐστί* vel *ἕστηκε*).

307 *νοτίῃσι*] fem. substantivi (*humoris*) loco usurpatum †, neutrum (*humidum mare*) δ 785 ϑ 55, adi. *νότιος* *Λ* 811 *Ψ* 315. || *Ϝεαρινῇσι* § 21] *εἰαρ.* mss.

310 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss. || *βαλέμεν* § 126] *βαλέειν* mss.

311 *καὶ τόθ'*] *τοῦ μὲν* l. a. apud Didymum. || *παρέσφηλεν*] comp. †.

313 *Ϝιέμενον*] *νισσόμενον* D male.

320 *παμφανάοντος* § 191] *-νόωντος* mss.

σμερδαλέα ϝιϝάχων· ὃ δὲ χερμάδιον ᾿λάβε χειρί, — 321 = E 302
᾿βῆ δ᾿ ἰθὺς Τεύκρου, βαλέμεν δέ ϝε θυμὸς ἄνωγε.
ἤ τοι ὃ μὲν φαρέτρης ἒξ εἵλετο πικρὸν ὀιστόν,
᾿θῆκε δ᾿ ἐπὶ νευρῇ· τὸν δ᾿ αὖ κόρυθ᾿ αἰόλος Ἕκτωρ
ἀϝϝερύοντα παρ᾿ ὦμον, ὅθι κληὶς ἀποϝέργει
αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι, — 326ᵇ = 84
τῇ ῥ᾿ ἐπὶ ϝοὶ μεμαῶτα ᾿βάλεν λίθῳ ὀκριόεντι, — 327ᵃ cf. X 326
᾿ρῆξε δέ ϝοι νευρήν· ᾿νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ. — 328ᵇ cf. E 458
᾿στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ ϝοι ἔκπεσε χειρός. — 329ᵃ = Λ 355, 329ᵇ = O 465
Αἴας δ᾿ οὐκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
ἀλλὰ θέων περίβη καί ϝοι σάκος ἀμφεκάλυψε. — 331-334 = N 420 sqq.
τὸν μὲν ἔπειθ᾿ ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς Ἐχίοιο πάις καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς ᾿φερέτην βαρέα στενάχοντα.
ἂψ δ᾿ αὖτις Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσε·
οἳ δ᾿ ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς·
Ἕκτωρ δ᾿ ἐν πρώτοισι ᾿κίε σθένεϊ βλεμεαίνων. — 337ᵇ = Y 36 cf. I 237 M 42 P 22, 135
ὡς δ᾿ ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος
ἅπτηται κατόπισθε, ποσὶν ταχέεσσι διώκων, — 339ᵇ = X 230 cf. X 8, 173
ἰσχία τε γλουτούς τε, ϝελισσόμενόν τε δοκεύῃ,
ὣς Ἕκτωρ ὤπαζε κάρη κομάοντας Ἀχαιούς,
αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δ᾿ ἐφέβοντο. — 342 = Λ 178
αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν — 343 = O 1
φεύγοντες, πολλοὶ δὲ ᾿δάμεν Τρώων ὑπὸ χερσί, — 344 sq. cf. O 2 sq.
οἳ μὲν δὴ παρὰ νηυσὶν ἐρητύοντο μένοντες, — 345ᵇ-347 = O 367 sqq.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ᾿ ηὐχετάοντο ϝέκαστος·

---

321 ὃ δὲ] vid. ad Λ 191.
322 βαλέμεν § 126] βαλέειν mss. || ἄνωγε(ν) Genev. Eust.] ἀνῶγεν D, ἀνώγει mss. cetera; cf. § 225.
323 φαρέτρης] notetur correptio Attica (§ 25); φάρτρης tentavit Schulze coll. φέρτρῳ Σ 236.
325 ἀϝϝερύοντα] αὐερύοντα vel αὖ ἐρύοντα mss.; cf. § 40.
326 καίριον] vid. Δ 185, et cum toto versu cf. X 325.
328 νευρήν] *arcus nervum*; cf. O 469. Brachii νευρήν (vid. Π 316) sine iusta causa mavult Leaf. || νάρκησε] †. || χείρ] χεῖρ᾿ mss. pauca.
337 δ᾿ ἐν] δὲ Ar., cf. Ξ 202, 303 Π 775 Σ 568, 579 ζ 8 π 106.
339 διώκων] πεποιθὼς mss. multa.
340 ἐλισσόμενον] sic Ar., -νος mss. pauca. || δοκεύῃ Thiersch] -ει mss.; cf. B 148.
341 κομάοντας § 191] -μόωντας mss.
342 ὀπίστατον] superl. nonnisi loco parall. redit.
347 μεγάλ᾿] μέγα δ᾿ Nicanor, vulgata defenditur in schol. coll. Γ 80. || ηὐχετάοντο § 191] εὐχετόωντο mss.

Ἕκτωρ δ' ἀμφιπεριστρόφαεν καλλίτριχας ἵππους,
Γοργόος ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος. [431
τοὺς δὲ Ϝιδοῦσ' ἐλέησε θεὰ λευκώλενος Ἥρη, 350ª cf. O 12 Π
αἶψα δ' Ἀθηναίην Ϝέπεα πτερόεντα προσηύδα· 351 = Τ 341 cf. Δ 69
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶι 352 cf. Β 157 Θ 427
ὀλλυμένων Δαναῶν κεκαδησόμεθ' ὑστάτιόν περ;
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται 354 = 34
ἀνδρὸς ἑνὸς ῥιπῇ· ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς 355ᵇ cf. ι 350
Ἕκτωρ Πριαμίδης, καὶ δὴ κακὰ πολλὰ ϜέϜοργε." 356ᵇ = Ε 175
τὴν δ' αὖτε προσέϜειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε, 358ª cf. α 46 λ 181 ο 155 π 37
χερσὶν ὕπ' Ἀργεΐων φθίμενος ἐν πατρίδι γαίῃ· 359ª = Ν 763 Ω 168
ἀλλὰ πατὴρ ἡμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι,
σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς·
οὐδέ τι τῶν μέμνηται, ὅ Ϝοι μάλα πολλάκις υἱὸν
τειρόμενον 'σαόεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων. 363ᵇ = Τ 133
ἤ τοι ὃ μὲν 'κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς
τῷ ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλε.
εἰ γὰρ ἐγὼ τάδ' ἐϜείδε' ἐνὶ φρεσὶ πευκαλίμῃσι, 366ᵇ cf. Ξ 165
εὖτέ μιν εἰς ἈϜίδαο πυλάρταο προέπεμψε 367 cf. λ 277
ἄξοντ' ἐξ ἐρέβεσφι κύνα στυγεροῖ' ἈϜίδαο,
οὔ κεν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.
νῦν δ' ἐμὲ μὲν στυγέει, Θέτιδος δ' ἐξήνυσε βουλάς,

371 sq. Zen. om., Ar. —

348 *ἀμφιπεριστρόφαεν* § 191 et 248] *-στρώφα* mss. — Comp. †.

349 *Γοργόος* § 77] *Γοργοῦς* Ar. mss., *Γοργόνος* Zen. || *ὄμματ'* Zen. mss.] Ar. *οἴματ'*. Zenodoti lectionem coll. *Η* 211 sq. *Ο* 607 sq. defendit vHerwerden (vid. etiam *Δ* 36 *Λ* 225), *οἶμα* vocem vel *οἴματα* nonnisi de animalibus rapacibus dici observans (vid. *Π* 752 *Φ* 252). || *ἠὲ* Zen.] *ἠδὲ* mss. (omnia?).

353 *Δαναῶν*] l. a. *Ἀργείων* (? Bekker *Ἀργεΐων Δαναῶν* quosdam legisse suspicatur coll. *ϑ* 578). || *κεκαδησόμεθ'*] cf. § 213.

360 **ἡμὸς*] *οὑμὸς* mss., cf. § 9. || *μαίνεται*] Naber *μάρναται* (coll. *Λ* 257) et infra vs. 413 *δαίεται*.

361 *ἀπερωεύς*] † (cf. *ἀπερωέω* *Π* 723). Vid. ad *Ν* 57.

363 *σαόεσκον* Nauck] *σώεσκον* mss.

366 *τάδ' ἐϜείδε'*] *τάδε ᾔδε'* mss.; cf. § 160. || *πευκαλίμῃσι*] adi. nonnisi *Ξ* 165 *Ο* 81 *Υ* 35 redit, alias *πυκιναί* dicuntur *φρένες*.

367] vid. ad *Ε* 397. || *προέπεμψε*] *προύπεμψε* mss.

368] del. Nitzsch; Cerberi (Hes. Theog. 311) alias apud Hom. mentio fit nulla. || **ἄξοντ' ἐξ ἐρέβεσφι*] *ἐξ ἐρέβευς ἄξοντα* mss.; Menrad coniecerat *ἐξάξοντ' ἐρέβεσφι*. Emendationem necessariam (cf. § 71) commendat *Ι* 572; vid. etiam h. Cer. 350 et Hes. Theog. 669. || *στυγεροῖ'* § 59] *-ροῦ* mss.

369 *οὔ κεν* § 326] *οὐκ ἂν* mss. || *αἰπὰ*] *αἰνὰ* Nauck, item *Φ* 9; sed praecipitem aquae cursum etiam part. *κατειβόμενος* *Ο* 37 = *ε* 185 indicat.

ἤ Ϝοι γούνατ' ἔκυσσε καὶ ἔλλαβε χειρὶ γενείου,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
ἔσται μὰν ὅτε μ' αὖτε φίλην γλαυκώπιδα Ϝείπῃ.
ἀλλὰ σὺ μὲν νῦν νῶιν ἐπέντυε μώνυχας ἵππους,
ὄφρα κ' ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο
τεύχεσιν εἰς πόλεμον θωρήξομαι, ὄφρα Ϝίδωμαι
ἤ νῶι Πριάμοιο πάις, κόρυθ' αἰόλος Ἕκτωρ,
γηθήσει προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
ἤ τις καὶ Τρώων κορέει κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη.
ἣ μὲν ἐποιχομένη χρυσάμπυκας ἤντυεν ἵππους
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο·
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
πέπλον μὲν κατέχευε Ϝεανὸν πατρὸς ἐπ' οὐδῷ,
ποικίλον, ὅν ῥ' αὐτὴ 'ποιήσατο καὶ 'κάμε χερσί,
ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο
τεύχεσιν εἰς πόλεμον 'θωρήσσετο δακρυόεντα.
εἰς δ' ὄχεα φλόγεα πόσ' ἐβήσετο, 'λάζετο δ' ἔγχος
βριθὺ μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμόπατρα.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους·
αὐτόμαται δὲ πύλαι 'μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
τῇσ' ἐπιτετράφαται μέγας οὐρανὸς Οὔλυμπός τε,
ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι.

372 = Ο 77
376 cf. Ε 737
378b = Θ 553 Λ 160 Υ 427 cf. Δ 371
379 cf. Ν 831 Ρ 241
380 = Ν 832
381 = Ε 767 cf. Ε 719
382 sq. = Ε 720 sq.
384-388 = Ε 733 sqq.
389-396 = Ε 745 sqq.

385—387 Zen. om., Aristoph. Ar. — || 390 sq. Ar. —

371] cf. Α 500.
373 *ἔσται μὰν ὅτε μ'] ἔσται μὰν ὅταν mss. pleraque, ἔσσεται ἦμαρ ὅτ'(αν) G Mor. Barocc. (ut Δ 164); cf. § 326. Fortasse praestat ὅτε κ'; nam omitti potuit pronomen, vid. Soph. Ai. 726 sq., Eur. Hipp. 587 sqq., Arist. Av. 58 Thesmoph. 392, Herodot. V 70 etc.
376 Ϝίδωμαι] l. a. -μεν.
377 νῶι] νῶιν Zen. D H pervulgato errore.
378 προφανέντε Ar. A Mosc.] προφανεῖσα(ς) mss. pleraque, προφανείσας ἰδὼν ἐς δοῦπον ἀκόντων Zen. vitio metrico. Cf. vs. 455. Fortasse verum est προφανέντε Ϝιδὼν εἰς δοῦπον ἀκόντων (cf. Λ 364 = Υ 451 et Π 361), certe γηθεῖν τινα προφανέντα alias non dicitur, unum subsimile est τίς ἂν τάδε γηθήσειε Ι 77, ubi vid.; cf. etiam Ν 352 et ad Ε 682. || πτολέμοιο γεφύρας] cf. Δ 371.
382 ἤντυεν] ἔντυεν mss.
385 *οὐδῷ] οὔδει mss.; cf. Ε 734.
389 φλόγεα] vid. ad locum parall. || πόσ' ἐβήσετο] ποσὶ βήσ. mss. || 'λάζετο] λάζυτο Ptolemaeus Oroandae, ut h. Merc. 316 et apud Euripidem legitur.
390 δάμνησι] δάμνῃσι A D, vid. ad Ε 746.
391 ὀβριμόπατρα Hoogvliet] -πάτρη mss.; vid. ad Ε 747.
394 ἐπιτετράφαται Athen. 134f] -πται mss.

τῇ ῥα δι᾽ αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ Ϝίδε, ᾿χώσατ᾽ ἄρ᾽ αἰνῶς, [sq.
Ϝῖριν δ᾽ ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν· 398 sq.[a] = Λ 185
„βάσκ᾽ ἴθι, Ϝῖρι ταχεῖα, πάλιν τρέπε μηδ᾽ ἔα᾽ ἄντην 399[a] = Ο 158 Ω 144 cf. Β 8
ἔρχεσθ᾽· οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.
ὧδε γὰρ ἐκϜερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 401 = Λ 212
γυιώσω μέν σφωιν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους, 402 sq. cf. 416 sq
αὐτὰς δ᾽ ἐκ δίφρου βαλέω κατά θ᾽ ἅρματα Ϝάξω. 403[b] cf. Ψ 341
οὐδέ κεν εἰς δεκάτους περιτελλομένους ἐνιαυτοὺς 404 sq. = 418 sq cf. Β 551
ἕλκε᾽ ἀπαλθήσοντ᾽, αἴ κεν μάρπτῃσι κεραυνός·
ὄφρα Ϝίδῃ γλαυκῶπις, ὅτε Ϝῷ πατρὶ μάχηται. 406-408 cf. 420 sqq.
Ἥρῃ δ᾽ οὔ τι τόσον νεμεσίζομαι οὐδὲ χολοῦμαι·
αἰεὶ γάρ μ᾽ εἴωθεν ἐνισσέμεν᾽ ὅττι κε Ϝείπω.“
ὣς ἔφατ᾽, ὦρτο δὲ Ϝῖρις ἀελλόπος ἀγγελέουσα, 409 = Ω 77, 159
᾿βῆ δ᾽ ἐξ Ἰδαίων ὀρέων εἰς μακρὸν Ὄλυμπον. 410 = Ο 79
πρώτῃσιν δὲ πύλῃσι πολύπτυχος Οὐλύμποιο 410[a] cf. Λ 196 Ο 169, 237 Π 677
ἀντομένη κατέρυκε, Διὸς δέ σφ᾽ ἔννεπε μῦθον·
„πῇ μέματον; τί σφῶιν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
οὐκ ἐάει Κρονίδης ἐπαμυνέμεν᾽ Ἀργεΐοισι.
ὧδε γὰρ ἠπείλησε Κρόνου πάις, ᾗ τελέει περ,

396 *κεντρηνεκέας*] vid. ad locum parall.

398 *Ϝῖριν*] *Ϝίριδα*? vid. § 66. ‖ *χρυσόπτερον*] Iridis epitheton nonnisi versu parall. et h. Cer. 315 redit, neque alias coelitibus *alae* apud Homerum tribuuntur (cf. *E* 778 h. Ap. 114 ε 44 sqq. etc.).

399 *ἔα᾽* § 191] *ἔα* mss.

400 *οὐ … καλὰ*] cf. *Z* 326 et ad *Δ* 155. ‖ *συνοισόμεθα*] verbum redit *Λ* 736, adi. verb. *N* 237.

401 *τὸ δὲ*] *ὡς* mss. pauca.

402 *γυιώσω*] redit vs. par., cf. *ἀπογ.* *Z* 265.

404] male abundat *κεν*, nihil autem est *δεκάτους* pro *δέκα*. Vs. 404 sq. et 417 sq. damnat vHerwerden; at talia ne interpolatori quidem tute imputes. Fortasse fuit olim *οὐ δεκάκις δεκάτου περιτελλομένου ἐνιαυτοῦ* (vid. Kaibel Epigr. 324[7]) vel eiusmodi aliquid.

405 **ἀπαλθήσοντ᾽, αἴ κεν*] *ἀπαλθήσονται, ἅ κεν* Ar. in altera ed., *ἀπαλθήσεσθον* (*-σκον* Genev., *-σθαι* Z) *ἅ κεν* mss. Dualis debetur errori (cf. § 52), nam subi. est *ἕλκεα* (vid. *E* 417); nihil autem est *ἕλκεα μάρπτειν* (conferunt *E* 795). Vertatur: *non facile sanabuntur earum vulnera, si fulmine percussae fuerint.* — De verbo *ἀπάλθομαι* vid. ad *E* 417.

406 *ὄφρα Ϝίδῃ* Bentley] *ὄφρ᾽ εἰδῇ* mss.; emendationem tuetur Trypho Rh. Graec. VIII 757 (III 204 Spengel). ‖ **ὅτε*] *ὅτ᾽ ἂν* mss.; cf. § 326. Versu par. ferendum est *ἄν*.

408 **μ᾽ εἴωθεν*] *μοι ἔωθεν*. Cf. § 13. ‖ *ἐνισσέμεν* Nauck] *ἐνικλᾶν* mss., quod verbum nonnisi versu parall. redit (cf. *διακλ.* *E* 216), *ἀντιλέγειν* autem ab Aristophane reddebatur, *ἐμποδίζειν* ab aliis; si servaretur, *infringere* potius esset vertendum recepta l. a. *ὅττι νοήσω* (cf. vs. 8). ‖ *κε Ϝείπω*] *κεν εἴπω* Ar., *νοήσω* mss. pleraque.

410 *δ᾽ ἐξ* Ar.] *δὲ κατ᾽* mss. pleraque. ‖ *εἰς*] *ἐπὶ* Ar.

411 *πολύπτυχος* Naber] *πολυπτύχου* mss. Item *Γ* 5 *Φ* 449 *X* 171 Hes. Theog. 1010.

413 *μαίνεται*] vid. ad vs. 360.

414 *ἐάει* § 191] *ἐάᾳ* mss.

415 *ᾗ* Ar.] *εἰ* mss. (e vetusta litteratura ortus error notabilis).

γυιώσειν μὲν σφῶιν ὑφ' ἅρμασιν ὠκέας ἵππους, 416 sq. cf. 402 sq.
αὐτὰς δ' ἐκ δίφρου βαλέειν κατά ϑ' ἅρματα ϝάξειν.
οὐδέ κεν εἰς δεκάτους περιτελλομένους ἐνιαυτοὺς 418 sq. = 404 sq.
ἕλκε' ἀπαλϑήσοντ', αἴ κεν μάρπτῃσι κεραυνός."
ἣ μὲν ἄρ' ὣς ϝειποῦσ' ἀπέβη πόδας ὠκέα ϝῖρις, 425 = Λ 210 Σ 202 Ω 188
αὐτὰρ Ἀϑηναίην Ἥρη πρὸς μῦϑον ἔϝειπε· 426 sq. cf. B 156 sq.
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, οὐκέτ' ἐγώ γε 427 cf. 352
νῶ' ἐάω Διὸς ἄντα βροτῶν ἕνεκα πτολεμίζειν.
τῶν ἄλλος μὲν ἀποφϑίσϑω, ἄλλος δὲ βιώτω,
ὅς κε τύχῃ· κεῖνος δὲ ἑϝὰ φρονέων ἐνὶ ϑυμῷ
Τρωσί τε καὶ Δαναοῖσι δικαζέτω, ὡς ἐπιϝεικές."
ὣς ἄρα φωνήσασα πάλιν 'τράπε μώνυχας ἵππους. 432 cf. 157
τῇσιν δ' Ὧραι μὲν 'λῦσαν καλλίτριχας ἵππους·
καὶ τοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσι, 434 cf. δ 40
ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανάοντα· 435 = δ 42
αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι καϑῖζον 435b = N 261 χ 121
μίγδ' ἄλλοισι ϑεοῖσι, φίλον τετιημέναι ἦτορ. 436b = Λ 623 ϱ 90
Ζεὺς δὲ πατὴρ Ἴδηϑεν ἐύτροχον ἅρμα καὶ ἵππους
Οὔλυμπόνδ' ἐδίωκε, ϑεῶν δ' ἐξίκετο ϑώκους.
τῷ δὲ καὶ ἵππους μὲν 'λῦσε κλυτὸς ἐνοσίγαιος,
ἅρματα δ' ἂμ βωμοῖσ' ἐτίϑει κατὰ λῖτα πετάσσας·

---

420 ὄφρα ϝίδῃς, γλαυκῶπι, ὅτ' ἂν σῷ πατρὶ μάχηαι. 420-422 cf. 406 sqq.
Ἥρῃ δ' οὔ τι τόσον νεμεσίζεται οὐδὲ χολοῦται·
αἰεὶ γάρ ϝ' εἴωϑεν ἐνισσέμεν' ὅττι κε ϝείπῃ.
ἀλλὰ σύ γ' αἰνοτάτη, κύον ἀδϝεὲς, εἰ ἐτεόν γε
τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.

420—424 Ar. —

416-422] vid. ad locum parall.
422 *ϝ' εἴωϑεν] ϝοι ἔωϑεν mss.
423 σύ γ'] sc. ἐσσί. Genev. σύ, l. a. σοι (sc. νεμεσίζεται). || κύον ἀδϝεὲς] redit locutio Φ 481 τ 91.
427 οὐκέτ' ἐγώ γε] ἀτρυτώνη Genev.
428 *νῶ' ἐάω] νῶ ἐῶ D, νῶι ἐῶ Ar., νῶιν ἐῶ mss. complura, quam Zenodoti quoque fuisse lectionem coll. locis similibus (e. g. vs. 377) intellegitur.
430 ἑϝὰ PKnight] τὰ ἃ mss. Item *M* 280 *O* 58 *P* 193 *Σ* 451 *Φ* 305 *X* 459 ι 250, 310, 343 λ 515 ξ 153 h. Ap. 444; vid. ad *Λ* 185.
432 'τράπε] τρέπε mss. multa.
433 τῇσιν δ'] τῇσι δέ ϑ' Christ metri causa.
434 κάπῃσι] nonnisi loco parall. redit.
435 ἔκλιναν] ἔγκλιναν Trypho Rhet. VIII 755 (III 203 Spengel). Vid. ad *Δ* 112. || ἐνώπια] vox nonnisi locis parall. redit; videtur significari μεγάρου paries externus in quo est ianua. || παμφανάοντα § 191] -νόωντα mss.
436 χρυσέοισιν] cf. § 18 et 61.
440 ἐνοσίγαιος G] ἐννοσίγαιος mss. cett. Cf. § 21.
441 ἂμ βωμοῖσ(ι) Ar.] ἀμβωμοῖσι Chrysippus mss., ἀμβώνεσσι Diogenes, quod pro ἀναβαϑμοῖς accipiebant. *Basim* vox βωμὸς etiam η 100 significat. De re vid. *Ω* 266 sqq. et ad *E* 722. || βωμοῖσ' ἐτίϑει] -σι τίϑ. mss. || λῖτα] cf. *B* 777 *E* 194.

αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύϜοπα Ζεὺς
ἕζετο, τῷ δ' ὑπὸ ποσσὶ μέγας 'πελεμίζετ' Ὄλυμπος.
αἱ δ' οἶαι Διὸς ἀμφὶς Ἀθηναίη τε καὶ Ἥρη
ἥσθην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο. 445ᵇ sq. = Δ 332 sq.
αὐτὰρ ὃ ἔγνω Ϝῇσιν ἐνὶ φρεσὶ, 'φώνησέν τε·
„τίφθ' οὕτω τετίησθον, Ἀθηναίη τε καὶ Ἥρη;
οὐ μέν θην 'κάμετόν γε] μάχῃ ἔνι κυδιανείρῃ
ὀλλῦσαι Τρῶας, τοῖσιν κότον αἰνὸν ἔθεσθε.
πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι,
οὔ κεν ἐμὲ τρέψειαν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ.
σφῶιν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα,
πρὶν πόλεμόν τε Ϝιδεῖν πολέμοιό τε μέρμερα Ϝέργα.
ὧδε γὰρ ἐκϜερέω, τὸ δέ κεν τετελεσμένον ἦεν· 454 cf. Δ 212
οὔ κεν ἐφ' ὑμετέρων ὀχέων, πληγέντε κεραυνῷ,
ἂψ ἐς Ὄλυμπον ἵκεσθε, ἵν' ἀθανάτων ἕδος ἐστί." 456 cf. Ε 360
ὣς ἔφαθ', αἱ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη· 457-462 = Δ 20 sqq.
πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσ' ἐμεδέσθην.
ἤ τοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι 'Ϝεῖπε,
σκυζομένη Διὶ πατρὶ, χόλος δέ μιν ἄγριος ᾕρει·
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϜειπες.
εὖ νυ καὶ ἧμες Ϝίδμεν ὅ τοι σθένος οὐκ ἀλαπαδνόν· 463 cf. 32 / 463ᵃ = Σ 197
ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων, 464 sq. = 33 sq.
οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται."

---

446 ὃ] *ὅς? alii ὅ γ', vid. § 15.

448 θην] Eust. (h. l. et ad μ 362) et Cram. Anecd. Paris. III 42 ridiculo errore praebent τον, quam particulam perhibent esse encliticam pro τοι „Argivae et Creticae dialectis propriam"; quae nugae fluxerunt e verbis male intellectis veterum grammaticorum dubitantium essetne (κάμε)τον an -την scribendum. || κάμετον Ar. mss.] καμέτην Zen. Cf. § 115.

449 τοῖσιν] τοῖον Ar.

450 sq.] post vs. 453 collocat Naber.

451 οὔ κεν § 326] οὐκ ἂν mss. || ἐμὲ Nauck] με mss. || τρέψειαν] στρέψειαν Naber.

452 σφῶιν] accusativum expectari (videatur ad σ 88), metrum autem ingratum esse, optimo iure observavit vHerwerden.

453 τε ἰδεῖν Eust.] τ' ἰδέειν mss.; alii praeferent Ϝιδέμεν coll. δ 475.

454 τὸ δέ κεν ... ἦεν] τὸ δὲ καὶ ... ἔσται mss. nonnulla, καί κεν ... ἔπλεν Townl. male, cf. § 275.

455 οὔ κεν § 326] οὐκ ἂν mss.

456 ἵκεσθε(-αι) Z Cant.] ἵκεσθον mss. cetera. Elmsley (ad Ar. Ach. 733) ἵκησθον, sed subiunctivo non est locus. Cf. § 115.

458] om. C[1] Lips. || Τρώεσσ' ἐμεδέσθην] -σσι μεδ. mss.

459 ἀκέων] quidni *ἀκέουσ'? vid. ad φ 89. || ἦν] ἔεν? vid § 302.

463 ἧμες § 92] ἡμεῖς mss. || ἀλαπαδνόν] ἐπίεικτον mss. multa. Cf. vs. 32.

τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἠοῦς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
ὄψεαι, αἴ κ' ἐθέλησθα, βοῶπις πότνια Ἥρη, — 471ᵃ = Δ 353
ὀλλύντ' Ἀργείων πολλὸν στρατὸν αἰχμητάων·
οὐ γὰρ πρὶν πολέμοι' ἀποπαύσεται ὄβριμος Ἕκτωρ,
πρὶν ὄρθαι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα — 474ᵇ = Π 281
ἤματι τῷ ὅτε χ' οἱ μὲν ἐπὶ πρύμνῃσι μάχωνται, — 475ᵃ cf. Χ 359
στείνε' ἒν αἰνοτάτῳ περὶ Πατρόκλοιο θανόντος.
ὣς γὰρ θέσφατόν ἐστι· σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω — 477ᵇ = Α 180
χωομένης, οὐδ' εἴ κε τὰ νείατα πείραθ' ἵκηαι
γαίης καὶ πόντοιο, ἵν' Ἰαπετός τε Κρόνος τε
ἥμενοι οὔτ' αὐγῇσ' Ὑπερίονος Ἠελίοιο — 480ᵇ = α 8 μ 263
τέρποντ' οὔτ' ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφί.
οὐδ' εἴ κ' ἔνθ' ἀφίκηαι ἀλωμένη, οὐ σέ' ἐγώ γε
σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο."
ὣς 'φάτο, τὸν δ' οὔ τι προσέφη λευκώλενος Ἥρη. — 484 cf. Α 511
ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, — 485ᵇ = Α 605 Ε 120
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν. — 486ᵇ = Υ 226 γ 3 η 332 μ 386 τ 593
Τρωσὶν μέν ῥ' ἀϝέκουσιν ἔδυ φάος, αὐτὰρ Ἀχαιοὺς
ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή. — 488ᵇ = Ι 474

Τρώων αὖτ' ἀγορὴν 'ποιήσατο φαίδιμος Ἕκτωρ,
νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,

466 ἀλλ' ἤ τοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις·
βουλὴν δ' Ἀργείοισ' ὑποθησόμεθ', ἥ τις ὀνήσει,
ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεεῖο.
475 sq. Ar. —

466 cf. 35
467 sq. = 36 sq.

466-468] mss. multa om.; G Barocc. vero praemittunt *ἀνδρὸς ἑνὸς ῥιπῇ· ὁ δὲ μαίνεται οὐκ(έτ') ἀνεκτῶς* (= vs. 355).
466 *εἰ*] *ὡς* Harl. (= vs. 35).
468 *τεεῖο* Heyne] *τεοῖο* mss.; cf. vs. 37.
470 *ἠοῦς*] *ἄας* (sic) Zen., quod Boeoticum pro *εἰς αὔριον* vocat Hesych. Redit *ἠοῦς* vs. 525, sed suspicionem movet genitivi forma (cf. § 77) et usus insolitus. Hic **ἠῶθεν* (*καὶ*) licet legere, sed vs. 525 fieri id nequit.
471 *αἴ κ'*] l. a. *ἢν* (cf. § 326).
472 *πολλὸν* § 83] *πο(υ)λὺν* mss.
473 *πολέμοι'* § 59] *-μου* mss.
474 *ὄρθαι*] *ὦρθαι* mss. complura male.
475 *ὅτε χ'* § 326] *ὅτ' ἂν* mss.
476 *στείνε'* § 71] *στείνει* mss. ‖ *θανόντος*] *πεσόντος* mss. nonnulla.
481 *βαθὺς*] *πολὺς* C G. ‖ *ἀμφί*] *ἀμφίς* mss. (*ἐστίν* Genev.); cf. § 316.
482 *εἴ κ'* § 326] *ἢν* mss. ‖ *σέ'* § 92] *σεῦ* mss.
487 **Ἀχαιοὺς*] *-οῖς* mss., forma novicia; cf. § 60. Accusativum habes δ 793 κ 31 ν 282 (*μιν* vel *ἐμὲ ... ἐπήλυθεν ὕπνος*). Dissimiles sunt versus Ι 474 h. Cer. 51.
488 *τρίλλιστος*] †, cf. *πολύλλιστον* ε 445 et *τρὶς μάκαρες* ε 306 etc.; de duplicata littera λ vid. § 27.
489 *Τρώων*] *Τρώων δ'* mss. complura.

ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος. — 491 = K 199
ἐξ ἵππων δ' ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον, — 491a cf. Ψ 61
τόν ῥ' Ἕκτωρ ἀγόρευε Διὶ φίλος· ἐν δ' ἄρα χειρὶ — 493b-495 = Z 318 sqq.
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ 'λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος 'θέε πόρκης,
τῷ ὅ γ' ἐρεισάμενος Ϝέπεα Τρώεσσι μετηύδα· — 496 cf. B 109
„κέκλυτέ μοι, Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι· — 497 = Γ 456
νῦν ἐφάμην νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς
ἂψ ἀπονοστήσειν προτὶ Ϝίλιον ἠνεμόεσσαν· — 499 = M 115
ἀλλὰ πρὶν κνέφας ἦλθε, τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργεΐους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης.
ἀλλ' ἦ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ — 502 = I 65 μ 291 cf. H 282
δόρπα τ' ἐφοπλισόμεσθα· ἀτὰρ καλλίτριχας ἵππους — 503a = I 66 cf. μ 292
λύσαθ' ὑπ' ἐξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν·
ἐκ πόλιος δ' ἄξεσθε βόας καὶ Ϝίφια μῆλα — 505-507 cf. 545 sqq.
καρπαλίμως, Ϝοῖνον δὲ μελίφρονα Ϝοινίζεσθε,
σῖτόν τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε,
ὥς κεν παννύχιοι μέσφ' ἠόος ἠριγενείης
καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ,
μή πως καὶ διὰ νύκτα κάρη κομάοντες Ἀχαιοὶ — 510a = K 101
φευγέμεν' ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης. — 511b = B 159
μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν ἕκηλοι, — 512a = O 476 X 304
ἀλλ' ὥς τις τούτων γε βέλος καὶ Ϝοίκοθι πέσσῃ,
βλήμενος ἢ ἰῷ ἢ' ἔγχεϊ ὀξυόεντι
νηὸς ἐπιθρῴσκων, ἵνα τις στυγέῃσι καὶ ἄλλος

493—496 Zen. —

491 *ἐν καθαρῷ*] locis parall. locutio redit; cf. *ἐν περιφαινομένῳ* ε 476.
494 *ἔχ' ἑνδεκάπηχυ*] cf. Z 319.
495 *χρύσεος* cf. § 18 et 61. || *πόρκης*] cf. Z 320.
496 *Τρώεσσι μετηύδα*] *πτερόεντ' ἀγόρευε* vel *πτερόεντα προσηύδα* mss. nonnulla.
497 **μοι*] *μευ* mss.; cf. Δ 37 et § 92.
499 *ἠνεμόεσσαν*] vid. § 21.
500 *πρὶν*] malumus **πάρος*.
501 *ἐπὶ ῥηγμῖνι θαλάσσης*] *ἐπεὶ Διὸς ἐτράπετο φρήν* Zen. (cf. K 45).
503 *ἐφοπλισόμεσθα*] sic Ar., *-πλίζεσθον* Zen. (noto errore pro *-πλίζεσθε*, vid. § 52).
505 *ἄξεσθε* schol. (Ar.)] *ἄξασθε* mss.; cf. § 152.
507 *τ'*] *δ'* D.
508 *μέσφ'*] †, sed vid. ad τ 223 ω 310 et § 318; in Genev. est *μέχρ'*. || *ἠόος* § 77] *ἠοῦς* mss.
510 *κομάοντες* § 191] *-μόωντες* mss.
511 *φευγέμεν'* § 125] *φεύγειν* mss.
512 *ἕκηλοι*] sine Ϝ. Bentley *ἐπιβῶσι Ϝέκηλοι*, at *-βήωσι* dicendum erat, neque subiunctivo hic locus.
513 *ὥς*] (*ita*) *ut*. || *τούτων*] *κείνων* Ar. (?) || *βέλος*] de vulnere etiam Ξ 439. || *πέσσῃ*] *πέσσοι* Aristoph. (Ar.?).
515 *ἐπιθρῴσκων*] l. a. *ἀποθρ.*

Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα. 516 = *Τ* 318
κήρυκες δ' ἀνὰ Ϝάστυ Διὶ φίλοι ἀγγελλόντων
παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας
λέξασθαι περὶ Ϝάστυ θεοδμήτων ἐπὶ πύργων·
520 *θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισι Ϝεκάστη*
πῦρ μέγα καιόντων· φυλακὴ δέ τις ἔμπεδος ἔστω,
μὴ λόχος εἰσέλθῃσι πόλιν λαῶν ἀπεόντων.
ὧδ' ἔστω, Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω·
524 *μῦθος δ', ὃς μὲν νῦν ὑγιής, ϜεϜρημένος ἔστω·*
526 *Ϝέλπομαι εὐχόμενος Διί τ' ἄλλοισίν τε θεοῖσι* 526ᵇ = *Ζ* 475 *δ* 472 *ϑ* 432
527 *ἐξελάειν ἐνθένδε κύνας κήρεσσι φορητούς.*
529 *ἀλλ' ἦ τοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,*
530 *πρῶι δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντες* 530 sq. = *Σ* 303 sq.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα· 530 = *Σ* 277 [*Μ* 77; 530ᵇ = *Λ* 49, 725
Ϝείσομαι ἤ κέ με Τυδεΐδης κρατερὸς Διομήδης 531 cf. *Ο* 603
πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται, ἤ κεν ἐγὼ τὸν
534 *χαλκῷ δῃώσας ἔναρα βροτόεντα φέρωμαι* 534ᵇ cf. *Χ* 245
538 *ἠελίοι' ἀνιόντος ἐς αὔριον· εἰ γὰρ ἐγὼν ὧς* 538ᵃ = *Χ* 135ᵇ

---

525 *τὸν δ' ἠοῦς Τρώεσσι μέθ' ἱπποδάμοισ' ἀγορεύσω.* 525ᵇ = *Η* 361
528 *οὓς κῆρες φορέουσι μελαινάων ἐπὶ νηῶν.*
535 *αὔριον ἣν ἀρετὴν διαϜείσεται, εἴ κ' ἐμὸν ἔγχος*
μείνῃ ἐπερχόμενον· ἀλλ' ἐν πρώτοισιν, ὀίω,
κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι. 537ᵇ = *Β* 417

524 sq. Ar. — || 528 Zen. om., Ar. — || 535—537 Zen. om., Ar. Ↄ

---

517 *Διὶ φίλοι*] cf. *Α* 334.
518 *πολιοκροτάφους*] † (et epigr. 12,3).
519 *περὶ*] *προτὶ* A (non recte). || *θεοδμήτων*] †.
524 *ὑγιής*] †; cf. § 73. || *ϜεϜρημένος* § 306] *εἰρημένος* mss.
525 *ἠοῦς*] forma novicia, cf. vs. 470.
526 *ἔλπομαι εὐχόμενος* Zen. L] *εὔχομαι ἐλπόμενος* Ar. mss. cetera, unde Hoffmann *εὔχομ' ἐϜελπόμενος*.
527 *ἐξελάειν* § 191] *-λάαν* mss.
528] cf. *Ι* 124 *α* 299 sq.; sed male ita redditur epitheton *κήρεσσι φορητούς*, quod poeta intellegi voluit *fato abreptos* (cf. *Β* 302, 834).
529 *νυκτὶ*] l. a. *νύκτα*.
532 *ἤ* § 327] *εἴ* vel *αἴ* mss. || *με* L] *μ' ὁ* mss. cetera.
534 *φέρωμαι*] l. a. *φεροίμην*.
535 sqq.] aut vs. 535-537 delendos esse aut vs. 538, 539, 541, duas enim recensiones hic esse coniunctas, vidit Ar.; versum autem 540 ex *Ν* 827 male repetitum, qui ab Ar. non commemorabatur, in eius editionibus ne lectum quidem fuisse statuit Pluygers.
535 *ἣν*] neglecto *Ϝ*. || *εἴ*] *αἴ* mss. nonnulla.
536 *ἐπερχόμενον*] *-νου* Nauck.
537 *οὐτηθείς*] cf. § 150.
538 *ἠελίοι'* § 59] *-ου* mss. || *αὔριον*] *οὐρανόν* Nauck. || *εἰ*] sic Ar., *αἲ* mss. multa. || *ὧς … ὡς* (vs. 541)] rei eventum certum haberi etiam *ο* 156 sq. sic indicatur; cf. *Ν* 825 *οὕτω … ὡς*, *Σ* 464 *ὧδε … ὡς*, *ι* 525 *ρ* 253 … *ὡς*.

539 εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα, — 539 cf. ε 136
541 ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι.“ — 541 = N 828
ὣς Ἕκτωρ ἀγόρευ᾽, ἐπὶ δὲ Τρῶες ᾽κελάδησαν. — 542 = Σ 310
οἳ δ᾽ ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγοῦ ἱδρώοντας, — 543 = δ 39
᾽δῆσαν δ᾽ ἱμάντεσσι παρ᾽ ἅρμασι Ϝοῖσι Ϝέκαστος· — 544^b = B 775
545 ἐκ πόλιος δ᾽ ἤξοντο βόας καὶ Ϝίφια μῆλα — 545-547 cf. 505 sqq.
καρπαλίμως, Ϝοῖνον δὲ μελίφρονα ᾽Ϝοινίζοντο
547 σῖτόν τ᾽ ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πόλλ᾽ ἐλέγοντο.
553 οἳ δὲ μέγα φρονέοντες ἀνὰ πτολέμοιο γεφύρας
ἥατο παννύχιοι, πυρὰ δέ σφισι ᾽καίετο πολλά.
555 ὡς δ᾽ ὅτ᾽ ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
556 φαίνετ᾽ ἀριπρεπέα, ὅτε τ᾽ ἔπλετο νήνεμος αἰθήρ,
559 πάντα δὲ Ϝείδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν· — 559^b cf. N 493
560 τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων
Τρώων καιόντων πύρ᾽ ἐφαίνετο Ϝιλιόθι πρό.

---

540 τιοίμην δ᾽ ὡς τίετ᾽ Ἀθηναίη καὶ Ἀπόλλων, — 540 = N 827
548 ᾽Ϝέρδον δ᾽ ἀθανάτοισι τεληέσσας ἑκατόμβας. — 548 cf. Α 315
κνίσην δ᾽ ἐκ πεδίοι᾽ ἄνεμοι ᾽φέρον οὐρανὸν εἴσω
Ϝηδεῖαν· τῆς δ᾽ οὔ τι θεοὶ μάκαρες ᾽δατέοντο,
οὐδ᾽ ἔθελον· μάλα γάρ σφιν ἀπήχθετο Ϝίλιος ἱρὴ — 551^b sq.^{a} = Ω 27 sq.
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίης Πριάμοιο. — 552 = Δ 47
557 ἔκ τ᾽ ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρῴονες ἄκροι — 557 sq. = Π 299 sq.
καὶ νάπαι· οὐρανόθεν δ᾽ ἄρ᾽ ὑπερράγη ἄσπετος αἰθήρ, — 557 cf. h.Ap. 22,144; 557^b cf. M 282
557 sq. Zen. om., Aristoph. Ar. —

---

539 εἴην] de optativo vid. ad Δ 314. || ἀγήραος] -ρως Ar. et mss. complura; cf. § 62.

540] vid. ad vs. 535 sqq.

543 ἔλυσαν] λῦσαν Ar. (Didym. ad δ 39) mss. || ἱδρώοντας] sine Ϝ.

545 ἤξοντο] ἄξοντο (Ar.) aut ἄξαντο mss.; cf. § 152.

547 πόλλ᾽ ἐλέγοντο] πολλὰ λέγοντο mss.

548-552] del. PKnight; versus 548 et 550-552 desunt in mss., leguntur autem apud Plat. Alcib. II 149*d*, sed huic loco non sunt apti, neque sine illis versus 549 potest servari, vocem enim κνίση nidorem *hostiarum* significare apparet e nomine οὐρανός adiecto.

549 πεδίοι᾽ § 59] πεδίου mss.

550 ᾽δατέοντο] leg. *᾽πατέοντο? vid. § 206.

552 *ἐυμμελίης] -λίω mss.; vid. Δ 47.

553 ἀνὰ schol. Ι 88] ἐπὶ mss. Cf. vs. 378. || πτολέμοιο γεφύρας] vid. ad Δ 371. || γεφύρας] -ρῃ mss. nonnulla.

554 ἥατο § 220] εἵατο mss.

555 φαεινὴν] absurde quidam olim φάει νῆν (= νέην, *luce novam*).

556 νήνεμος] †.

557 sq.] e libro Π hos versus male repetitos esse docet vox αἰθήρ bis deinceps posita; praeterea ὑπερράγη in hoc contextu sensu caret.

557 πρῴονες] nonnisi locis parall. redit nominis forma pluralis, cuius sonus ῳ suspectus est. Wackernagel πρήονες. Singularis Ρ 747 legitur.

558 νάπαι ... ὑπερράγη] nonnisi loco parall. redeunt.

559 δὲ Ar. G] δέ τ᾽ mss. cetera.

560 τόσσα Ar. mss.] l. a. ὡς τὰ et τοῖα.

561 πύρ᾽ ἐφαίνετο] πυρὰ φ. mss.

χίλι' ἄρ' ἐν πεδίῳ πύρ' ἐκαίετο, πὰρ δὲ ϝεκάστῳ
ἥατο πεντήκοντα πυρὸς σέλα' αἰθομένοιο.
ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας 564b = *E* 196
ἑσταότες παρ' ὄχεσφιν ἐύθρονον 'Ηό' ἔμιμνον.

---

562 *χίλι'*] *μύρι'* Zen. || *πύρ' ἐκαίετο*] *πυρὰ κ.* mss.

563 *ἥατο* § 220] *εἵατο* mss. || *πυρὸς σέλα'* Roehl] *σέλα(ι) πυρὸς* mss., cf. § 71. Possis etiam tentare *πεντήκονθ' ἕατο σέλαϊ*, sed *πεντήκοντα* constanter fere ante caesuram collocatum invenitur (*B* 509, 556, 685 *ν* 49 *ω* 342, unus versus corruptus *ξ* 15 discrepat).

565 *'Ηό' ἔμιμνον*] *'Ηῶ μίμνον* mss. duplici vitio, cf. § 2 et 77.

ΙΛΙΑΔΟΣ Ι.

Πρεσβεία.

ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον· αὐτὰρ Ἀχαιοὺς
θεσπεσίη ἔχε φύζα, φόβου κρυόεντος ἑταίρη,
πένθεϊ δ' ἀτλήτῳ 'βεβολήατο πάντες ἄριστοι.
ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα,
Βόρρης καὶ Ζέφυρος, τώ τε Θρηίκηθεν ἄητον,
ἐλθόντ' ἐξαπίνης· ἄμυδις δέ τε κῦμα κελαινὸν
κορθύεται, πολλὸν δὲ παρ' ἐξ ἅλα φῦκος ἔχευε·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν. [808 Ξ 40 β 90
8 = Ο 629 cf. Ν
Ἀτρεΐδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ 9 cf. κ 247
'φοίταε κηρύκεσσι λιγυφθόγγοισι κελεύων 10 cf. Β 50
κλήδην εἰς ἀγορὴν κικλησκέμεν' ἄνδρα Ϝέκαστον
μηδὲ βοᾶν· αὐτὸς δὲ μετὰ πρώτοισ' ἐπονεῖτο.

---

3 *βεβολήατο* Ar. mss.] *βεβλήατο* Zen.; forma producta redit vs. 9 et *κ* 247; de *animi* affectibus adhibitam esse observavit Ar.

4 *ἄνεμοι*] *ἀνέμω* Aristoph.

5] Asiae oram incolebat qui hunc versum fecit. Vid. ad *Β* 535 *Ψ* 227. || *Βόρρης καὶ Ζέφυρος*] vid. ad *Β* 145. || *Βόρρης*] *Βορέης* mss., item *Ψ* 195; cf. § 22 et 58. Vetustissima nominis forma videtur fuisse *ΒόρϜης* (*Βόρjης* Curtius). || *Θρηίκηθεν*] cf. § 17 et de re ad *Ψ* 229 sq.

6 *ἄμυδις*] sic Ar., *ἅμυδις* quidam olim.

7 *κορθύεται*] †, a subst. *κόρθυς* *acervus* (Theocrit. X 46); cf. *κορύσσεται* *Δ* 424, *κορυφοῦται* *Δ* 426. Idem valet *κορθύνειν* Hesiod. Theog. 853. || *φῦκος*] †, cf. *φυκιόεις* *Ψ* 693. || *ἔχευε*] *ἔχευαν* mss. multa; utramque lectionem videtur novisse Ar., hanc legit Theocritus VII 58.

9 *βεβολημένος*] *βεβλημένος* G Z; vid. ad vs. 3.

10 *'φοίταε* § 191] *φοίτα* mss

11 *κλήδην*] †, cf. (*ἐξ*)*ονομακλήδην* *Χ* 415 *δ* 278 *μ* 250. || *κικλησκέμεν'* § 125] *-σκειν* mss.

12 *πρώτοισ' ἐπονεῖτο*] *-τοισι πον.* mss.

ἶζον δ' ἐν ἀγορῇ τετιηότες· ἂν δ' Ἀγαμέμνων
ἵστατο δάκρυ χέων ὥς τε κρήνη μελάνυδρος, 14ᵇ sq. = Π 3 sq.
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ·
ὣς ὃ βαρὺ στενάχων Ϝέπε' Ἀργεΐοισι μετηύδα·
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες, 17 = B 79
Ζεύς με μέγας Κρονίδης ἀάτῃ ἐνέδησε βαρείῃ, 18-22 = B 111 sqq.
σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε
Ϝίλιον ἐκπέρσαντ' ἐυτειχέα ἀπονέεσθαι,
νῦν δὲ κακὴν ἀπάτην 'βουλεύσατο, καί με κελεύει
δυσκλεέ' Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσα λαόν.
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες· 26-28 = B 139 sqq.
φεύγωμεν σὺν νηυσὶ φίλην εἰς πατρίδα γαῖαν,
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν."
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. 29 = Γ 95
δϜὴν δ' ἄνεῳ ἦσαν τετιηότες υἷες Ἀχαιῶν· 30 sq. = 695 sq.
ὀψὲ δὲ δὴ μετέϜειπε βοὴν ἀγαθὸς Διομήδης· 31 = H 399
„Ἀτρεΐδη, σοὶ πρῶτα μαχέσσομαι ἀφραδέοντι,
ἣ θέμις ἐστί, Ϝάναξ, ἀγορῇ· σὺ δὲ μή τι χόλωσαι.
ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας ἐν Δαναοῖσι,
φὰς ἔμεν' ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα
Ϝίσσασ' Ἀργεΐων ἠμὲν νέοι ἠδὲ γέροντες. 36 cf. 258; 36ᵇ = B 789

23 οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι, 23-25 = B 116 sqq
ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα
ἠδ' ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον.

15 sq. Zen. om. || 23—30 Zen. om., vs. 23—25 Aristoph. Ar. —

13 ἐν § 315] εἰν mss.
14 ὥς τε κρήνη μελάνυδρος] Zen. <δὲ LaRoche> μετ' Ἀργείοισιν ἔειπε.
15 αἰγίλιπος] ignotae originis epitheton redit N 63 Π 4 h. XVIII 4, nomen autem proprium est B 633.
16 ὃ βαρὺ στενάχων] l. a. ὅ γε δάκρυ χέων.
18 μέγας Ar.] μέγα mss. pleraque; cf. B 111. || ἀάτῃ] ἄτῃ mss.
19 πρὶν] τότε Ar. et mss. nonnulla; cf. versus parall. et ad Θ 230.
20 ἐυτειχέα Nauck] -χεον mss. || ἀπονέεσθαι] fut., vid. § 292 et ad K 39 sq.; de syllaba ᾱ- cf. § 21.
22 δυσκλεέ' § 73] δυσκλέα mss.
26 ὥς κεν § 326] ὡς ἂν mss.
31] Zen., qui vs. 23-30 omittebat, pro hoc versu habebat: ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο (ἐκαθέζετο? cf. Δ 68) θυμὸν ἀχεύων, | τοῖσι δ' ἀνιστάμενος μετέφη κρατερὸς Διομήδης. Praecedentes autem versus e B 139 sqq. male repetitos esse censebat (teste Aristonico in scholio quod ad vs. 23 legitur sed ad vs. 26 sqq. pertinet).
32 μαχέσσομαι § 291] μαχήσομαι Ar. mss.
33 *χόλωσαι] χολωθῇς mss. (male pro -θήῃς, cf. § 122). Legitur μή cum 2ᵃ pers. imperat. aor. Δ 410 etc.
34] cf. Δ 370 sqq.
36 Ϝίσσασ' § 160] ἴσασ' mss. || ἠμὲν νέοι ἠδὲ γέροντες Ar. mss.] Zen. ἡγήτορες ἠδὲ μέδοντες.

σοὶ δὲ διάνδιχ᾽ ἔδωκε Κρόνου πάις ἀγκυλόμητις·
σκήπτρῳ μέν τοι ἔδωκε τετιμῆσθαι περὶ πάντων,
ἀλκὴν δ᾽ οὔ τοι ἔδωκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. 39b = *Ν* 484 cf. *Β* 118
δαιμόνι᾽, οὕτω που μάλα ϝέλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ᾽ ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις;
εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ἀπονέεσθαι,
ἔρχεο· πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης
ἑστᾶσ᾽, αἵ τοι ἕποντο Μυκήνηθεν μάλα πολλαί.
ἀλλ᾽ ἄλλοι μενέουσι κάρη κομάοντες Ἀχαιοί,
εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοί,
φευγόντων σὺν νηυσὶ φίλην εἰς πατρίδα γαῖαν· 47 cf. *Β* 140
νῶι δ᾽, ἐγὼ Σθένελός τε, μαχεσσόμεθ᾽, εἰς ὅ κε τέκμωρ 48 sq. cf. *Η* 30 sq.
Ϝιλίου εὕρωμεν· σὺν γὰρ θεῷ εἰλήλυθμεν."
ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα πάντες ἐϜίϜαχον υἷες Ἀχαιῶν, 50 sq. = *Η* 403 sq.
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
τοῖσι δ᾽ ἀνιστάμενος μετεφώνεεν ἱππότα Νέστωρ·
„Τυδεΐδη, περὶ μὲν πολέμῳ ἔνι καρτερός ἐσσι,
καὶ βουλῇ κατὰ πάντας ὁμήλικας ἔπλε᾽ ἄριστος·
οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί,
οὐδὲ πάλιν ϝερέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων.
ἦ μὲν καὶ νέος ἐσσί, ἐμὸς δέ κε καὶ πάις εἴης
ὁπλότατος γενεῆφιν· ἀτὰρ πεπνυμένα βάζεις. 58b cf. *δ* 206
ἀλλ᾽ ἄγ᾽ ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐκϜείπω καὶ πάντα διίξομαι· οὐδέ κέ τίς μοι
μῦθον ἀτιμάσσῃ, οὐδὲ κρείων Ἀγαμέμνων.

59 *Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔϜειπες.* 59b cf. *Α* 286
44 Ar. —

37 *διάνδιχ᾽ ἔδωκε*] *-χα δῶκε* mss. pleraque. || *ἀγκυλόμητις* Nauck] *-τεω* (*-ταο* Genev.) mss.
38 *ἔδωκε*] *δῶκε* mss.
39 *ἔδωκεν*] *δῶκεν* mss.
42 *ἀπονέεσθαι* Lehrs] *ὥς τε νέεσθαι* mss. Particulae *ὥστε* infinitivus finalis apud Homerum non iungitur. Redit vitium *ρ* 21, quem versum Lehrs Arist.[2] p. 158 spurium censet, et h. Ap. 530. De syllaba *ἀ-* cf. § 21.
43 *ἄγχι θαλάσσης*] l. a. *ἀμφιέλισσαι.*
45 *κομάοντες* § 191] *-μόωντες* mss.
46 *εἰ δὲ*] **εἶα*? vid. vs. 262 et § 328.
48 *μαχεσσόμεθ᾽* § 291] *-ησόμεθ᾽* mss.
49 *εἰλήλυθμεν* Naber] *-λουθμεν* mss.; cf. § 160.
50 *ἐϜίϜαχον* Bentley] *ἐπίαχον* mss.
54 *κατὰ* Nauck] *μετὰ* mss. Vid. ad *Β* 143. || *ἔπλε᾽* § 117] *ἔπλευ* mss.
56 *πάλιν*] cf. *Δ* 357.
57 *ἦ μὲν καὶ*] cf. *Β* 291. || *μὲν* Ar.] *μὴν* mss.; cf. § 18.
58 *ὁπλότατος*] *-τερος* mss. nonnulla.
59] ineptum versum notavit Heyne (etiam vs. 57 sq. del. PKnight); duplicem accusativum non tuetur *Π* 207.
62 *ἀτιμάσσῃ*] *-μήσει* mss.; Nauck correxit

ἀλλ' ἤ τοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ 65 sq.[a] = Θ 502 sq.
δόρπα τ' ἐφοπλισόμεσθα· φυλακτῆρες δὲ ϝέκαστοι
λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός. 67[b] = Υ 49
κούροισιν μὲν ταῦτ' ἐπιτέλλομαι· αὐτὰρ ἔπειτα, 68[a] = ϑ 40
Ἀτρεΐδη, σὺ μὲν ἄρχε· σὺ γὰρ βασιλεύτατός ἐσσι.
δαίνυ δαῖτα γέρουσι· ϝέϝοικέ τοι, οὔ τοι ἀϝεικές.
πλεῖαί τοι ϝοίνου κλισίαι, τὸν νῆες Ἀχαιῶν 71[a] cf. Β 226
ἠμάτιαι Θρηίκηθεν ἐπ' εὐρέα πόντον ἄγουσι·
πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέσιν δὲ ϝανάσσεις.
πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην
βουλὴν βουλεύσῃ· μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς
ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήιοι ἐγγύθι νηῶν
καίουσιν πυρὰ πολλά· τίς ἂν τάδε γηθήσειε;
νὺξ δ' ἥδ' ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο. 79 = Η 379
ἐκ δὲ φυλακτῆρες σὺν τεύχεσιν ἐσσεύοντο
ἀμφί τε Νεστορίδην Θρασυμήδεα, ποιμένα λαῶν,
ἠδ' ἀμφ' Ἀσκάλαφον καὶ Ἰάλμενον, υἷας Ἄρηος, 82 sq. cf. Ν 478; 82 cf. Β 512
ἀμφί τε Μηριόνην Ἀφαρῆά τε Δηίπυρόν τε
ἠδ' ἀμφὶ Κρείοντος υἱόν, Λυκομήδεα δῖον.
ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ϝεκάστῳ
κοῦροι ἅμ' ἔστειχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες·
κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες·

63 ἀφρήτωρ ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος
ὃς πολέμοι' ἔραται ἐπιδημίοο κρυόεντος.

-ασσ-. De termino -ῃ vid. § 122; Bentley ἀτιμήσει' (cf. § 113), sed praestat subi.

63 sq.] gnomicos hos versus postea insertos esse intellexit Friedlaender. Citantur ab Aristophane Pac. 1097 sq.

63 ἀφρήτωρ] †; vid. ad *Β* 362 sq. || ἀνέστιος] † (ἱστίη et ἐφέστιος saepius); ἀνήμερος Philodem. de ira 144 (male). || ἐκεῖνος] pro κεῖνος (cf. § 97) recentis est originis indicium.

64 πολέμοι' § 59] -μου mss. || ἐπιδημίοο κρυόεντος PKnight] ἐπιδημίου ὀκρυόεντος mss. Redit error *Ζ* 344; vid. § 59 et *Ι* 2.

66 φυλακτῆρες] -ρας Ar. male, cf. § 232. Quem in errorem duxisse videtur *Θ* 519.

66-68] hi versus et vs. 80-88 videntur postmodo inserti esse ut liber *Κ* subiungi posset.

70 δαίνυ] δαίνυθι vHerwerden.

72] cf. *Η* 467. || Θρηίκηθεν] cf. § 17.

73 ὑποδεξίη] † (ὑποδέχομαι saepius). || πολέσιν δὲ Heyne] πολέσιν γὰρ Ar., πολέεσσι δ' mss.

75 χρεὼ] forma novicia, vid. § 8; PKnight χρή, nos *χρηὼ Παναχαιούς, cf. vs. 301.

76 ὅτι Ar. mss.] alii olim ὅτε.

77 ἂν] novicium pro κεν, vid. § 326. || τάδε] vid. ad *Θ* 378.

84 υἱὸν] cf. § 17.

85 sq. ἕπτ' — ἔστειχον] imitatur Verg. Aen. IX 160 sq.

85 φυλάκων] -κῶν? vid. § 63.

86 ἅμ' ἔστειχον] ἅμα στεῖχον Ar.

ἔνθα δὲ πῦρ 'κήαντο, 'τίθεντο δὲ δόρπα Ϝέκαστοι.
Ἀτρεΐδης δὲ γέροντας ἀϜολλέας ἦγεν Ἀχαιῶν
εἰς κλισίην, παρὰ δέ σφ' ἐτίθει μενοϜεικέα δαῖτα.
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἷντο,
τοῖσ' ὁ γέρων πάμπρωτος ὑφαινέμεν' ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη 'φαίνετο βουλή·
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„Ἀτρεΐδη κύδιστε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν
λαῶν ἐσσι Ϝάναξ, καί τοι Ζεὺς ἠγγυάλιξε
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα.
τῷ σε χρὴ περὶ μὲν φάσθαι Ϝέπος ἠδ' ἐπακοῦσαι,
κρηῆναι δὲ καὶ ἄλλῳ ὅ κέν τινα θυμὸς ἀνώγῃ
Ϝειπέμεν' εἰς ἀγαθόν· σέο δ' ἕξεται ὅττι κεν ἄρχῃ.
αὐτὰρ ἐγὼ Ϝερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα·
οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει,
οἷον ἐγὼ νοέω, ἠμὲν πάλαι ἠδ' ἔτι καὶ νῦν,
ἐξ ἔτι τοῖ' ὅτε, διογενὲς, Βρισηίδα κούρην
χωομένοι' Ἀχιλῆος ἔβης κλισίηθεν ἀποϜρὰς
οὔ τι καθ' ἡμέτερόν γε νόον. μάλα γάρ τοι ἐγώ γε

[Ω 627 sq. etc.
91 sq. = 221 sq.
91 = δ 218 ε 200 υ 256
92-95 = Η 323 sqq.
96 = Β 434
99 cf. Β 206
100b = ρ 584
102a cf. Λ 789b Ψ 305a
103 = 314 Ν 735 cf. Μ 215 ν 154 ψ 130

88 *'κήαντο* § 177] *κείαντο* mss. pleraque. || *δόρπα* Ar.] *δόρπον* mss. pleraque. || *ἕκαστοι* Lehrs] *ἕκαστος* mss. Pluralis requiritur propter *δόρπα* quod praecedit; neque vero *δόρπον* scribendum esse apparet e littera *Ϝ* in vulgata lectione neglecta. Nihil autem est *δόρπα (Ϝ)έκαστος*, et veri dissimile videtur sic scripsisse Aristarchum. Vid. vs. 66 et ad *H* 100. — Pro *δόρπα ἕκαστος(-οι)* Zen. habebat *δαῖτα θαλεῖαν*, de maestis et anxiis minus apte.

89 *ἀϜολλέας*] *ἀριστέας* aut *-τῆας* Ar. (?); illud a dictione epica alienum est (cf. § 76), hoc a metro. Scribi poterat sic fere: **ἀριστῆας Παναχαιῶν | εἰς κλισίην ἄγε, πὰρ δ' ἐτ. μ. δ.*; cf. *B* 404.

90 *σφ' ἐτίθει*] *σφι τίθει* mss.

92 *εἷντο*] *ἕντο* mss.

93 *τοῖσ' ὁ*] *τοῖσι?* || *ὑφαινέμεν'* § 125] *-νειν* mss.

97 *ἐν — ἄρξομαι*] haec verba imitatur Verg. Ecl. VIII 11: *a te principium, tibi desinam.*

98 *ἠγγυάλιξε*] *ἐγγ.* mss.

99 *βουλεύῃσθα*] vid. ad *A* 158.

100 *ἐπακοῦσαι*] verbum hinc alienum non tuetur versus *ρ* 584; vHerwerden *ἐπανύσσαι* coll. *ε* 243 *π* 373 Hes. Scut. 311, Christ *ἠδὲ νοῆσαι* coll. Hes. Oper. 293, Naber *οὐδ' ἀπινύσσειν.*

101 *ὅ κέν* Fick] *ὅτ' ἄν* mss., i. e. *ὅ τ' ἄν*, non enim *cum* requiritur sed *quicquid.* Cf. § 326.

102 *Ϝειπέμεν'* § 125] *εἰπεῖν* mss. || *ἕξεται*] cf. *λ* 346.

103 *δοκεῖ*] suspectum pro *δοκέει*, cf. § 191; **δέατ'(αι)?* cf. *ζ* 242. Menrad *ὡς καὶ δοκέει μοι ἄριστον.* || *ἔμμεν'* § 125] *εἶναι* mss.

104 *ἄλλος*] *ἄλλον* mss. pauca.

106 *τοῖ'* § 59] *τοῦ* mss. || *διογενὲς*] *-νεῦς* mss. multa. Cf. § 73.

107 *χωομένοι'* § 59] *-νου* mss., *-νος* Bekker. || *ἀποϜρὰς* § 150] *ἀπούρας* mss.

πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Ϝείξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν,
ἠτίμασσας· ἑλὼν γὰρ ἔχεις γέρας. ἀλλ' ἔτι καὶ νῦν — 111 cf. *Α* 356
φραζώμεσθ', ὥς κέν μιν ἀρεσσάμενοι πεπίθωμεν
δώροισίν τ' ἀγανοῖσι Ϝέπεσσί τε μειλιχίοισι."
τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἀάτας κατέλεξας.
ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι. ἀντί νυ πολλῶν
λαῶν ἐστιν ἀνήρ, ὅν τε Ζεὺς κῆρι φιλήσῃ,
ὡς νῦν τοῦτον ἔτισε, 'δάμασσε δὲ λαὸν Ἀχαιῶν.
ἀλλ' ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας, — 119^{a} = *Τ* 137
ἂψ ἐθέλω Ϝ' ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα. — 120 cf. *Τ* 138
ὔμι δέ κ' ἐν πάντεσσι περικλυτὰ δῶρ' ὀνομήνω· — 121^{b} cf. *Σ* 449
ἕπτ' ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, — 122 sq. = 264 sq. 122^{b} = *δ* 129
αἴθωνας δὲ λέβητας ἐϜείκοσι, δώδεκα δ' ἵππους. — 123 = *Τ* 244
οὔ κεν ἀλήιος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο — 125 = 267
ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι. — 127-132 cf. 269 sq.
δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονα Ϝέργα Ϝιδυίας, — 128^{b} = *Τ* 245 *ω* 278 cf. *Ψ* 263

124 *πηγοὺς ἀθλοφόρους, οἳ ἀέθλια ποσσὶν ἄροντο.* — 124 = 266
126 *οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο,* — 126 = 268

109 *ἀπεμυθεόμην* Ar. mss.] l. a. *ἐπεμ.*; utrumque comp. †.
111 *ἠτίμασσας* Nauck] *-μησας* mss.
112 *πεπίθωμεν*] sic Ar., *πεπίθοιμεν* mss. multa.
115 *οὔ τι ψεῦδος*] cf. *Δ* 155. || *ἀάτας*] *ἄτας* mss. Cf. versus sequens.
118] del. PKnight. || *'δάμασσε*] *ὄλεσσε* A.
119] teste Athenaeo I 11*a* Dioscurides Isocratis discipulus subiungebat *ἢ οἴνῳ μεθύων ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί*; quae ex *Δ* 225 fluxerunt.
120 *Ϝ] adiecimus.
121 **ὔμι δέ κ'*] *ὑμῖν δ'* mss.; vid. vs. 262 et § 92 et 108.
122 *ἀπύρους*] adi. redit *Ι* 264 *Ψ* 267, 885. Non interpretandum esse *ornamento tantum* (non usui) *destinatos* (opp. *ἐμπυριβήτης* *Ψ* 702) sed *nondum igne adustos* (novos) docet *Ψ* 268.
124] del. PKnight. || *πηγοὺς*] equorum epitheton hic et loco parall.; *densus* fluctus ita dicitur *ε* 388 *ψ* 235. Cf. *πηγεσίμαλλος* *Γ* 197 et vid. ad *ε* 388. || *ἀθλοφόρους*] vid. ad *Η* 453.
125 sq.] cf. *Ε* 613.
125 *ἀλήιος*] †.
126] iure PKnight del. versum spurium, quo male divelluntur correlativa *τόσσα ... ὅσσα*. || *ἀκτήμων*] †.
128] iocatur de hoc loco Pherecrates fr. 149. || *ἀμύμονα*] *-νας* Ar. secundum Didymum ad hunc vs. et ad vs. 270; Aristonicus vero *-να* lectionem Aristarcheam esse dicit; item in schol. V Aristarcho tribuitur *-να*, Zenodoto autem *-νας*. Quapropter apud Didymum pro Aristarchi nomine ter *Aristophanem* esse legendum coniecit Cobet, Aristonicum errasse (ut *Β* 111) putant Lehrs Friedlaender Ludwich. Mala est lectio *ἀμύμονας*, cuiuscunque fuit, nam et metro repugnat et sententiae; nihil enim est *ἔργα ἰδυίας* nisi addatur adiectivum. Poeta, qui versum Hes. Theog. 264 fecit, *ἀμύμονα* legit. — Vid. ad *Ζ* 289. || *Ϝέργα Ϝιδυίας*] *ἔργ' εἰδυίας* mss

Λεσβίδας, ἃς, ὅτε Λέσβον ἐϋ κτιμένην ἕλεν αὐτὸς,
ἐξελόμην, αἳ κάλλε' ἐνίκων φῦλα γυναικῶν.
τὰς μέν ϝοι δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπέϝραν,
κούρη Βρισῆος· ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, 133 = 275 *T* 176
ἣ θέμις ἀνθρώπων πέλετ', ἀνδρῶν ἠδὲ γυναικῶν. 134 cf. 276 *T* 177
ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται· εἰ δέ κεν αὖτε 135 sq. = 277 sq.
ϝάστυ μέγα Πριάμοιο θεοὶ δώωσ' ἀλαπάξαι,
νῆα ϝάλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω, 137 cf. 279
εἰσελθὼν ὅτε κεν δατεώμεθα ληίδ' Ἀχαιοὶ, 138 = 280
Τρωιάδας δὲ γυναῖκας ἐϝείκοσιν αὐτὸς ἑλέσθω, 139 cf. 281
αἵ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσι. 140 sq. = 282 sq.
εἰ δέ κεν Ἄργος ἱκώμεθ' Ἀχαιικὸν, οὖθαρ ἀρούρης,
γαμβρός κέν μοι ἔῃ· τίσω δέ ϝε ϝῖσον Ὀρέστῃ, 142-144 cf. 284 sqq.
ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἔνι πολλῇ.
τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ ἐϋ πηκτῷ,
Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ϝιφιϝάνασσα· 145 = 287
τάων ἥν κ' ἐθέλῃσι φίλην ἀνέϝεδνον ἀγέσθω 146 sq. cf. 288
πρὸς ϝοῖκον Πηλῆος· ἐγὼ δ' ἐπὶ μείλια δώσω
πολλὰ μάλ', ὅσσ' οὔ πώ τις ἑϝῇ ἐπέδωκε θυγατρί. 148 = 290

---

130 *ἐξελόμην* Ar. mss.] *ἐξ ἑλόμην* Zen., septimam Briseidem esse ratus, cf. *T* 245. Similis est discrepantia *K* 561 *β* 106 sq. || *κάλλε'* § 71] *κάλλει* mss. || *φῦλα γυναικῶν*] *πᾶσαν ἐπ' αἶαν* D.

131 *ἀπέϝραν* § 150] *ἀπηύρων* mss.

132 *κούρη*] sic Ar., *κούρην* mss. complura. || *ἐπὶ δὲ* Ar.] *καὶ ἐπὶ* mss. || *ὀμοῦμαι*] cf. § 147.

133 *τῆς*] *ϝῆς* vHerwerden, item *T* 176 *β* 206; at vid. § 95. Probabiliter vero hac ratione mutatus est versus *Λ* 763.

134 *πέλετ'* § 275] *πέλει* mss.

137 *χαλκοῦ*] *-κόο*? cf. § 59.

138 *εἰσελθὼν*] sc. *in concilium principum.* Sic Bekker; alii post *εἰσελθὼν* virgulam ponunt, *νηησάσθω εἰσελθὼν in urbem captam* interpretati.

140] olim quidam addebant versum ieiunum *τὴν γὰρ ἀπ' αὖτις ἐγὼ δώσω ξανθῷ Μενελάῳ.*

141 *ἱκώμεθ'* Naber] *ἱκοίμεθ'* mss. || *οὖθαρ ἀρούρης*] audax locutio (*uber glaebae, agri* Verg. Aen. I 531 III 164 VII 262) redit loco parall. (et v. l. *B* 681) et h. Cer. 451; propria vi vox *οὖθαρ* utitur *ι* 440.

142 *ἔῃ* Eust.] *ἔοι* mss. || *ϝε* Heyne] *μιν* mss.; cf. vs. 155 et 284.

143 *τηλύγετος*] vid. ad *Γ* 175.

145 *Ϝιφιϝάνασσα*] quae apud posteros *Iphigenia* dicitur. Fabulam, qua Aulide immolata esse Iphigenia ferebatur, Homero ignotam fuisse et hinc et aliunde patet.

146 *ἀνέϝεδνον* Bentley] *ἀνάεδνον* mss. vitiose, vid. § 41[3] et ad *ε* 456.

147 *μείλια*] vox nonnisi loco parall. redit. Rex dicit: non solum filiam Achilli *ἀνέϝεδνον* cedere paratus sum, i. e. pretium pro filia non poscam (ut fieri solet), sed vel ultro (praeter morem) addam dona ad Achillis animum deleniendum (cf. vs. 158). Non recte Ar. ex hoc loco efficiebat aevo heroico parentes solitos fuisse filiabus suis nubentibus dona quaedam offerre, haec autem *ἐπιμείλια* (nam sic iungebat Ar., *ἐπὶ μ.* vero scribebant Alexio Apollodorus) dicta esse. Vid. ad *X* 51.

ἑπτὰ δέ ϝοι δώσω εὖ ναιόμενα πτολίεθρα, — 149 cf. 291
Καρδαμύλην Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν — 150-154 = 292 sqq.
Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον
καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν.
πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου ἠμαθόεντος· — 153ᵇ cf. Λ 712
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται,
οἵ κέ ϝε δωτίνῃσι θεὸν ὣς τιμήσωσι — 155-157 cf. 297 [sqq. 155 cf. ε 36
καί ϝοι ὑπὸ σκήπτρῳ λιπαρὰς τελέσωσι θέμιστας.
ταῦτά κέ ϝοι τελέσαιμι μεταλλήξαντι χόλοιο.
δμηθήτω — Ἀϝίδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος·
τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων —
καί μοι ὑποστήτω, ὅσσον βασιλεύτερός εἰμι
ἠδ' ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι."
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ· — 162 sq. = Κ 102 sq.
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, — 163 = Β 433
δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς Ἀχιλῆι ϝάνακτι·
ἀλλ' ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα
ἔλθωσ' εἰς κλισίην Πηληιάδα' Ἀχιλῆος.
εἶ' ἄγε, τοὺς μὲν ἐγώ γε ἐπόψομαι, οἳ δὲ πιθέσθων.
Φοῖνιξ μὲν πρώτιστα Διὶ φίλος ἡγησάσθω,
αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς·
κηρύκων δ' Ὀδίος τε καὶ Εὐρυβάτης ἅμ' ἑπέσθων.

149-156] hos versus post Heynium damnavit PKnight.

151 *βαθύλειμον*] hic et loco parall.

153 *νέαται*] *κέαται* Apollonius Harl. H², alii olim *νάεται*. Vulgatam tuebatur Ar., sed perperam pro *verbo* (= *ναίονται*!) habebat. Vert. *novissimae* (*ultimae, maxime remotae*) *a Pylo*. Cf. Λ 712. — Ceterum incommodum hoc loco est Pyli urbis nomen.

154 *πολύρρηνες*] cf. Β 106. || *πολυβοῦται*] hic et loco parall.

155 *τιμήσωσι* § 122] *-σουσι* mss. pleraque, *-σονται* Ar. Par. 2767.

156 *τελέσωσι* § 122] *τελέουσι* mss. — Manifeste vitiosum est futurum particulae *κε* iunctum, sed fortasse sufficit lenior correctio *οἵ τε* ... *τιμήσουσι* ... *τελέουσι*.

157 *μεταλλήξαντι*] comp. redit I 261, 299 h. Cer. 340.

158 *δμηθήτω*] *καμφθήτω* Zen. Aristoph. || *ἀδάμαστος*] †.

159] nonnulli olim addebant versum ab Ar. merito spretum *οὕνεκ' ἐπεὶ κε λάβῃσι πέλωρ* (immo *-σιν ἕλωρ*, correxit Nauck) *ἔχει οὐδ' ἀνίησιν*.

162 *γερήνιος*] cf. Β 336.

164 *διδοῖς*] sic Ar.

166 *Πηληιάδα'* § 55] *-δέω* mss.

167 *εἶ'* § 328] *εἰ δ'* mss.; an *εἶα δὲ*? || **μὲν*] *ἂν* mss., cf. § 326. Vulgatam defendit vHerwerden, verbum *-όψομαι* pro subiunctivo aoristi mixti accipiens (vid. § 152); nobiscum facit Gompertz. || *ἐγώ γε ἐπόψομαι* vHerwerden] *ἐγώ(ν)* (*ἐγὼ* Ar.) *ἐπιόψομαι* mss.; Naber dubitanter *ἐγὼ προϊάψομαι* (= *προβαλοῦμαι*). Redit vitium β 294.

168] vid. ad vs. 182.

170 *ἑπέσθων*] sic Ar., *-σθω* D.

φέρτε δὲ χερσὶν ὕδωρ εὐφημῆσαί τε κέλεσθε,
ὄφρα Διὶ Κρονίδῃ ἀρησόμεθ', αἴ κ' ἐλεήσῃ."
ὣς 'φάτο, τοῖσι δὲ πᾶσι ϝεϝαδότα μῦθον ἔϝειπε. 173 = σ 422
αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, 174 cf. α 146
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο, 174[b]-176 = γ 338 sqq. φ 270 sqq.
'νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσι. 175 = α 148 cf. Α 470
αὐτὰρ ἐπεὶ 'σπεῖσάν τε 'πίον θ' ὅσον ἤθελε θυμὸς, 176 = Α 471 cf. η 183
ὡρμῶντ' ἐκ κλισίης Ἀγαμέμνονος Ἀτρεΐδαο. 177 = γ 342, 395 η 184, 228 σ 427 cf. φ 273
τοῖσι δὲ πόλλ' ἐπέτελλε γερήνιος ἱππότα Νέστωρ,
δενδίλλων ἐς ἕκαστον, 'Οδυσσῆι δὲ μάλιστα,
πειρᾶν, ὡς πεπίθοιεν ἀμύμονα Πηλεΐωνα.

τὼ δ' ἐβάτην παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης, 182 cf. Α 34
πολλὰ μάλ' εὐχομένω γαιηόχῳ ἐνοσιγαίῳ
ῥηιδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο.
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην, 185 = Α 328
τὸν δ' ηὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ,
καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν· 187 cf. Σ 390, 612
τὴν ἄρετ' ἐξ ἐνάρων, πόλιν 'Ηετίωνος ὀλέσσας·
τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέε' ἀνδρῶν. 189[b] cf. θ 73
Πάτροκλος δέ ϝοι οἶος ἐναντίος ἧστο σιωπῇ,
δέγμενος Αἰακίδην, ὁπότε λήξειεν ἀείδων.
τὼ δ' ἐβάτην προτέρω, ἡγεῖτο δὲ δῖος 'Οδυσσεὺς, 192[a] = Κ 469
'στὰν δὲ πάροιθ' αὐτοῖο. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς 193[b] = Λ 777 Ψ 101
αὐτῇ σὺν φόρμιγγι, λιπὼν ἕδος ἔνθ' ἐθάασσε· 194[b] cf. Ο 124
ὣς δ' αὔτως Πάτροκλος, ἐπεὶ 'ϝίδε φῶτας, ἀνέστη.
τὼ καὶ δεικνύμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 196[a] = δ 59

---

171 *εὐφημῆσαι*] †, *linguis favere* (cf. *ἐπευφημέω* Α 22, 376, *εὐφήμως* h. Ap. 171).

175 sq.] vid. ad Α 470 sq.

179 *γερήνιος*] cf. Β 336.

180] versus recens, vid. ad vs. 182. || *δενδίλλων*] †, *circumspectans*? || *ἕκαστον*] neglectum est ϝ.

182] dualis numerus in hoc versu saepiusque in sequentibus (vs. 183-198) adhibitus luculenter ostendit *duos* missos esse legatos, omnia igitur quae de Phoenice vel a Phoenice dicuntur postmodo esse inserta. Phoenicem autem in Achillis tabernaculo degisse neque legatum ad eum potuisse mitti fert ratio.

183 *ἐνοσιγαίῳ* G] *ἐνν.* mss. cett.; vid. § 21.

185 *ἱκέσθην*] *ἵκοντο* mss. nonnulla.

189 *κλέε' ἀνδρῶν*] redit locutio Ι 524 θ 73. || *κλέε'* § 71] *κλέα* mss.

191 *δέγμενος*] l. a. *δέχμενος*.

193 **πάροιθ'*] *πρόσθ'* mss.; correctionem commendat metrum, tuentur versus Α 360, 500 Γ 162 π 166 etc.

194 *ἔνθ' ἐθάασσε*] *ἔνθα θ.* mss.

196 *τώ*] l. a. *τούς*. || *δεικνύμενος*] *δεχνύμενος* PKnight.

„χαίρετον· ἦ φίλοι ἄνδρες ἱκάνετον· ἦ τι μάλα χρή,
οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον.“
ὣς ἄρα φωνήσας προτέρω σφ᾽ ἄγε δῖος Ἀχιλλεύς,
εἷσε δ᾽ ἐνὶ κλισμοῖσι τάπησί τε πορφυρέοισι,
αἶψα δὲ Πάτροκλον προσεφώνεεν ἐγγὺς ἐόντα· 201 cf. Α 346
„μείζονα δὴ κρητῆρα, Μενοιτίου υἱέ, καθίστα,
ζωρότερον δὲ κέραιε, δέπας δ᾽ ἔντυνε Ϝεκάστῳ·
οἳ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.“
ὣς ᾿φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ᾽ ἑταίρῳ. 205 = Α 345
αὐτὰρ ὅ γε κρέιον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ,
ἐν δ᾽ ἄρα νῶτον ἔθηκ᾽ ὄιος καὶ πίονος αἰγός,
ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ.
τῷ δ᾽ ἔχεν Αὐτομέδων, τάμνεν δ᾽ ἄρα δῖος Ἀχιλλεύς.
καὶ τὰ μὲν εὖ ᾿μίστυλλε καὶ ἀμφ᾽ ὀβελοῖσιν ἔπειρε, 210 cf. Α 465
πῦρ δὲ Μενοιτιάδης ᾿δαῖεν μέγα, Ϝισόθεος φώς.
αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη,
ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθ᾽ ἐτάνυσσε,
᾿πάσσε δ᾽ ἁλὸς θείοιο, κρατευτάων ἀπαείρας.

---

197 *ἦ — χρή*] Parmeniscus *ἡμέτερόνδε* (fortasse ut Aristarcheam lectionem proferens). || *χρή* PKnight] *χρεώ* mss. (cf. § 8). — Vert. *gravis profecto necessitas vos huc deduxit.*

198 *περ Ἀχαιῶν*] *παρ᾽ Ἀχαιῶν* L, *Παναχαιῶν* Genev. male. || *φίλτατοι*] sic Ar., *-τω* mss. nonnulla. Verum videtur *φίλω ἄνδρε … ὤ … φιλτάτω.*

199 *σφ᾽*] addidimus.

200 *εἷσε δ᾽ ἐνὶ* Fick] *εἷσεν δ᾽ ἐν* mss. metro ingrato. Cf. vs. 193; vitium redit ζ 8 ξ 49.

202 *καθίστα*] *-στη*? vid. § 195.

448 ἡμάς § 95] ἀμάς vel ἁμάς mss.; l. a. χεῖρας ἐμεῖο.
449 *ἠ μεθέωμεν] ἠὲ μεθῶμεν mss., cf. § 122. L. a. (ab Ar. reiecta?) -μαι ἠὲ μεθῶμαι (sic G).

ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἠὲ διοπτεύσων ἠ' ἀντίβιον πολεμίξων·
εἰ δέ κ' ἐμῇσ' ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς,
οὐκέτ' ἔπειτα σὺ πῆμά ποτ' ἔσσεαι Ἀργείοισι.“
ἦ, καὶ ὃ μέν μιν ἔμελλε γενείου χειρὶ παχείῃ
ἁψάμενος λίσσεσθαι, ὃ δ' αὐχένα μέσσον ἔλασσε
φασγάνῳ ἀίξας, ἀπὸ δ' ἄμφω 'κέρσε τένοντε·
φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.
τοῦ δ' ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο
καὶ λυκέην καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν·
καὶ τά γ' Ἀθηναίῃ ληίτιδι δῖος Ὀδυσσεὺς
ὑψόσ' ἀνέσχεθε χειρὶ καὶ εὐχόμενος ϝέπος ηὔδα·
„χαῖρε, θεά, τοισίνδε· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ
πάντων ἀθανάτων ἐπιβωσόμεθ'· ἀλλὰ καὶ αὖτις
πέμψον ἐπὶ Θρηίκων ἀνδρῶν ἵππους τε καὶ εὐνάς.“
ὣς ἄρ' ἐφώνησεν, καὶ ἀπὸ ϝέθεν ὑψόσ' ἀείρας
'θῆκεν ἀνὰ μυρίκην· δέελον δ' ἐπὶ σῆμά τ' ἔθηκε,
συμμάρψας δόνακας μυρίκης τ' ἐριθηλέας ὄζους,
μὴ λάθοι αὖτις ἰόντε θοὴν διὰ νύκτα μέλαιναν.
τὼ δ' ἐβάτην προτέρω διά τ' ἔντεα καὶ μέλαν αἷμα,
αἶψα δ' ἐπὶ Θρηίκων ἀνδρῶν τέλος ἷξον ἰόντες.

451b cf. O 179 Y 85 Φ 477
[328b
455b cf. Ξ 497a χ
456a = E 81
456b = Ξ 466
457 = χ 329
465b cf. Y 325
467 cf. h. Merc. 81
468b = 394
469a = I 192
469b = 298

---

451 *διοπτεύσων*] †, cf. *διοπτήρ* K 562. || *ἀντίβιον* Eust.] *ἐναντίβιον* mss. cett. Cf. § 16.

452 *δαμεὶς*] *τυπεὶς* mss. pauca. || *ὀλέσσῃς*] *-σσαις* Ar.

453] caesura caret versus, cf. Γ 205, 220.

454] vid. ad A 500. || *γενείου*] *γενείοο*? cf. § 59.

457 *φθεγγομένου*] *-μένη* Par. 2767, quam lectionem Aristoteles Part. anim. III 10 argumentis philosophicis iisque non admodum firmis (cf. Verg. Georg. IV 523 sqq.) impugnavit, cum sufficeret unum ex arte grammatica petitum, ferri non posse adiectivum fem. ad *κάρη* pertinens. Nisi forte fuerint qui *φθεγγομένη δ' ἄρα τοῦ κεφαλὴ* aut *φθεγγόμενον δ' ἄρα τοῦ γε κάρη* legerent.

458 *κτιδέην*] vid. ad vs. 335.

459 *λυκέην*] †.

460 *ληίτιδι*] †.

462 *τοισίνδε*] *τοῖσδεσσι* mss. (item CIG. 2388[7]). Cf. § 97.

463 *ἐπιβωσόμεθ'*] *ἐπιδωσόμεθ'* Ar. et mss. nonnulla; quod Ar. interpretabatur *δώροις τιμήσομεν*, non recte, cf. X 254. Ribbeck coniecit *ἐπιβωσάμεθ'*. De syllaba *-βω-* Ionico more e *-βοη-* contracta vid. § 192.

464 *Θρηίκων*] cf. § 17. || *ἵππους*] l. a. *ἄγυριν*.

465 *ὑψόσ'*] sic et *ὑψοῦ* Ar.; cf. K 505 μ 249.

466 *μυρίκην*] sic Ar., alii olim *-κῃ* (cf. Θ 441). || *δέελον*] sic Ar. et mss.; contracta forma *δῆλον* legitur υ 333 (sic h. l. Cant.); simplex apud Hom. alias non obvium, sed comp. *ἐκδέελος* (mss. *-δηλος*) E 2, *ἐυδήελος* (mss. *-δείελος*) β 167 etc. — Propter particulam *τε* quae sequitur sunt qui cum Hesychio vocem *δέελον* pro substantivo aliunde ignoto (= *δεσμόν*) habeant; quod credibile non videtur. Bentley coniecit *δέ τε σῆμ' ἐπέθηκε*.

467 *συμμάρψας*] comp. †.

470 *Θρηίκων*] cf. § 17.

οἱ δ' ηὗδον καμάτῳ ϝεϝαδηκότες, ἔντεα δέ σφι
καλὰ παρ' αὐτοῖσι χθόν' ἐκέκλιτο, εὖ κατὰ κόσμον,
τριστοιχί· παρὰ δέ σφι ϝεκάστῳ δίζυγες ἵπποι. 　　473^{b} = Ε 195
Ῥῆσος δ' ἐν μέσῳ ηὗδε, παρ' αὐτῷ δ' ὠκέες ἵπποι
ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσ' ἐδέδεντο.
τὸν δ' Ὀδυσεὺς προπάροιθε ϝιδὼν Διομήδε' ἔδειξε·
„οὗτός τοι, Διόμηδες, ἀνήρ, οὗτοι δέ τοι ἵπποι,
οὓς νῶιν ἐπίφαυσκε Δόλων, ὃν ἐπέφνομεν ἧμες.
ἀλλ' ἄγε δή, πρόφερε κρατερὸν μένος· οὐδέ τί σε χρὴ
ἑστάμεναι μέλεον σὺν τεύχεσιν, ἀλλὰ λύ' ἵππους· 　　480^{b} cf. δ 35
ἠὲ σύ γ' ἄνδρας ἔναιρε, μελήσουσιν δ' ἐμοὶ ἵπποι.“ 　　481^{b} = Ε 228
ὣς 'φάτο, τῷ δ' ἔμπνευσε μένος γλαυκῶπις Ἀθήνη· 　　482 cf. ω 520
'κτεῖνε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀϝεικὴς 　　483sq. cf. Φ 20 sq.
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα. 　　483 cf. χ 308 ω 184
ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών,
αἴγεσσ' ἢ ὀίεσσι, κακὰ φρονέων ἐνορούσῃ, 　　486^{b} cf. Π 783
ὣς μὲν Θρήικας ἄνδρας ἐπῴχετο Τυδέος υἱός,
ὄφρα δυώδεκ' ἔπεφνεν. ἀτὰρ πολύμητις Ὀδυσσεύς,
ὅν τινα Τυδεΐδης ἄορι πλήξειε παραστάς,
τὸν δ' Ὀδυσεὺς μετόπισθε λαβὼν ποδὸς ἐκϝερύσασκε,
τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι

---

471 *ϝεϝαδηκότες*] *ἁδ.* mss.; cf. vs. 98.

472 *χθόν' ἐκέκλιτο*] *χθονὶ κέκλιτο* mss.; Bentley *κεκλίατ'* coll. *Π* 68, fortasse recte; cf. § 119.

473 *τριστοιχί*] †, cf. *τρίστοιχος* *μ* 91, *μεταστοιχί* *Ψ* 358, 757.

475 *ἐξ*] *ἕξ* quidam olim ridicule. || *ἐπιδιφριάδος*] †, cf. *ἐπιδίφριος* *ο* 51, 75. Quae pars currus significetur non constat, *ἐξ ἄντυγος* autem habenae alligantur *E* 262, 322. || *ἱμᾶσ'*] utrum *habenae* (ut *Ψ* 324) an, quod veri videtur similius, alia lora h. l. et vs. 499, 567 *Θ* 544 significentur, non liquet; vid. ad vs. 480. || *ἱμᾶσ' ἐδέδεντο*] *-σι δέδ.* mss.

476 *προπάροιθε*] *prius* interpretabatur Ar.; cf. § 318[6]. || *Διομήδε' ἔδειξε*] *-δεϊ δεῖξε* mss.

477 *οὗτός τοι*] sic Ar.; cf. vs. 341.

478] damnat Heyne. || *οὓς*] sic Ar.; alii olim *ὃν*? || *ἐπίφαυσκε*] *πίφαυσκε* mss. In thesi produci nequit syllaba *πι-*, in arsi producta est *K* 502 *Σ* 500 h. Merc. 540. || *ἧμες* § 92] *ἡμεῖς* mss.

480 *λύ'*] vix credibile videtur bigas noctu ita paratas adstitisse ut quovis temporis puncto conscendi et in hostem adigi possent; itaque verbum *λύειν* hic et vs. 498 non *iugo solvere* (*ὑπὸ ζυγοῦ* vel *ὑπ' ἐξ ὀχέων*) videtur significare ut alias (*δ* 35 etc.), sed *lora solvere* quibus *ἐξ ἐπιδιφριάδος* (vs. 475) vincti sunt equi.

484 *ἐρυθαίνετο*] *φοινίσσετο* legisse videtur schol. Ar. Pac. 303 (item Suid.).

485 *ἀσημάντοισιν*] †, *non custoditis*, quibus deest *σημάντωρ*, cf. *O* 325.

486 *αἴγεσσ'* Eust.] *αἴγεσιν* mss. cett., cf. § 64.

489 *πλήξειε* Ar. mss.] alii olim *πλήξασκε*; cf. *B* 188, 198.

490 *Ὀδυσεὺς*] notetur subiectum iteratum ex vs. 488; vid. ad *A* 191. || *ἐκϝερύσασκε*] *ἐξερ.* mss.

ῥεῖα διέλθοιεν μηδὲ τρομεοίατο θυμῷ
νεκροῖσ' ἐμβαίνοντες· ἀϝήθεσκον γὰρ ἔτ' αὐτῶν.
ἀλλ' ὅτε δὴ βασιλῆα 'κιχήσατο Τυδέος υἱός,
τὸν τρισκαιδέκατον μελιϝηδέα θυμὸν ἀπέϝρα 495ᵇ = λ 203
ἀσθμαίνοντα· κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη.
τόφρα δ' ἄρα τλήμων Ὀδυσεὺς 'λύε μώνυχας ἵππους,
σὺν δ' ἤειρεν ἱμᾶσι καὶ ἐξήλαυνεν ὁμίλου
τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν
ποικίλου ἐκ δίφροιο 'νοήσατο χερσὶν ἑλέσθαι·
'ροίζησεν δ' ἄρα πιφαύσκων Διομήδεϊ δίῳ.
αὐτὰρ ὃ 'μερμήριζε μένων ὅ τι κύντατον ἕρδοι·
ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε' ἔκειτο,
ῥυμοῖ' ἐκϝερύοι ἢ' ἐκφέροι ὑψόσ' ἀείρας,
ἢ ὅ γ' ἔτι πλεόνων Θρηίκων ἀπὸ θυμὸν ἕλοιτο. 506 cf. E 673
ἧος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα δ' Ἀθήνη 507ᵃ = A 193
ἐγγύθεν ἱσταμένη προσέφη Διομήδεα δῖον·
„νόστου δὴ μνῆσαι, μεγαθύμου Τυδέος υἱέ,
νῆας ἔπι γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς,
μή ποθί τις καὶ Τρῶας ἐγείρῃσιν θεὸς ἄλλος."

497 τὴν νύκτ', Οἰνεΐδαο πάις, διὰ μῆτιν Ἀθήνης.
497 Zen. Aristoph. om., Ar. —

493 ἐμβαίνοντες Cobet] ἀμβαίνοντες mss. Cf. *Z* 65 κ 164. || ἀήθεσκον Hesych.] ἀήθεσσον vel -σσαν mss., quae forma explicari nequit. Verbum †. || αὐτῶν] male quidam in schol. *E* 231 αὐτόν, i. e. *Ulixem*, recte autem Aelianus Hist. An. XVI 25 αὐτῶν ad νεκροῖσ' refert. Sed pronomen novicio more est usurpatum; γὰρ ἀυτῆς tentavit Hoogvliet, sed ἀυτή vox huc minus quadrat.

495 μελιϝηδέα θυμὸν ἀπέϝρα] imitatur Verg. Georg. III 495: *dulces animas... reddunt.* || ἀπέϝρα § 150] ἀπηύρα mss.

497 Οἰνεΐδαο] neglecto ϝ. Cf. *E* 813.

498 ἄρα] ἄρ' ὁ mss. || 'λύε] vid. ad vs. 480.

499 σὺν ... ἤειρεν] cf. *O* 680; συναείρειν = συζευγνύναι, *inter se colligare* (quo facilius ambos simul regere possit); cf. συνήορος ϑ 99, τετράοροι ν 81, παρήορος (vid. ad *Θ* 87) et Att. ξυνωρίς, et vid. Cobet Mnemos. 1875 p. 266 sq. (= Misc. Crit. p. 326 sq.). De stirpe verbi vid. § 256; Sittl coniecit σὺν δ' ἱμᾶσιν ἄειρε, Fick σὺν δ' εἶρ' ἱμάντεσσι. || ἱμᾶσι] vid. ad vs. 475.

501 δίφροιο] *Rhesi* nimirum, cuius *currum* relinquit dum abigit *equos*.

502 'ροίζησεν] †, cf. ῥοῖζος *Π* 361 ι 315. || πιφαύσκων] vid. ad vs. 478.

503 κύντατον] superl. etiam h. Cer. 307, compar. saepius. || ἕρδοι] neglecto ϝ; Bekker κύντατα ϝέρδοι, Nauck τίνα κύντατα ϝέρδοι.

504 δίφρον] vid. ad vs. 501.

505 ῥυμοῖ' § 59] ῥυμοῦ mss. Cum genitivo cf. ποδὸς vs. 490. || ἐκϝερύοι] ἐξερ. mss. || ὑψόσ'] sic et ὑψοῦ Ar.; vid. ad vs. 465.

506 ὅ γ' ἔτι Nauck] ὅ γε τῶν C, ἔτι τῶν mss. cett.; vid. ad *E* 673. || Θρηίκων] cf. § 17.

507 ἧος § 323] ἕως mss.

511] suspectum est μή iteratum, quapropter Naber ἤν coniecit coll. τ 83 (olim potius αἴ κέν που vel αἴ κέν τις fuerit, vid. § 326). Nauck proscripsit vs. 510. || ποθί § 322] πού.

ὣς ’φάθ’, ὃ δὲ ξυνέηκε θεᾶς ϝόπα φωνησάσης, 512 = B 182
καρπαλίμως δ’ ἵππων ἐπεβήσετο· ’κόψε δ’ Ὀδυσσεὺς
τόξῳ· τοὶ δ’ ἐπέτοντο θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐδ’ ἀλαὸς σκοπιὴν εἶχ’ ἀργυρότοξος Ἀπόλλων, 515 cf. N 10 Ξ 135 ϑ 285 Hes. Theog. 466
ὡς ’ϝίδ’ Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν·
τῇ κοτέων Τρώων κατεδύσετο πολλὸν ὅμιλον,
ὦρσεν δὲ Θρηίκων βουληφόρον Ἱπποκόωντα,
Ῥήσου ἀνεψιὸν ἐσθλόν. ὃ δ’ ἐξ ὕπνοι’ ἀνορούσας
ὡς ’ϝίδε χῶρον ἐρῆμον, ὅθ’ ἕστασαν ὠκέες ἵπποι,
ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι, [591
ᾤμωξέν τ’ ἄρ’ ἔπειτα φίλον τ’ ὀνόμηνεν ἑταῖρον. 522 = Ψ 178 Ω
Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμὸς 522ᵇ cf. Π 491 523 cf. Σ 218
θυνόντων ἄμυδις· ’θηέοντο δὲ μέρμερα ϝέργα,
ὅσσ’ ἄνδρες ῥέξαντες ἔβαν κοίλας ἐπὶ νῆας.
οἳ δ’ ὅτε δή ῥ’ ἵκανον ὅθι σκοπὸν Ἕκτορος ἔκταν, 526ᵃ = Σ 520 cf. Δ 210
ἔνθ’ Ὀδυσεὺς μὲν ἔρυξε Διὶ φίλος ὠκέας ἵππους,
Τυδεΐδης δὲ χαμᾶζε θορὼν ἔναρα βροτόεντα
ἐν χείρεσσ’ Ὀδυσῆ’ ἐτίθει, ἐπεβήσετο δ’ ἵππων,
’μάστιξεν δ’ ἵππους, τὼ δ’ οὐκ ἀϝέκοντ’ ἐπετέσθην. 530 = E 768 Δ 519
Νέστωρ δὲ πρῶτος κτύπον ἄιε ’φώνησέν τε·
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες, 533 = B 79
ψεύσομαι ἦ ἔτυμον ϝερέω; κέλεται δέ με θυμός. 534 = δ 140
ἵππων μ’ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει. 535 cf. h. Ap. 265

531 νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ. 531 = Δ 520
534 Zen. om.

513 ἵππων ἐπεβήσετο] in recenti hoc carmine non *currum conscendere* significat ἵππων ἐπιβαίνειν, ut alias constanter (*E* 46 etc.), sed *equorum* (id est alterius equi) *dorsum;* item vs. 529 (cf. Eur. Rhes. 783 *O* 679 sqq. ε 371). Ulixem autem alteri equo insiluisse e contextu est intellegendum. (NB. Deleantur quae in Enchir. dict. ep. p. LXI l. 1—5 hac de re sunt observata.) || ἐπεβήσετο] sic Ar., -σατο mss. pauca; cf. § 152.
515 ἀλαὸς σκοπιὴν Ar. A] ἀλαὸν σκοπιὴν Zen. H², ἀλαοσκοπιὴν mss. cetera, quod monstri instar est. Probabiliter Nauck ἄλιον σκοπιὴν coll. vs. 324; Cauer ἀλαοῦ σκοπιὴν mavult. Redit locutio N 10 Ξ 135 ϑ 285 Hes. Theog. 466.
517 *πολλὸν § 83] πουλὺν mss.
518 Θρηίκων] cf. § 17.
519 ὕπνοι’ § 59] ὕπνου mss.
522] ante vs. 520 collocabat Zen.
524 ’θηέοντο] θηεῦντο mss., vid. § 7 et 191, et de syllaba θη- correpta § 17.
528 sq. ἔναρα — ἐτίθει] onustis enim manibus equum conscendere nequit.
529 Ὀδυσῆ’ ἐτίθει] Ὀδυσῆι τίθει mss., l. a. Ὀδυσῆι δίδου. || ἐπεβήσετο ἵππων] vid. ad vs. 513.
530 ’μάστιξεν] sc. *Diomedes.* || ἵππους] mss. complura Ὀδυσεύς. Bentley ἐλάαν (ἐλάειν) coll. *E* 366 etc.; vid. Δ 519. || ἀϝέκοντ’(ε)] ἄκοντε mss.
531] om. A C Townl.

αἲ γὰρ δὴ Ὀδυσεύς τε ἰδὲ κρατερὸς Διομήδης
ὧδ' ἄφαρ ἐκ Τρώων ἐλασαίατο μώνυχας ἵππους.
ἀλλ' αἰνῶς δέδϜοικα κατὰ φρένα, μή τι πάθωσι 538a cf. Λ 555
Ἀργεΐων ὄχ' ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ.“
οὔ πω πᾶν 'ϜέϜρητο Ϝέπος, ὅτ' ἄρ' ἤλυθον αὐτοί. 540a = π 11 cf. π 351
καί ῥ' οἳ μὲν κατέβησαν ἐπὶ χθόνα, τοὶ δὲ χαρέντες
δεξιῇ ἠσπάζοντο Ϝέπεσσί τε μειλιχίοισι. 542 cf. τ 415
πρῶτος δ' ἐξερέεινε γερήνιος ἱππότα Νέστωρ· 543a = Ι 672
„Ϝείπ' ἄγε μ', ὦ πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν, 544 = Ι 673
ὅππως τούσδ' ἵππους 'λάβετον· καταδύντες ὅμιλον
Τρώων; ἤ τίς σφωε 'πόρεν θεὸς ἀντιβολήσας,
αἰνῶς ἀκτίνεσσι ϜεϜοικότε ἠελίοιο;
αἰεὶ μὲν Τρώεσσ' ἐπιμίσγομαι, οὐδέ τί φημι
μιμνάζειν παρὰ νηυσί, γέρων περ ἐὼν πολεμιστής· 549a = Β 392
ἀλλ' οὔ πω τοίους ἵππους 'Ϝίδον οὐδ' ἐνόησα.
ἀλλά τιν' ὔμ' ὀίω δόμεναι θεὸν ἀντιάσαντα·
σφῶι γὰρ ἀμφοτέρω φιλέει νεφεληγερέτα Ζεὺς 552 = Η 280
κούρη τ' αἰγιόχοιο Διός, γλαυκῶπις Ἀθήνη.“
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 555 = 87
ῥεῖα θεός κ' ἐθέλων καὶ ἀμείνονας ἠέ περ οἵδε 556a = γ 231
ἵππους δωρήσαιτ', ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι. 557b = Υ 368 π 89 χ 289 cf. Δ 169
ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες, οὓς ἐρεείνεις,
Θρηίκιοι· τὸν δέ σφι Ϝάνακτ' ἀγαθὸς Διομήδης

---

536 *ἰδὲ* Nauck] *καὶ ὁ* mss.; cf. vs. 363.

538 *κατὰ φρένα*] *μετὰ φρεσὶ* Ar. (an l. a. ab Ar. memorata?) Townl.; cf. Λ 555 Ι 244 ω 353.

539 **ὄχ' ἄριστοι*] *ὤριστοι* Ar. (cf. § 9), *οἱ ἄριστοι* mss.

540 *'ϜέϜρητο* § 306] *εἴρητο* mss.

543 *γερήνιος*] cf. Β 336.

544 *μ'(οι)*] cf. § 13.

545 *τούσδ'*] *τοὺς* D. || *λάβετον* Ar. mss.] *λαβέτην* Zen.; vid. § 115.

546 *σφωε*] sic Ar., *σφῶι* Zen., quod pro *σφῶιν* dici potuisse putabat. Dativo aegre caremus, quapropter Christ coniecit *ἦ σφῶιν πόρε τις*, nos **ἤ τίς σφ'(ε) ὔμι 'πόρεν*. Cf. vs. 551.

547 **ϜεϜοικότε*] *-τες* mss.; requiritur accusativus.

548 *ἐπιμίσγομαι*] *ἀναμ.* Ixio.

551 *ὔμ'* § 92] *ὔμμ'* vel *ὕμμ'* mss.

552 **σφῶι γὰρ ἀμφοτέρω φιλέει*] *ἀμφοτέρω γὰρ σφῶι φιλεῖ* mss.; cf. Η 280. || *σφῶι*] *σφῶε* quidam noto errore.

556 *κ'*] *γ'* mss.

557 *δωρήσαιτ'*] verbum finitum †, adi. verb. *δωρητός dono placabilis* Ι 526. || *ἐπεὶ — εἰσι*] *quoniam dei multo sunt potentiores* — quam quinam? Verba incommoda; nam contextus et loci paralleli non sinunt verti *extant enim equi multo praestantiores.*

558 *νεήλυδες*] vid. ad vs. 434. || *ἐρεείνεις*] *ἀγορεύεις* Genev.

ἔκτανε, πὰρ δ' ἑτάρους δύο καὶ δέκα πάντας ἀρίστους. 560ᵇ cf. π 251
τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν ἐγγύθι νηῶν,
τόν ῥα διοπτῆρα στρατοῦ ἔμμεναι ἡμετέροιο
Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες ἀγαυοί." 563ᵇ = H 386
ὣς ϝειπὼν τάφροιο διήλασε μώνυχας ἵππους
καγχαλάων· ἅμα δ' ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί.
οἳ δ' ὅτε Τυδεΐδεω κλισίην εὔτυκτον ἵκοντο,
ἵππους μὲν κατέδησαν ἐϋ τμητοῖσιν ἱμᾶσι 567ᵇ = Φ 30
φάτνῃ ἔφ' ἱππείῃ, ὅθι περ Διομήδεος ἵπποι
ἕστασαν ὠκύποδες μελιϝηδέα πυρὸν ἔδοντες·
νηὶ δ' ἐνὶ πρυμνῇ ἔναρα βροτόεντα Δόλωνος
'θῆκ' Ὀδυσεύς, ὄφρ' ἱρὸν ἑτοιμασσαίατ' Ἀθήνῃ.
αὐτοὶ δ' ἱδρόα πολλὸν ἀπεννίζοντο θαλάσσῃ
εἰσβάντες κνήμας τε ἰδὲ λόφον ἀμφί τε μηρούς.
αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρόα πολλὸν
'νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ, 575ᵇ cf. N 84
578 δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ
πλείου ἀφυσσόμενοι 'λεῖβον μελιϝηδέα ϝοῖνον.

---

576 εἴς ῥ' ἀσαμίνθους βάντες ἐϋ ξεστὰς 'λούσαντο. 576 = δ 48 ρ 87
τὼ δὲ λοεσσαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ 577 cf. ζ 96

---

561 τρισκαιδέκατον] quidam olim τετρακαιδ. Cf. I 130.
562 διοπτῆρα] †; vid. ad vs. 451.
565 καγχαλάων § 191] -λόων mss.
566 Τυδεΐδεω] forma novicia, vid. § 55.
567 ἱμᾶσι] vid. ad vs. 475.
572 ἱδρόα § 77] ἱδρῶ mss. || ἀπεννίζοντο § 27] ἀπενίζ. mss.
573] ordinem quo corporis partes enumerantur vHerwerden iure mirum vocat. || λόφον] de humana cervice † (neque apud poetas recentiores); vid. Apoll. lex. et ad π 176. Cf. tamen καταλλοφάδεια κ 169.
574 ἱδρόα § 77] ἱδρῶ mss.
575 χρωτὸς] cf. σ 172.
576 sq.] versus ex Odyssea desumtos proscripsit Bergk : nulla in castris fuisse balnea cum per se intellegitur tum e versibus proxime praecedentibus clare patet. Cf. Λ 621 sqq.
576 'λούσαντο] 'λοέσαντο? cf. § 295.
577 λίπ'] cf. § 13.
579 ἀφυσσόμενοι Ar.] -σσάμενοι mss. pleraque. Cf. Γ 295.

ΙΛΙΑΔΟΣ Λ.

Ἀγαμέμνονος ἀριστεία (vs. 1—595). — *Ὁμιλία Νέστορος καὶ Πατρόκλου* (vs. 596 sqq.).

Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο 1 sq. = ε 1 sq.
ὤρνυθ', ἵν' ἀθανάτοισι φάος φέροι ἠδὲ βροτοῖσι· 2 = Τ 2
Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν.
'στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ, 5-9 = Θ 222 sqq.
ἥ ῥ' ἐν μεσσάτῳ ἦσκε γεγωνέμεν' ἀμφοτέρωσε,
ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο
ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατα νῆας ἐϝίσας
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν.
ἔνθα στᾶσ' ἤυσε θεὰ μέγα τε δϝεινόν τε 10ª = Ε 784
ὄρθι', Ἀχαιοῖσιν δὲ μέγα σθένος ὦρσε ϝεκάστῳ 11 cf. Β 451; 11ᵇ sq. = Ξ 151 sq.
καρδίῃ, ἄλληκτον πολεμιζέμεν' ἠδὲ μάχεσθαι. 12 = Β 452
Ἀτρεΐδης δ' ἐνόησεν ἰδὲ ζώννυσθαι ἄνωγε

---

13 *τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων 'γένετ' ἠὲ νέεσθαι* 13 sq. = Β 453 sq.
ἐν νηυσὶ γλαφυρῇσι φίλην εἰς πατρίδα γαῖαν.
13 sq. Zen. om., Aristoph. Ar. —

---

1 sq.] imitatur Verg. Aen. IV 584 sq.

2 *φάος* § 71] *φόως* mss.

4 *πολέμοιο τέρας*] quid sit nescimus, sed cf. *Ε* 593.

5] vid. ad vs. 806. || *μεγακήτεϊ*] vid. ad *Θ* 222.

6 *ἦσκε*] *ἔσκε* mss. || *ἀμφοτέρωσε*] -*ροισι* Genev.

9 *εἴρυσαν*] *ἔϝρυσαν*? vid. § 293.

11 *ὄρθι'*] *alta voce*; adi. redit h. Cer. 20, 433. || *ὦρσε* Bentley coll. *Β* 451 (*Ε* 139)] *ἔμβαλ'* mss.

12 *πολεμιζέμεν'* § 125] -*ζειν* mss.

15 *ἐνόησεν* Naber] *ἐβόησεν* mss. Dea clamat, non rex.

Ἀργείους· ἐν δ' αὐτὸς ἐδύσετο νώροπα χαλκόν. 16^{b} = Β 578
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε 17-19 = Γ 330 sqq.
καλάς, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,
τόν ποτέ Ϝοι Κινύρης 'δῶκε ξεινήιον εἶναι, — 20^{b} = Κ 269
'πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, — οὕνεκ' Ἀχαιοὶ
εἰς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον·
τούνεκά Ϝοι τὸν ἔδωκε, χαριζόμενος βασιλῆι.
τοῦ δ' ἦ τοι δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο,
δώδεκα δὲ χρυσοῦ καὶ ἐϜείκοσι κασσιτέροιο·
κυάνεοι δὲ δράκοντες ὀρωρέχατο προτὶ δειρὴν
τρεῖς Ϝεκάτερθ', ἴρισσι ϜεϜοικότες, ἅς τε Κρονίων 27^{b} = Ε 522
ἐν νέφε' ἐστήριξε, τέρας μερόπων ἀνθρώπων.
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφος· ἐν δέ Ϝοι ἧλοι 29^{a} = Β 45
χρύσειοι 'πάμφαινον, ἀτὰρ περὶ κουλεὸν ἦεν
ἀργύρεον, χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός.
ἂν δ' ἕλετ' ἀμφιβρότην πολυδαίδαλον ἀσπίδα θοῦριν,
καλήν, ἣν πέρι μὲν κύκλοι δέκα χάλκεοι ἦσαν,
ἐν δέ Ϝοι ὀμφαλοὶ ἦσαν ἐϜείκοσι κασσιτέροιο
λευκοῖ', ἐν δὲ μέσοισ' ἔεν εἷς μέλανος κυάνοιο.

---

16 ἐδύσετο Cant.] -σατο mss. cett.

19 στήθεσσιν] -σφιν? vid. ad Μ 401.

21 'πεύθετο — κλέος] in parenthesi collocavit Christ.

23 ἔδωκε] δῶκε mss.

24 δέκα οἶμοι] hiatus vitiosus; vix praestat δέκ' ἔσαν οἶμοι. — Vox οἶμος, proprie *via, semita*, h. l. *lineas* sive *strias*, quibus thorax multicolor distinctus est, indicat (cf. nostr. *baan*), h. Merc. 451 *cantilenae modos*; cf. οἴμη Θ 74 (ubi vid.) etc., οἶμα Π 752 etc., οἰμάω Χ 140 etc.

25 δώδεκα] ἕνδεκα coniecit Naber, ut apte disponi possent colores; sed vulgatam defendi posse putamus, nam nisi fallimur poeta dicere voluit utrumque thoracis γύαλον habuisse strias fulvas sex (⌇), intra has caeruleas quinque (▌), albis striis decem (¦) a fulvis seiunctas: ⌇ ¦ ▌ ¦ ⌇ ¦ ▌ ¦ ⌇ ¦ ▌ ¦ ⌇ ¦ ▌ ¦ ⌇ ¦ ▌ ¦ ⌇. || χρυσοῦ καὶ ἐϜείκοσι Bentley] χρυσοῖο καὶ εἴκ. mss. || κασσιτέροιο] cf. Ψ 561.

26 κυάνεοι ... ὀρωρέχατο] σμερδαλέοι ... ἐλιχμῶντο Aristoph. (cf. Aristoph. Vesp. 1033 Pac. 756).

27 ἴρισσι] neglecto Ϝ; Zen. ἐρίδεσσιν, Apoll. lex. et Hesych. ἴρεσσιν. Heyne Ϝεκάθεν Ϝίρισσι, PKnight Ϝεκάτερθε Ϝἴρισσι.

28 νέφε' ἐστήριξε § 71] νέφεϊ στ. Ar. mss. (νέφεσι Vrat.), l. a. νέφει ἐστήριξε. || μερόπων ἀνθρώπων] de gen. vid. Δ 84. An *μερόπεσσι βροτοῖσι? cf. Β 285.

29 sq. ἧλοι χρύσειοι] cf. Β 45.

31 χρυσέοισιν] cf. § 18 et 61. || ἀορτήρεσσιν] sic h. l. vocantur ligamenta quibus balteo annexa est vagina; ceteris locis singularis usurpatur (λ 609 etc.) ad ipsum *balteum* designandum, qui alias τελαμών dicitur (Η 304 etc.).

33 πέρι ... ἦσαν] quidam olim περὶ ... ἦσαν (male).

35 λευκοῖ' quidam olim] λευκοὶ Herodian. mss. metro invito; cf. § 14 et 59. || μέσοισ' ἔεν εἷς] μέσοισιν ἔην mss. Sic cum Herwerdeno (μέσοισ' εἷς ἦν) rescripsimus, ut verti

τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο 36 sq. cf. E 739
δϜεινὸν δερκομένη, περὶ δὲ ΔϜεῖμός τε Φόβος τε. 37ª cf. Γ 342
τῆς δ' ἒξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτοῦ 37ᵇ cf. Ο 119
κυάνεος 'ϜεϜέλικτο δράκων, κεφαλαὶ δέ Ϝοι ἦσαν
τρεῖς ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυυῖαι.
κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην 'θέτο τετραφάληρον 41 = E 743 cf. Γ 336
ἵππουριν· δϜεινὸν δὲ λόφος καθύπερθεν ἔνευε. 42 = Γ 337
εἵλετο δ' ἄλκιμα δοῦρα δύω, κεκορυθμένα χαλκῷ, 43 = χ 125 cf. Γ 18, 338
ὀξέα· τῆλε δὲ χαλκὸς ἀπ' αὐτόφιν οὐρανὸν εἴσω
'λάμπ'· ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη,
τίουσαι βασιλῆα πολυχρύσοιο Μυκήνης. 46 cf. H 180
ἡνιόχῳ μὲν ἔπειτα ἑϜῷ ἐπέτελλε Ϝέκαστος 47 sq. = M 84 sq.
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν αὖθ' ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες 49 = M 77
'ρώοντ'· ἄσβεστος δὲ βοὴ 'γένετ' ἠῶθι πρό. 49ᵇ = Θ 530
'φθὰν δὲ μέγ' ἱππήων ἐπὶ τάφρῳ κοσμηθέντες,

---

possit versus; nam in vulgata genitivus *μέλανος κυάνοιο* nihil habet unde pendeat; Barnes *μέσοισιν ἔεις*, quae vitiosa est adiectivi numeralis forma (vid. § 91). De forma *ἔεν* cf. § 302. — Sed graviore vitio locum laborare putamus, quoniam plures umbones unus clipeus non recipit; nam licet Helbig Epos[1] p. 226 proferat imaginem clipei ante annos aliquot effossi, cuius centrum umbo protegit cinctus bullis minoribus, inde non sequitur etiam bullas illas *umbilicos* dici potuisse, cuius nominis ea est vis atque natura ut unus tantum, ut in ventre, sic in clipeo esse possit *ὀμφαλός*. Coniecimus **ἐν δέ Ϝ'(οι) ἔσαν λευκοῖο ἐϜείκοσι κασσιτέροιο* (sc. *κύκλοι*), | *ὀμφαλὸς ἐν μέσσοισιν ἔην* (*ἔεν*) *μέλανος κυάνοιο*, clipei similem atque thoracis (vid. ad vs. 25) ornatum fuisse rati.

36 sq.] ex *E* 739 sqq. interpolatos censet Christ, in scuto viginti bullis et uno umbone ornato locum idoneum simulacris Gorgonis et Terroris Metusque inveniri non potuisse putans. Quod argumentum non urguendum videtur (vid. ad vs. 35); Leaf *τῷ* pro *τῇ* vs. 36 coniecit.

36 *βλοσυρῶπις*] perperam producitur syllaba finalis.

37] *Metus* hanc imaginem qualem sibi finxerint VII[i] saeculi homines docet Pausan. V 19 § 4, in arca Cypseli inter alia Agamemnonis cum Coone pugnam (*Λ* 248 sqq.) repraesentatam fuisse referens: *Φόβος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφαλὴν λέοντος.*

38 *ἦν*] *ἔεν*? vid. § 302. || *αὐτοῦ*] sic Ar., *αὐτῷ* mss. nonnulla.

39 *'ϜεϜέλικτο* § 41] *ἐλέλικτο* mss.

40 *ἀμφιστρεφέες*] sic Ar., *-στεφέες* mss. complura. Adi. †, *inter se perplexae*? || *ἐκπεφυυῖαι*] comp. h. Cer. 12 redit.

41 *ἀμφίφαλον ... τετραφάληρον*] vid. ad *E* 743.

43 *δοῦρα* Vrat. Eust.] *δοῦρε* mss. cett. Etiam *Γ* 18 *μ* 228 pluralem malumus, quamquam ibi *δοῦρε* ferri fortasse potest; cf. *E* 495 *N* 435, 616 *Π* 139 *Φ* 115 *λ* 211 *π* 15 *χ* 125 et § 52.

45 *ἐγδούπησαν*] *ἐκδούπησαν* mss. nonnulla male. Ar. litteram *γ* metri causa insertam esse putabat.

46 *τίουσαι* Fick] *τιμῶσαι* mss. Cf. *χ* 425 et § 165.

49 *πρυλέες*] cf. *E* 744.

50] infinitus Graecorum clamor miros nos habet, vid. *Γ* 2—9 *Δ* 429—438.

51 *μέγ'*] sic Ar., *μεθ'* mss. complura non recte (vid. § 316[4]), incommodum vero est *μέγα* propter *ὀλίγον* vs. 52.

ἱππῆες δ' ὀλίγον μετεκίαθον. ἐν δὲ κυδοιμὸν
ὦρσε κακὸν Κρονίδης, κατὰ δ' ὑψόθεν ἧκεν ἐϝέρσας
αἵματι μυδαλέας ἐξ αἰθέρος, οὕνεκ' ἔμελλε
πολλὰς ἰφθίμους κεφαλὰς Ἄϝιδι προϊάψειν. 55 cf. Α 3
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρῳσμῷ πεδίοιο, 56 = Υ 3
Ἕκτορά τ' ἀμφὶ μέγαν καὶ ἀμύμονα Πολυδάμαντα 56ᵇ = Κ 160
Αἰνείαν θ', ὃς Τρωσὶ θεὸς ὣς 'τίετο δήμῳ, 58ᵇ = ξ 205 cf. Ε 78
τρεῖς τ' Ἀντηνορίδας, Πόλυβον καὶ Ἀγήνορα δῖον
ἠίθεόν τ' Ἀκάμαντ', ἐπιϝείκελον ἀθανάτοισι.
Ἕκτωρ δ' ἐν πρώτοισι 'φέρ' ἀσπίδα πάντοσ' ἐϝίσην.
οἷος δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστὴρ 62 sq. cf. Ε 5 sq. Χ 26 sq.
παμφαίνων, τοτὲ δ' αὖτις ἔδυ νέφεα σκιόεντα,
ὣς Ἕκτωρ ὁτὲ μέν τε μετὰ πρώτοισ' ἐφάνεσκε,
ἄλλοτε δ' ἐν πυμάτοισι κελεύων· πᾶς δ' ἄρα χαλκῷ
'λάμφ' ὥς τ' ἀστεροπὴ πατρὸς Διὸς αἰγιόχοιο. 66ᵃ = Κ 154
οἳ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισι
ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ' ἄρουραν
πυρῶν ἢ κριθῶν, — τὰ δὲ δράγματα ταρφέα πίπτει, —
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες 70 sq. = Π 770 sq.
'δήοον, οὐδ' ἕτεροι 'μνάοντ' ὀλοοῖο φόβοιο·
ϝίσας δ' ὑσμίνη κεφαλὰς ἔχεν· οἳ δὲ λύκοι ὣς
'θῦνον. Ἔρις δ' ἄρ' ἔχαιρε πολύστονος εἰσοράουσα·
οἴη γάρ ῥα θεῶν παρετύγχανε μαρναμένοισι,

---

53 sq.] de re cf. *Π* 459.

54 *μυδαλέας*] †.

55 *κεφαλὰς*] sic Ar.; cf. *Α* 3.

56] verbum e vss. praecedentibus supplendum, ut *Η* 419 *Υ* 3; vid. etiam *Θ* 261 sqq. Friedlaender tamen, suspicatus in *ἑτέρωθεν* latere aoristum passivum, *αὖ κόσμηθεν* coniecit; minus longe a vulgata recedit **αὖτ' ἤγερθεν*. || *θρῳσμῷ*] nonnisi locis parall. redit; significat locum ubi planities in collem assurgit. Vetustus autem poeta ita designasse videtur radices collis in quo Ilium erat aedificatum, recentiores vero quibus *Κ* et *Υ* debentur de quovis loco edito vocem adhibuisse.

57 *Πολυδάμαντα* D] *Πουλ.* mss. cett., cf. § 21.

62 *οὔλιος*] †, *malum sidus, Sirius*, cf. *Ε* 5 *Χ* 26. Sic Ar., alii olim *αὔλιος* (*Hesperum* interpretati), in his Apoll. Rh. IV 1630.

64 *πρώτοισ' ἐφάνεσκε*] *-σι φάν.* mss.

65 *κελεύων*] duri numeri; **-σιν ἐκέκλετο?*

66 *τ' ἀστεροπὴ*] *τε στεροπὴ* mss. pleraque; vid. ad vs. 184.

67 *ἀμητῆρες*] † (*ἀμᾶν* saepius, *ἄμητος* *Τ* 223). — Cf. *Σ* 550 sqq.

68 *μάκαρος*] de *locuplete* etiam *α* 217.

69 *κριθῶν*] genitivi forma novicia, cf. § 56; **πυροὺς ἢ κριθάς?* cf. *τ* 112. || *δράγματα*] *δάργματα* Hartel metri causa, vid. § 25.

70-83] cf. Verg. Aen. X 755-759.

71 *'δήοον ... 'μνάοντ'* § 191] *δήουν ... μνώοντ'* mss.

72 *ὑσμίνη ... ἔχεν*] sic Ar., *-νῃ ... ἔχον* mss. complura.

73 *εἰσοράουσα* § 191] *-ρόωσα* mss.

74 *παρετύγχανε*] comp. †.

75 οἳ δ' ἄλλοι οὔ σφιν πάρεσαν θεοὶ, ἀλλὰ Ϝέκηλοι
σφοῖσιν ἐνὶ μεγάροισι καθήατο, ἧχι Ϝεκάστῳ
77 δώματα κάλ' ἐτέτυκτο κατὰ πτύχας Οὐλύμποιο.
84 ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, 84 sq. = Θ 66 sq.
85 τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, 'πίπτε δὲ λαός·
ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσσατο δεῖπνον
οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ' ἐκορέσσατο χεῖρας 87^{a} cf. Γ 34
τάμνων δένδρεα μακρά, Ϝάδος τέ μιν ἵκετο θυμὸν,
σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ, 89 cf. h. Ap. 461
90 τῆμος σφῇ ἀρετῇ Δαναοὶ 'ρήξαντο φάλαγγας,
κεκλόμενοι ἑτάροισι κατὰ στίχας. ἐν δ' Ἀγαμέμνων 91^{b} sq.^{a} = 216 sq.
πρῶτος ὄρουσ', ἕλε δ' ἄνδρα Βιάνορα, ποιμένα λαῶν,
αὐτὸν, ἔπειτα δ' ἑταῖρον 'Οιλῆα πλήξιππον.
ἦ τοι ὅ γ' ἐξ ἵππων καταάλμενος ἀντίος ἔστη· [118
95 τὸν δ' ἰθὺς μεμαῶτα μετώπιον ὀξέι δουρὶ 95^{a} = Υ 386 cf. Θ
'νύξ', οὐδὲ στεφάνη δόρυ Ϝοι 'σχέθε χαλκοβάρεια, 95^{b} cf. Π 739
ἀλλὰ δι' αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δὲ 97^{b} sq. = Μ 185
ἔνδον ἅπας 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα. sq. Υ 399 sq.

78 *πάντες δ' ἠτιάοντο κελαινεφέα Κρονίωνα,*
οὕνεκ' ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι. 79 cf. δ 275
80 *τῶν μὲν ἄρ' οὐκ ἀλέγιζε πατήρ· ὃ δὲ νόσφι λιασθεὶς* 79^{b} = Μ 174 Ο 596
τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων, 81^{b} sq. = Θ 51 sq.
εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν [363 ξ 268 ρ 437
χαλκοῦ τ' ἀστεροπὴν, ὀλλύντας τ' ὀλλυμένους τε. 83^{a} = δ 72 cf. Τ
78—83 Zen. om., Aristoph. Ar. — || 98 Apoll. Rhodius om.

75-77] cum vs. 45 sq. vix possunt conciliari; vs. 75—83 del. PKnight.

76 *σφοῖσιν*] *οἷσιν* mss. nonnulla errore pervulgato. || *καθήατο* Z] *-είατο* mss. cett. || *ἧχι*] sic Ar.

77 *κάλ' ἐτέτυκτο*] *καλὰ τέτυκτο* mss. Sed fortasse poeta dedit **καλὰ τέτυκται ἀνὰ*, vid. ad Ε 729.

78-83] damnarunt veteres *ὅτι ψεῦδος*. Non *omnes* dei vituperant Iovis consilium, neque ante vs. 183 Iuppiter adspicit proelium.

78 *ἠτιάοντο* § 191] *-όωντο* mss.

80 *ὃ δὲ*] vid. ad Δ 191.

81 *κύδεϊ γαίων*] vid. ad Α 405.

82 *εἰσοράων* § 191] *-ρόων* mss.

83 *τ' ἀστεροπὴν* L] *τε στεροπὴν* mss. cett.; vid. vs. 66 et ad vs. 184.

84 *ἦν*] vid. ad Θ 66.

86 *δεῖπνον*] sic Ar., *δόρπον* Zen. G; cf. vs. 730. Tempus *meridianum* significari recte monuit Lehrs Ar.^{2} p. 128, coll. Θ 66 sqq.; vid. Π 779.

88 *Ϝάδος*] †. Cf. § 41.

89 *αἱρεῖ*] *εἷλε* probabiliter Nauck; vid. e. g. Γ 35.

91 *ἐν*] *ἂν* vel *ἐκ* mss. nonnulla; cf. vs. 216.

92 *Βιάνορα* Ar.] *Βιήνορα* mss.; cf. § 5.

94 **καταάλμενος*] *κατεπάλμενος* mss., vid. Θ 85. Ahrens *κατα-πάλμενος* coll. Τ 351. || *ἀντίος*] *ἀντίον* Zen. Aristoph.; vid. ad Ζ 54.

96 *στεφάνη*] vid. Η 12. || *Ϝοι 'σχέθε*] *ἔσχεθε* Townl.

97 *ἐγκέφαλος δὲ*] *ἐγκέφαλόνδε* Apollonius Rh., omisso quem non intellegebat versu 98.

98 *'πεπάλακτο*] l. a. *κεκίνητο* (? — Spitzner *κεκύκητο*).

καὶ τοὺς μὲν ’λίπεν αὖθι Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
στήθεσι παμφαίνοντας, ἐπεὶ περίδυσε χιτῶνας·
αὐτὰρ ὃ ’βῆ Ϝῖσόν τε καὶ Ἄντιφον ἐξεναρίξων,
υἷε δύω Πριάμοιο, νόθον καὶ γνήσιον, ἄμφω — 102ᵃ = Μ 95
ἐν ἑνὶ δίφρῳ ἐόντε· ὃ μὲν νόθος ἡνιόχευε, — 103ᵃ = Ε 160
Ἄντιφος αὖ παρέβασκε περικλυτός· ὥ ποτ’ Ἀχιλλεὺς
Ἴδης ἐν κνημοῖσι ’δίδει μόσχοισι λύγοισι, — 105ᵃ = Β 821
ποιμαίνοντ’ ἐπ’ ὄισσι λαβών, καὶ ἔλυσεν ἀποίνων.
δὴ τότε γ’ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
τὸν μὲν ὑπὲρ μαζοῖο κατὰ στῆθος ’βάλε δουρί, — 108 cf. Ε 145
Ἄντιφον αὖτ’ οὖας ἔλασε ξίφε’, ἐκ δ’ ἔβαλ’ ἵππων. — 108ᵇ = Ν 186 Ο 420 cf. Θ 303
σπερχόμενος δ’ ἀπὸ τοῖιν ἐσύλαε τεύχεα καλὰ
γιγνώσκων· καὶ γάρ σφε πάρος παρὰ νηυσὶ θοῇσι
ἔϜϜιδ’ ὅτ’ ἐξ Ἴδης ἄγαγεν πόδας ὠκὺς Ἀχιλλεύς.
ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα
ῥηιδίως συνέϜαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι, — 114ᵇ = 175 Ρ 63
ἐλθὼν εἰς εὐνήν, ἁπαλόν τέ σφ’ ἦτορ ἀπέϜρα·
ἡ δ’ εἴ πέρ τε τύχῃσι μάλα σχεδόν, οὐ δύναταί σφι
χραισμέμεν’, αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει,
καρπαλίμως δ’ ἤιξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην — 118ᵇ = κ 150, 197
σπεύδουσ’, ἱδρώουσα, κραταιοῦ θηρὸς ὑφ’ ὁρμῆς·

---

100 *παμφαίνοντας*] Ar. perperam cum voce *χιτῶνας* iungebat. || *περίδυσε χιτῶνας*] l. a. ab Ar. commemorata *κλυτὰ τεύχε’ ἀπηύρα*. Vulgata sana esse vix potest; nam ut possit intellegi, *περίδυσε* (comp. †) significare debet *exuere* (*λωποδύτης* vocem confert Duentzer), sed ratio fert ut *induendi* sensum hic ut ceteris locis verbum *δύω* obtineat. Peppmueller coniecit *περὶ λῦσε* coll. *Π* 804, sed *solvendi* verbum hinc alienum videtur, etiamsi *χιτῶνας* non de veris tunicis sed de thoracibus interpreteris coll. *Ν* 439.

101 *βῆ Ἶσον* Zen.] *βῆ ῥ’ Ἶσον* Ar. mss., quod *Βήρισον* (sc. *ἐξενάριξε*) intellegebat Posidippus; vid. ad *Α* 99.

103 *ἐν* § 315] *εἰν* mss. || *ἐόντε* Aristoph. L] *ἐόντας* mss. cett.

104 *ὥ*] *ὃν* Zen. Apoll. lex., quam lectionem refelli versu 111, errorem autem e vetere litteratura natum videri, observabat Aristonicus (Aristarchus?).

105 *δίδει* Naber] *δίδη* mss.; cf. § 198. || *μόσχοισι*] †, vox *vitulum* apud posteros significat, hic vero adiectivi loco adhibita *tenerum* vel *lentum* valere debet. || *λύγοισι*] cf. ι 427 κ 166.

106 *ὄισσι* Fick] *ὄεσσι* mss.; vid. § 74.

108 *κατὰ στῆθος ’βάλε*] *βάλεν χαλκήρεϊ* mss. pauca.

109 *αὖτ’ οὖας* Nauck] *αὖ παρὰ οὖς* mss. hiatu intolerabili. Cf. § 72. || *ἔλασε ξίφε’* § 71] *ἔλασε ξίφει* mss. Sed malumus **ξίφε’ ἤλασεν*.

110 *ἐσύλαε* § 191] *ἐσύλα* mss.

112 *ἔϜϜιδ’* § 27] *εἶδεν* mss.

115 *ἀπέϜρα* § 150] *ἀπηύρα* mss.

116 *τε τύχῃσι*] etiam *τετύχῃσι* (ut *λελάχῃσι*) legi posse putabat Ar.

117 *χραισμέμεν’* § 125] *-σμεῖν* mss.

118] imitatur Verg. Aen. IV 72: *illa fuga silvas saltusque peragrat.*

119 *ἱδρώουσα*] neglecto Ϝ.

ὣς ἄρα τοῖσ' οὔ τις 'δύνατο χραισμῆσαι ὄλεθρον
Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ' Ἀργεΐοισ' ἐφέβοντο.
 αὐτὰρ ὃ Πείσανδρόν τε καὶ Ἱππόλοχον μενεχάρμην,
υἱέας Ἀντιμάχοιο δαΐφρονος, ὅς ῥα μάλιστα
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένος, ἀγλαὰ δῶρα,
οὐκ εἴασχ' Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ,
τοῦ περ δὴ δύο παῖδε 'λάβε κρείων Ἀγαμέμνων
ἐν ἐνὶ δίφρῳ ἐόντε, ὁμοῦ δ' ἔχον ὠκέας ἵππους· 127ª = Ε 160
ἐκ γάρ σφας χειρῶν 'φύγον ἡνία σιγαλόεντα, 128ᵇ = Θ 137
τὼ δ' ἐκυκηθήτην· ὃ δ' ἐναντίον ὦρτο λέων ὣς 129ᵇ = Γ 164
Ἀτρεΐδης. τὼ δ' αὖτ' ἐκ δίφροο 'γουναζέσθην·
 „ζώγρεε, Ἀτρέος υἱέ, σὺ δ' ἄξια δέξε' ἄποινα. 131 = Ζ 46
πολλὰ δ' ἐν Ἀντιμάχου πατρὸς κειμήλια κεῖται, 132 cf. Ζ 47
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος· 133 sq. = Ζ 48 sq.
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἰ νῶι ζῳὼ πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν.“ 135 cf. Ζ 50
 ὣς τώ γε κλαίοντε προσηυδήτην βασιλῆα 136ª = Χ 90
μειλιχίοισι Ϝέπεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσαν· 137 cf. Φ 98
 „εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστόν,
ὅς ποτ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγε
ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆι
αὖθι κατακτεῖναι μηδ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
νῦν μὲν δὴ τοῦ πατρὸς ἀϜεικέα τίσετε λώβην.“

---

121 *Ἀργεΐοισ' ἐφέβοντο*] *-σι φέβ.* mss.

123 *δαΐφρονος*] *κακόφρονος* Zen.; cf. vs. 138.

127 *ἐν* § 315] *εἰν* mss. ‖ *ἐόντε* L[2]] *-ντας* mss. cetera; Aristophanem *-ντε* dedisse e vs. 103 veri simile fit. ‖ *ὁμοῦ ... ἔχον*] verba dubia. *Ambo simul equos turbatos tunc ipsum cohibere conabantur*? Alii: *eodem curru vehi solebant* (ut sit parenthesis), vix recte.

128 *σφας* § 92] *σφεας* mss. ‖ *φύγον*] sic Ar., *φύγεν* Townl.

129 *ἐναντίον*] sic Ar., alii olim *-ος*, vid. ad Ζ 54.

130 *δίφροο*] *δίφρου* mss.; versus *ὁλοσπόνδειος* secundum veteres grammaticos; vid. § 2, 59, 76. ‖ *'γουναζέσθην*] vid. ad Ι 583.

131 *ζώγρεε* § 191] *ζώγρει* mss. ‖ *δέξε'(αι)*] *δέξαι* mss.; vid. ad Ζ 46.

132 *Ἀντιμάχου πατρὸς* Zen.] *Ἀντιμάχοιο δόμοις* mss. pleraque vitiose, vid. § 60 et ad ν 424; *ἀφνειοῦ πατρὸς* mss. pauca (ut Ζ 47), male, nam *nominatum* esse patrem docet vs. 138. Bentley *Ἀντιμάχοιο πατρὸς*, non recte, vid. ad Ζ 479.

135 *ζῳὼ* (*ζωὼ*) Aristoph.] *ζωοὺς* mss.

136 *προσηυδήτην*] *προσαυδήτην* mss. pleraque. De termino *-ήτην* vid. § 195.

137 *μειλιχίοισι Ϝέπεσσιν* § 60] *-οις ἐπέεσσιν* mss. ‖ *ὄπ'*] neglecta littera Ϝ, vid. § 41[26].

138 *εἰ ... δὴ*] vid. ad Α 61. ‖ *δὴ Ἀντιμάχοιο*] synizesis vitiosa, vid. § 8; **δὴ ἀνδρός γε?* ‖ *δαΐφρονος*] *κακόφρονος* Zen. (ut vs. 123), hoc loco fortasse recte.

139 sq.] de hac legatione vid. Γ 205 sqq.

140 *ἀγγελίην*] vid. ad Γ 206.

141 *κατακτεῖναι*] *-κτάμεναι?*

142 *τοῦ* Ar. mss.] *οὗ* Zen., *σφοῦ* alii, ut olim in pronominibus solebant errare.

ἤ, καὶ Πείσανδρον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε
δουρὶ βαλὼν πρὸς στῆθος· ὃ δ' ὕπτιος οὔδε' ἐρείσθη.
Ἱππόλοχος δ' ἀπόρουσε· τὸν αὖ χαμαὶ ἐξενάριξε,
χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ' αὐχένα κόψας,
Ϝόλμον δ' ὣς Ϝ' ἔσσευε κυλίνδεσθαι δι' ὁμίλου.
τοὺς μὲν ἔασ'· ὃ δ' ὅθι πλεῖσται 'κλονέοντο φάλαγγες,
τῇ ῥ' ἐνόρουσ', ἅμα δ' ἄλλοι ἐυκνήμιδες Ἀχαιοί.
πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
ἱππῆες δ' ἱππῆας, — ὑπὸ σφίσι δ' ὦρτο κονίη
ἐκ πεδίου, τὴν ὦρσαν ἐρίγδουποι πόδες ἵππων, —
χαλκῷ δηιόοντες. ἀτὰρ κρείων Ἀγαμέμνων
αἰὲν ἀποκτείνων ἕπετ' Ἀργεΐοισι κελεύων.
ὡς δ' ὅτε πῦρ αἴδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ,
πάντῃ δ' εἰλυφάων ἄνεμος φέρει, οἳ δέ τε θάμνοι
πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
ὣς ἄρ' ὑπ' Ἀτρεΐδῃ Ἀγαμέμνονι 'πίπτε κάρηνα
Τρώων φευγόντων, πολλοὶ δ' ἐριαύχενες ἵπποι
κείν' ὄχε' ἐκροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας,
ἡνιόχους ποθέοντες ἀμύμονας. οἳ δ' ἐπὶ γαίῃ
'κείατο γύπεσσιν πολὺ φίλτεροι ἢ ἀλόχοισι.
Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης
ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ·
Ἀτρεΐδης δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων.

143 cf. 320
143^b = Ε 835
144^b = Η 145
147^a cf. Ξ 413
148^a = Ε 148
148^b = Ο 448
[Ap. 234
160^a cf. Ο 453 h.
160^b = Θ 378
165^b = Π 372

---

144 οὔδε' § 71] οὔδει mss.; l. a. (Ar.?) οὖδας ἔρεισε, sine sensu (non favet Ν 131 = Π 215); cf. versus parall. et l. a. Μ 192.

146 τμήξας] πλήξας Ar., cf. Ψ 120 ϑ 507 κ 440.

147] cf. Verg. Aen. X 555 *truncumque tepentem | provolvens.* || Ϝόλμον] †. *Saxum globosum* (*rolsteen*) significari contextus videtur docere. Pistillum ligneum ita dicitur Hes. Op. 423 Ar. Vesp. 201. || *Ϝ'] adiecimus. Vid. l. parall.

148 ὃ δ'] cf. ad Α 191.

151 ἱππῆες (sic D) ... σφίσι δ' Lehrs] ἱππεῖς ... δέ σφισι. Cf. § 76.

153 δηιόοντες G] -όωντες mss. cett.; cf. § 191.

155-157] similis est comparatio Υ 490-492.

155 ἀξύλῳ] †; Ar. interpretabatur ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο coll. Hesiodi versu (fr. 227 Rzach) τῆλε (τῇδε corr. Hermannus) γὰρ ἀξυλίη κατεπύθετο κήλεα νηῶν.

156 δ' Heyne] τ' mss.; cf. Β 148. An *πάντῃ Ϝειλ.? || εἰλυφάων § 191] -φόων mss.; verbum †, cf. Ϝειλυφάζω Υ 452. || φέρει] l. a. στρέφει.

157 πρόρριζοι] cf. Ι 541. || ἐπειγόμενοι] sic Ar.; alii olim -ου vel -ῃ?

160 ὄχε' ἐκροτάλιζον] ὄχεα κρ. mss. — Verbum † (κρόταλον h. XIII 3). || πτολέμοιο γεφύρας] cf. Δ 371.

162] cf. vs. 395.

163 sq.] spurii videntur; vs. 163-184 del. Duentzer.

165 σφεδανὸν] sic Ar.; nonnisi versu parall. et Φ 542 redit adi. adverbii loco adhibitum, quod a verbo σεύειν ductum videtur (cf. σϜε — σφε), ut πευκεδανός a stirpe πευκ Κ 8.

οἳ παρὰ Fίλου σῆμα παλαιοῦ Δαρδανίδαο,
μέσσον κὰπ πεδίον, παρ' ἐρινεὸν ἐσσεύοντο
Fιέμενοι πόλιος· ὃ δὲ κεκληγὼς ἕπετ' αἰεὶ
Ἀτρεΐδης, λύθρῳ δὲ 'παλάσσετο χεῖρας ἀάπτους.
ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο,
ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον.
οἳ δ' ἔτι κὰμ μέσσον πεδίον 'φοβέοντο βόες ὥς,
ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ
πάσας· τῇ δέ τ' ἰῇ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
τῆς δ' ἐξ αὐχέν' ἔFαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει·
ὣς τοὺς Ἀτρεΐδης ἔφεπε κρείων Ἀγαμέμνων,
178 αἰὲν ἀποκτείνων τὸν ὀπίστατον· οἳ δ' ἐφέβοντο.
181 ἀλλ' ὅτε δὴ τάχ' ἔμελλεν ὑπὸ πτόλιν αἰπύ τε τεῖχος
ἵξεσθαι, τότε δή ῥα πατὴρ ἀνδρῶν τε θεῶν τε
Ἴδης ἐν κορυφῇσι καθέζετο πιδακοέσσης
οὐρανόθεν καταβάς· ἔχε δ' ἀστεροπὴν μετὰ χερσί.
Fῖριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν·
„βάσκ' ἴθι, Fῖρι ταχεῖα, καὶ Ἕκτορι μῦθον ἐνίσπε·
ἧος μέν χ' ὁράῃ Ἀγαμέμνονα, ποιμένα λαῶν,
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν,
τόφρ' ἀναχωρεέτω, τὸν δ' ἄλλον λαὸν ἀνώχθω
μάρνασθαι δηίοισι κατὰ κρατερὴν ὑσμίνην·

169 cf. Υ 503
170 cf. Ζ 237
174^b = Ρ 244
175 sq. = Ρ 63 sq.
175^b = 114
176 cf. Σ 583
178 = Θ 342
181 sq. cf. δ 514 sq.
181^a cf. Κ 365
181^b cf. Ζ 327
184^a = ζ 281 cf. Ρ 545 υ 31
185 sq.^{a} = Θ 398 sq.
187 cf. 202
188 = 203
189 cf. 204
190 sq. = 205 sq.

179 πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων
Ἀτρεΐδα' ὑπὸ χερσί· περὶ πρὸ γὰρ ἔγχε' ἔθυε. — 180^b = Π 699

179 sq. Zen. om., Ar. —; 180 etiam Aristoph.

166 παρὰ Naber] δὲ παρ' mss.; Fick δ' ἐπὶ fortasse recte, obstare tamen videntur Ζ 433 Λ 372 (Χ 145).
167 ἐρινεὸν] cf. Ζ 433.
168 πόλιος § 74] πόλεως mss. || κεκληγὼς] -γγὼς? vid. § 223.
170 φηγὸν] vid. ad Ε 693.
173 νυκτὸς ἀμολγῷ] locutio obsoleta (*tenebras* significari patet) redit Ο 324 Χ 28, 317 δ 841 h. Merc. 7 h. XVII 7.
178 ὀπίστατον] vid. ad Θ 342.
179 πρηνεῖς] forma novicia, cf. § 73.
180 Ἀτρεΐδα(ο) G] Ἀτρείδεω mss. cetera; cf. § 55. || ἔγχε' ἔθυε] ἔγχεϊ θῦεν mss.; cf. § 71.
181 ἔμελλεν] -λλον mss. complura.
183 *πιδακοέσσης] πιδηέσσης mss.; vid. Eur. Andr. 116 et § 69. Adi. †, cf. πῖδαξ Π 825, πολυπῖδαξ saepius.
184 δ' ἀστεροπὴν Ar. A^2 Townl.] δὲ στεροπὴν mss. cett.
185 Fῖριν] Fῖριδα? cf. § 66. || χρυσόπτερον] vid. ad Θ 398.
186 καὶ Nauck] τὸν mss. || ἐνίσπε] ἐνίσπες A, cf. § 149[93].
187 ἧος Nauck] ὄφρ' ἂν mss.; item vs 202 ε 361 ζ 259, cf. Ν 127 Ω 437. || χ' ὁράῃ § 191] κεν ὁρᾷ mss.
189 ἀναχωρεέτω § 191] -ρείτω mss. || τὸν δ' ἄλλον] ἄλλον δ' ἅμα Nauck, item vs. 204.
190 δηίοισι] cf. § 17.

αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε Ϝοι κράτος ἐγγυαλίξω — 192 sq. cf. 207 sq.
κτεινέμεν', εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκηται — 193 cf. *P* 454
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ." — 194 = 209 *P* 455
ὣς ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ϝῖρις, — 195 sq. = *O* 168 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ϝίλιον ἱρήν. — 196ª = *O* 237 *Π* 677 cf. *Θ* 410
ηὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, — 197 = *O* 239
ἑσταότ' ἔν θ' ἵπποισι καὶ ἅρμασι κολλητοῖσι· — 197ᵇ = *I* 651; 198 = *Δ* 366
ἄγχι δέ Ϝ' ἱσταμένη προσέφη πόδας ὠκέα Ϝῖρις· — 199 = *B* 790
„Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε, — 200 = *H* 47
Ζεύς με πατὴρ προέηκε τεΐν τάδε μυθήσασθαι· — 201ᵇ = *δ* 829
ἦος μέν χ' ὁράῃς Ἀγαμέμνονα, ποιμένα λαῶν, — 202 cf. 187
θύνοντ' ἐν προμάχοισιν, ἐναίροντα στίχας ἀνδρῶν, — 203 = 188
τόφρ' ὑποϜεικε μάχης, τὸν δ' ἄλλον λαὸν ἄνωχθι — 204 cf. 189
μάρνασθαι δηίοισι κατὰ κρατερὴν ὑσμίνην· — 205 sq. ≐ 190 sq.
αὐτὰρ ἐπεί κ' ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ
εἰς ἵππους ἅλεται, τότε τοι κράτος ἐγγυαλίξει — 207 sq. cf. 192 sq.
κτεινέμεν', εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκηαι
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ." — 209 = 194
ἢ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπέβη πόδας ὠκέα Ϝῖρις, — 210 = *Θ* 425
Ἕκτωρ δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, — 211ᵇ-214 = *E* 494 sqq.
πάλλων δ' ὀξέε δοῦρε κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν.
οἱ δ' ἐϜελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν,
Ἀργεῖοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας. — 215 = *M* 415 cf. [*Π* 563; 215ª = *H* 419
ἠρτύνθη δὲ μάχη, 'στὰν δ' ἀντίοι· ἐν δ' Ἀγαμέμνων — 216ᵇ sq.ª = 91 sq

---

192 ἅλεται] cf. § 150.

193 sq.] del. Lachmann; cum vs. 208 sq. e libro *P* inserti esse videntur, falsa enim nunc promittit Iuppiter, quoniam Troianos hoc ipso die profligaturus est Patroclus.

193 κτεινέμεν' § 125] κτείνειν mss.

197 ηὗρ' υἱὸν] vid. ad *Δ* 327 *O* 239.

199 *ἄγχι δέ Ϝ'] ἀγχοῦ δ' mss.; cf. § 318.

200 υἱὲ] § 17.

201] imitatur Verg. Aen. IV 268 sq. *ipse deum tibi me claro demittit Olympo | regnator.*

202 ἦος Nauck] ὄφρ' ἂν mss.; vid. ad vs. 187. || χ' ὁράῃς § 191] κεν ὁρᾷς mss.

205 δηίοισι] cf. § 17.

207 ἅλεται] cf. § 150.

208 sq.] vid. ad vs. 193 sq.

208 κτεινέμεν' § 125] κτείνειν mss.

210 ἀπέβη — Ϝῖρις] ἀπεβήσατο μακρὸν Ὄλυμπον mss. pauca.

212 *ὀξέε] ὀξέα mss. || δοῦρε Harl.] δοῦρα mss. cetera. Cf. *E* 495.

213 φύλοπιν] φυλόπιδ'? cf. § 66. || αἰνήν] αἰπήν Genev.; cf. *Θ* 369.

214 (ἐ)Ϝελίχθησαν § 41] ἐλελ. mss.

215 δ' ἑτέρωθεν] l. a. δὲ καὶ αὐτοί.

216 ἠρτύνθη] ἀρτύνθη mss. || ἐν] ἐκ mss. complura; cf. vs. 91.

πρῶτος ὄρουσ᾿, ἔθελεν δὲ πολὺ προμάχεσθαι ἁπάντων.

ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ᾿ ἔχουσαι, 218 sq.[a] = Ξ 508 [sq.
ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθε 218 = Β 484
ἢ αὐτῶν Τρώων ἠὲ κλειτῶν ἐπικούρων.
Ϝιφιδάμας Ἀντηνορίδης, ἠύς τε μέγας τε,
ὃς ᾿τράφ᾿ ἐνὶ Θρηίκῃ ἐριβώλακι, μητέρι μήλων. 222[b] cf. Ι 479
Κισσεὺς τόν γ᾿ ἔθρεψε δόμοισ᾿ ἔνι τυτθὸν ἐόντα 223[b] = Ν 466
μητροπάτωρ, ὃς ἔτικτε Θεανόα καλλιπάρῃον·
αὐτὰρ ἐπεί ῥ᾿ ἥβης ἐρικυδέος ἵκετο μέτρον, 225[b] cf. λ 317
αὐτόθι μιν κατέρυκε, ᾿δίδου δ᾿ ὅ γε θυγατέρα Ϝήν· 226 = Ζ 192
γήμας δ᾿ ἐκ θαλάμοιο μετὰ κλέος ἵκετ᾿ Ἀχαιῶν
σὺν δύο καὶ δέκα νηυσὶ κορωνίσιν, αἵ Ϝοι ἕποντο.
τὰς μὲν ἔπειτ᾿ ἐν Περκώτῃ ᾿λίπε νῆας ἐϜίσας,
αὐτὰρ ὃ πεζὸς ἐὼν εἰς Ϝίλιον εἰληλούθει· 230 cf. Ε 204
ὅς ῥα τότ᾿ Ἀτρεΐδα᾿ Ἀγαμέμνονος ἀντίος ἦλθε.
οἳ δ᾿ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾿ ἀλλήλοισιν ἰόντες, 232 sq. = Ν 604 [sq.
Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ Ϝοι ἐτράπετ᾿ ἔγχος, 232 = Γ 15
Ϝιφιδάμας δὲ κατὰ ζώνην, θώρηκος ἔνερθε,
᾿νύξ᾿, ἐπὶ δ᾿ αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας· 235 = Ρ 48
οὐδ᾿ ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
ἀργύρῳ ἀντομένη, μόλιβος ὥς, ἐτράπετ᾿ αἰχμή.
καὶ τό γε χειρὶ λαβὼν εὐρὺ κρείων Ἀγαμέμνων
εἷλκ᾿ ἐπὶ Ϝοὶ μεμαὼς ὥς τε λίς, ἐκ δ᾿ ἄρα χειρὸς
᾿σπάσσατο· τὸν δ᾿ ἄορι ᾿πλῆξ᾿ αὐχένα, ᾿λῦσε δὲ γυῖα.

---

219 *ἀντίος* Zen. Aristoph.] *-ον* Ar. et mss. complura; vid. ad *Ζ* 54.

221] vid. ad *Λ* 9.

222 *τράφ᾿ ἐνὶ* Buttmann] *τράφη ἐν* (*ἐνὶ* L) mss.; cf. § 252. Christ *τράφεν ἐν* (cf. *Γ* 201). || *Θρηίκῃ*] cf. § 17. || *μήλων*] *θηρῶν* Zen. male ex *Θ* 47.

223 *Κισσεὺς* Z] *Κισσῆς* mss. cett.; Menrad *Κισσείας δέ Ϝ᾿ ἔθρεψε.*

224 *μητροπάτωρ*] †. || *ἔτικτε*] *τίκτε* mss. || *Θεανόα* § 77] *-νὼ* mss.

226 *αὐτόθι* § 322] *αὐτοῦ* mss.

227 *μετὰ κλέος*] cf. *Ν* 364 *ν* 415.

230 *ἐὼν*] alii olim *ἰὼν*, vid. ad *λ* 58.

231 *Ἀτρεΐδα᾿* § 55] *-δεω* mss.

233] in schol. legitur observatio futilis, ceteris Iliadis locis pugnantes primo non secundo ictu vincere.

234 *ζώνην*] vid. *Β* 479. Non recte Ar. hic *ζωστῆρα* interpretabatur (cf. Lehrs Arist.[2] p. 123). || *θώρηκος ἔνερθε*] *in ima thoracis parte.*

237 *μόλιβος*]†, cf. *μολύβδαινα* *Ω* 80; PKnight *μόλυβος.*

238 *τό*] sc. *ἔγχος*, quod e voce *αἰχμή* eliciendum est (cf. vs. 233).

239 *εἷλκ᾿*] *ἕλκ᾿* mss. || *χειρὸς*] sc. Iphidamantis.

ὣς ὃ μὲν αὖθι πεσὼν ’κοιμήσατο χάλκεον ὕπνον
οἰκτρὸς, ἀπὸ μνηστῆς ἀλόχου, Ϝαστοῖσιν ἀρήγων,
κουριδίης, ἧς οὔ τι χάριν ’Ϝίδε, πολλὰ δ’ ἔδωκε· —
πρῶθ’ ἑκατὸν βοῦς ’δῶκεν, ἔπειτα δὲ χίλι’ ὑπέστη,
αἶγας ὁμοῦ καὶ ὄις, τά Ϝοι ἄσπετα ’ποιμαίνοντο· —
δὴ τότε Ϝ’ Ἀτρεΐδης Ἀγαμέμνων ἐξενάριξε,
’βῆ δὲ φέρων ἀν’ ὅμιλον Ἀχαιῶν τεύχεα καλά.
τὸν δ’ ὡς οὖν ἐνόησε Κόων, ἀριδείκετος ἀνδρῶν, 248ᵃ = *E* 95
πρεσβυγενὴς Ἀντηνορίδης, κρατερόν ῥά Ϝε πένθος
ὀφθαλμοὺς ἐκάλυψε κασιγνήτοιο πεσόντος.
’στῆ δ’ εὐρὰξ σὺν δουρὶ, λαθὼν Ἀγαμέμνονα δῖον, 251ᵃ = *O* 541
’νύξε δέ μιν κατὰ χεῖρα μέσην, ἀγκῶνος ἔνερθε,
ἄντικρυς δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή. 253 cf. *τ* 453
’ρίγησεν δ’ ἄρ’ ἔπειτα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων, 253ᵃ = *E* 100; 253ᵇ cf. *Ψ* 821
ἀλλ’ οὐδ’ ὧς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο, 254 = *Δ* 148; 255ᵇ = *H* 263
ἀλλ’ ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος.
ἦ τοι ὃ Ϝιφιδάμαντα κασίγνητον καὶ ὄπατρον 257ᵇ cf. *M* 371
εἷλκε ποδὸς μεμαὼς, καὶ ἀύτεε πάντας ἀρίστους·
τὸν δ’ ἕλκοντ’ ἀν’ ὅμιλον ὑπ’ ἀσπίδος ὀμφαλοέσσης
οὔτασσε ξυστῷ χαλκήρεϊ, ’λῦσε δὲ γυῖα· 260 = *Δ* 469
τοῦ δ’ ἐπὶ Ϝιφιδάμαντι κάρη ἀπέκοψε παραστάς.
ἔνθ’ Ἀντήνορος υἷες ὑπ’ Ἀτρεΐδῃ βασιλῆι
πότμον ἀναπλήσαντες ἔδυν δόμον ἌϜιδος εἴσω. 263ᵇ cf. *Γ* 322
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλέετο στίχας ἀνδρῶν 264 sq. = 540 sq.; 264ᵇ = *Δ* 231
ἔγχεΐ τ’ ἄορί τε μεγάλοισί τε χερμαδίοισι, 265ᵇ = *N* 323
ὄφρα Ϝοι αἷμ’ ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.

---

241 *χάλκεον ὕπνον*] cf. Verg. Aen. X 745 sq. et *σιδήρεος θυμός, -ον ἦτορ, -η κραδίη* *X* 357 *Ω* 205 *δ* 293 etc.

242 *οἰκτρὸς, ἀπὸ*] Nauck *οἶος ἄτερ* coniecit. || *Ϝαστοῖσιν*] nonnisi *ν* 192 redit.

246 Ϝ’ Nauck] *γ’* mss.

249 *πρεσβυγενὴς*] †.

251 *εὐρὰξ*] hic et versu parallelo; *ἐκ πλαγίου* (*a latere*) interpretantur.

253 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.

254 *δ’* A²] *τ’* mss. cett.

256 *ἀνεμοτρεφὲς*] cuius lignum firmavit ventorum quassantium vis. Adiectivum nonnisi *O* 625 redit, ubi *maris* est epitheton.

257 *ὄπατρον*] de hoc adi., quod *M* 371 redit, vid. ad *B* 765.

258 *εἷλκε*] *ἕλκε* mss. || *ἀύτεε* § 191] *-τει* mss.

260 **οὔτασσε*] *οὔτησεν* mss., cf. § 150.

261 *τοῦ δ’ ἐπὶ* Bentley] *τοῖο δ’ ἐπ’* mss.

262 sq. *υἷες … ἀναπλήσαντες*] *υἷε … -σαντε* verum videtur.

263 *ἔδυν*] *ἔβαν* mss. complura.

264 *ἐπεπωλέετο* § 191] *-λεῖτο* mss.

266 *ἀνήνοθεν*] Ar. *ἐνήνοθεν*? vid. *ρ* 270. De verbo cf. *B* 219. || *ὠτειλῆς*] vid. *Δ* 140.

αὐτὰρ ἐπεὶ τὸ μὲν ἕλκος ἐτέρσετο, ’παύσατο δ’ αἷμα, 267b = 848
ὀξεῖαι δ’ ὀδύναι ’δῦνον μένος Ἀτρεΐδαο,
ὡς ὅτε κ’ ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα,
δριμύ, τό τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι, 270 cf. Π 187 T 103 h. Ap. 97, 115
Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι.
εἰς δίφρον δ’ ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε 273 sq. = 399 sq.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν’· ἤχθετο γὰρ κῆρ. 274a = E 327
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς· 275 sq. = 586 sq. P 247 sq. 275 = Θ 227
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ὕμες μὲν νῦν νηυσὶν ἀμύνετε ποντοπόροισι 276 = B 79
φύλοπιν ἀργαλέην, ἐπεὶ οὐκ ἐμὲ μητιέτα Ζεὺς
εἴασε Τρώεσσι πανημέριον πολεμίζειν.“ 279b cf. T 168
ὣς ἔφαθ’, ἡνίοχος δ’ ἵμασεν καλλίτριχας ἵππους 280 sq.a cf. P 624 sq.
νῆας ἔπι γλαφυράς· τὼ δ’ οὐκ ἀϝέκοντ’ ἐπετέσθην· 281b = E 366
στήθεα δ’ ἤφριζον, ’ραίνοντο δὲ νέρθε κονίῃ,
τειρόμενον βασιλῆα μάχης ἀπάνευθε φέροντες.

Ἕκτωρ δ’ ὡς ἐνόησ’ Ἀγαμέμνονα νόσφι κιόντα, 284 cf. Ξ 440 [sqq.
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας· 285-287 = O 485; 285 sq. = O 424 sq.; 285 cf. Θ 172
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 286 sq. = Θ 173 sq.
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς. 287 = Z 112
οἴχετ’ ἀνὴρ ὄχ’ ἄριστος, ἐμοὶ δὲ μέγ’ εὖχος ἔδωκε 288b cf. E 285
Ζεὺς Κρονίδης. ἀλλ’ ἰθὺς ἐλαύνετε μώνυχας ἵππους
ἰφθίμων Δαναῶν, ἵν’ ὑπέρτερον εὖχος ἄρησθε.“
ὣς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου. 291 = E 470

272 ὡς ὀξεῖ’ ὀδύναι ’δῦνον μένος Ἀτρεΐδαο.

269 ὡς Cobet] ὡς δ’ mss.; vid. ad vs. 272. || ὅτε κ’ § 326] ὅτ’ ἂν mss.

270 μογοστόκοι] epitheton obscurum (-τόκος an -στόκος?) redit Π 187 T 103 h. Ap. 97, 115.

271 ὠδῖνας] † (ὠδίνω Λ 269 ι 415 h. Ap. 45). || ἔχουσαι] *moderantes*; cf. α 53.

272] delevit Cobet. Ferri nequit ultima syllaba vocis ὀξεῖαι elisa, nominativi enim in -αι vel -οι exeuntes non decurtantur elisione; Bentley ὀξεῖ’ ὀδύνη δῦνεν, quam coniecturam suadet versus 398 sed damnat vs. 268.

274 ἐλαυνέμεν’] -νειν mss. nonnulla; cf. § 125.

275 γεγωνώς] cf. § 260.

277 ὕμες § 92] ὑμεῖς mss.

278 φύλοπιν] -λόπιδ’? cf. § 66.

281 ἀϝέκοντ’(ε)] ἄκοντε mss. pleraque.

282 *στήθεα δ’ ἤφριζον] ἄφρεον δὲ στήθεα mss. metro horrido. Nauck στήθεα δ’ ἀφρίαον, Christ στήθεα δ’ ἀφρεέτην; paulo lenior videtur nostra correctio, cf. Soph. El. 719. Verbum ἀφρίζω (ἀφρέω) †.

288 ὄχ’ ἄριστος PKnight] ὤριστος mss. Cf. § 9.

290 ὑπέρτερον] -ροι Ar.; cf. κῦδος ὑπέρτερον *victoriae gloriam* M 437 O 491.

291 θυμόν τε Bentley] καὶ θυμὸν mss.

ὡς δ' ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας
σεύῃ ἐπ' ἀγροτέρῳ συῒ καπρίῳ ἠὲ λέοντι,
ὣς ἐπ' Ἀχαιοῖσιν 'σεῦε Τρῶας μεγαθύμους
Ἕκτωρ Πριαμίδης, βροτολοιγῷ ϝῖσος Ἄρηι. 295b = N 802 ϑ 115 cf. M 130 Y 46
αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει, 296b = N 156 X 21
ἐν δ' ἔπεσ' ὑσμίνῃ ὑπεραέι ϝῖσος ἀέλλῃ,
ἥ τε καθαλλομένη ϝιοϝειδέα πόντον ὀρίνῃ.
ἔνθα τίνα πρῶτον, τίνα δεύτατον ἐξενάριξε 299 cf. E 703
Ἕκτωρ Πριαμίδης, ὅτε ϝοι Ζεὺς κῦδος ἔδωκε; 300 = Θ 216
Ἀσαῖον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ὀπίτην
καὶ Δόλοπα Κλυτίδην καὶ Ὀφέλτιον ἠδ' Ἀγέλαον
Αἴσυμνόν τ' Ὦρόν τε καὶ Ἱππόνοον μενεχάρμην.
τοὺς ἄρ' ὅ γ' ἡγεμόνας Δαναῶν ἕλεν, αὐτὰρ ἔπειτα
πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξῃ 305 sq. cf. Φ 334 sq.
ἀργεστᾶο Νότοιο, βαθείῃ λαίλαπι θύων· —
πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόσε δ' ἄχνη
σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ϝιωῆς· —
ὣς ἄρα πυκνὰ καρήαθ' ὑφ' Ἕκτορι 'δάμνατο λαῶν.
ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ϝέργ' ἐγένοντο, 310 sq.a = Θ 130 sq.
καί νύ κεν ἐν νήεσσ' ἔπεσον φεύγοντες Ἀχαιοί,
εἰ μὴ Τυδεΐδῃ Διομήδεϊ 'κέκλετ' Ὀδυσσεύς·
„Τυδεΐδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο· δὴ γὰρ ἔλεγχος 314a = P 179 χ 233
ἔσσεται, εἴ κεν νῆας ἕλῃ κόρυθ' αἰόλος Ἕκτωρ."
τὸν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης·

---

292 πού τις] *τίς ποθι? cf. § 322.

297 ὑπεραέι] sic Ar., alii olim ὑπὲρ οὔρεος. Adi. ὑπεραής †.

298 *ὀρίνῃ] -νει mss.

299 δεύτατον Naber] δ' ὕστατον mss., cf. E 703.

300 ὅτε — ἔδωκε] βροτολοιγῷ ἶσος Ἄρηι (= vs. 295) A.

301] vid. ad Α 9. || Ἀσαῖον] Ἀσσαῖον Fick (propter *Assi* urbis nomen).

305 νέφεα Ζέφυρος] Ζέφυρος νέφεα L Z Strab. I p. 29, quod praefert Christ.

306 βαθείῃ] βαρείῃ Nauck, quod tamen adi. de procella usurpatum non invenitur, vulgata autem coll. Α 747 ι 144 videtur posse defendi. || θύων Nauck] τύπτων mss.

307 τρόφι] †, *spissum*; vid. τροφόεις Ο 621 γ 290 et ad ε 388.

308 πολυπλάγκτοιο] hic transit., alias (ρ 425 etc.) de ipsis errantibus dicitur.

309 καρήαθ'] cf. § 82. Fortasse κάρηνα fuit olim, cf. vs. 158, 500.

310 ἔην] ἔεν? vid. § 302. || ϝέργ' ἐγένοντο] ἔργα γένοντο mss. pleraque.

311 νήεσσ' ἔπεσον] -σσι πέσον mss.

313 τί παθόντε] Atticum loquendi genus nonnisi ω 106 redit.

314 ἵστασο] Zen. Ar. ἵσταο? vid. Κ 291.

315 εἴ — Ἕκτωρ] l. a. εἴ κεν Τρῶες <ἀγανοὶ Ludwich> νῆας ἕλωσι.

„ἦ τοι ἐγὼ μενέω καὶ τλήσομαι· ἀλλὰ μίνυνθα
ἥμων ἔσσεται ἦδος, ἐπεὶ νεφεληγερέτα Ζεὺς
Τρωσὶν δὴ βόλεται δόμεναι κράτος ἠέ περ ἧμιν.“
ἦ, καὶ Θυμβραῖον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε, 320 cf. 143
δουρὶ βαλὼν κατὰ μαζὸν ἀριστερόν. αὐτὰρ Ὀδυσσεὺς
ἀντίθεον θεράποντα Μολίονα τοῖο Ϝάνακτος.
τοὺς μὲν ἔπειτ' εἴασαν, ἐπεὶ πολέμοι' ἀπέπαυσαν·
τὼ δ' ἀν' ὅμιλον ἰόντε 'κυδοίμεον, ὡς ὅτε κάπρω
ἐν κυσὶ θηρητῆρσι μέγα φρονέοντε πέσητον·
ὣς ὄλεκον Τρῶας πάλιν ὀρμένω· αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον.
ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω, 328^b = Μ 447
υἶε δύω Μέροπος Περκωσίου, ὃς περὶ πάντων 329-332 = Β 831 sqq.
'Ϝείδεε μαντοσύνας, οὐδὲ Ϝοὺς παῖδας ἔασκε
στειχέμεν' εἰς πόλεμον φθισήνορα· τὼ δέ Ϝοι οὔ τι
'πειθέσθην, κῆρες γὰρ ἄγον μέλανος θανάτοιο.
τοὺς μὲν Τυδεΐδης δουρὶ κλειτὸς Διομήδης
θυμοῦ καὶ ψυχῆς κεκαδὼν κλυτὰ τεύχε' ἀπέϜρα·
Ἱππόδαμον δ' Ὀδυσεὺς καὶ Ὑπείροχον ἐξενάριξε.
ἔνθα σφιν κατὰ Ϝῖσα μάχην ἐτάνυσσε Κρονίων
ἐξ Ἴδης καθορῶν· τοὶ δ' ἀλλήλους ἐνάριζον.
ἦ τοι Τυδέος υἱὸς Ἀγάστροφον οὔτασε δουρὶ
Παιονίδην ἥρωα κατ' ἰσχίον· οὐδέ Ϝοι ἵπποι
ἐγγὺς ἔσαν προφυγεῖν, ἀάσσατο δὲ μέγα θυμῷ. 340^b = Ι 537

317 sq. *ἀλλὰ — ἦδος*] *sed non diu prodesse poterimus nostris*, cf. Α 576 Σ 80 etc.

318 *ἥμων* § 92] *ἡμῶν* Eust., *ἡμέων* mss. cett. || *ἦδος*] sine Ϝ, cf. § 41³.

319 *βόλεται* Ar.] forma suspecta, vid. tamen (α 234 et) π 387 et § 259; *βούλεται* mss. pleraque metro invito. Praeterea displicet, licet aliis quoque locis multis sit obvia, syllaba *-σι* ope litterae mobilis in thesi producta; vid. § 30. Utrumque incommodum vites scribendo *Τρωσὶ κράτος δόμεναι δὴ* (melius *πολὺ*) *βούλεται*, sic tamen *-σι κρ.* in pede 1° suspicione non caret, vid. § 25. || *δόμεναι* § 125] *δοῦναι* mss.

323 *εἴασαν . . . ἀπέπαυσαν*] *-σεν . . . -σαν* Lips., *-σεν . . . -σεν* D H. || *πολέμοι'* § 59] *-μου* mss.

325 *θηρητῆρσι*] *θηρευτῆρσι* l. a. in schol., *θηρευτῆσι* mss.; cf. Μ 41. Vox *θηρητήρ* apud Hom. compluribus locis extat, *-τής* nonnisi his duobus invenitur.

326 *πάλιν*] *e fuga denuo in hostem conversi*, ut explicant schol.

327 *ἀσπασίως*] vid. ad Σ 270.

328 *ἀνέρε δήμου*] cf. Β 198.

329] Meropis filii sunt *Adrastus* et *Amphius* (Β 830), quorum ille etiam Ζ 63 occiditur.

330 *'Ϝείδεε*] *ᾔδεε* mss. || *οὐδὲ Ϝοὺς*] *οὐδ' ἑοὺς* mss. male. Cf. Β 832.

331 *στειχέμεν'* § 125] *-χειν* mss.

333 *κλειτὸς*] *κλυτὸς* mss. pauca metro invito.

334 *ἀπέϜρα* § 150] *ἀπηύρα* mss.

339 *οὐδέ οἱ* H] *οὐ γάρ οἱ* mss. pleraque, l. a. *οὐδὲ γάρ*.

340 *ἀάσσατο* § 287] *ἀάσατο* mss.

τοὺς μὲν γὰρ θεράπων ἀπάνευθ' ἔχεν, αὐτὰρ ὃ πεζὸς
'θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν.
Ἕκτωρ δ' ὀξὺ 'νόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς
κεκληγώς· ἅμα δὲ Τρώων εἵποντο φάλαγγες.
τὸν δὲ Ϝιδὼν 'ρίγησε βοὴν ἀγαθὸς Διομήδης,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα·
„νῶιν δὴ τόδε πῆμα κυλίνδεται, ὄβριμος Ἕκτωρ·
ἀλλ' ἄγε δὴ στάομεν καὶ ἀλεξώμεσθα μένοντες."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ 'βάλεν οὐδ' ἀφάμαρτε, τιτυσκόμενος κεφαλῆφι,
ἄκρην κὰκ κόρυθα· 'πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκὸς,
οὐδ' ἵκετο χρόα καλόν· ἐρύκακε γὰρ τρυφάλεια
τρίπτυχος αὐλῶπις, τήν Ϝοι 'πόρε Φοῖβος Ἀπόλλων.
Ἕκτωρ δ' ὦκ' ἀπέλεθρον ἀνέδραμε, 'μίκτο δ' ὁμίλῳ,
'στῆ δὲ γνὺξ ἐριπὼν καὶ 'δράξατο χειρὶ παχείῃ
γαίης· ἀμφὶ δέ Ϝ' ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.
ὄφρα δὲ Τυδεΐδης μετὰ δούρατος ᾤχετ' ἐρωὴν
τῆλε διὰ προμάχων, ὅθι Ϝοι κατεϜίσατο γαίης,
τόφρ' Ἕκτωρ ἄμπνυτο, καὶ ἂψ εἰς δίφρον ὀρούσας
ἐξέλασ' εἰς πληθὺν καὶ ἀλεύατο κῆρα μέλαιναν.
δουρὶ δ' ἐπαΐσσων προσέφη κρατερὸς Διομήδης·
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν εἰς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ ποθί τις καὶ ἐμοί γε θεῶν ἐπιτάρροθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιϜίσομαι, ὅν κε κιχήω."

341ª cf. Δ 227
342 = Γ 412
342ª cf. E 250
343ᵇ sq. = E 590 sq.
345 = E 596
346 = χ 163 cf. I 201 Δ 464 P 484 χ 355
348 = X 231
349 = Γ 355
350ª = N 160
353ᵇ = Λ 72
354ᵇ = Π 813
355 cf. E 309
355ª = Θ 329
356 = E 310
360ᵇ = Γ 360
361 = K 369
362-367 = Γ 449 sqq.
363ᵇ cf. E 344

356 (immo 355 et 356) Zen. om., Aristoph. Ar. —

342 ἧος § 323] εἵως mss.
344 κεκληγώς] *-γγώς? vid. § 223.
345 'ρίγησε] ἐνόησε mss. pauca (cf. vs. 599).
348 στάομεν § 122] στέωμεν vel στέομεν mss., sed analogia poscit α, cf. ἑσταότος et vid. § 17. || μένοντες] μένοντε Zen. Cf. P 721.
353 τρίπτυχος] † (δίπτυχος saepius, vid. ad ν 224).
355 *'δράξατο] ἐρείσατο mss.; cf. E 309.
356 Ϝ' vHerwerden] cf. E 310 Λ 417.
358 κατεϜίσατο § 201] καταείσατο mss. || γαίης] γαίῃ mss. pauca, quam lectionem peperisse videtur error formam verbi a Ϝείδομαι repetentium.
359 ἄμπνυτο] ἔμπνυτο Aristarchum scripsisse putat LaRoche coll. E 697.
363 ἐρύσατο § 164] sunt qui αὖ σε Ϝερύσσατο (*periculo subduxit*) praeferant.
365 ἐξανύω] cf. § 147.
366 ποθί § 322] πού mss. || ἐστι] l. a. εἴη.
367 νῦν] νῦν δ' D. || ἐπιϜίσομαι § 201] ἐπιείσομαι mss. || κιχήω § 122] κιχείω mss.

ἦ, καὶ Παιονίδην δουρὶ κλυτὸν ἐξενάριξε.
αὐτὰρ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 369 cf. Γ 329
Τυδεΐδῃ ἐπὶ τόξα ’τιταίνετο, ποιμένι λαῶν, 370 cf. Ε 97
στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
Ϝίλου Δαρδανίδαο, παλαιοῦ δημογέροντος.
ἦ τοι ὃ μὲν θώρηκα Ἀγαστρόφου ἰφθίμοιο
ἤνυτ’ ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ’ ὤμων
καὶ κόρυθα βριαρήν· ὃ δὲ τόξου πῆχυν ἀνεῖλκε 375a = Χ 112
καὶ ’βάλεν, οὐδ’ ἄρα Ϝοι ἅλιον βέλος ἔκφυγε χειρός, 375b = Ν 583 · 376b = Ε 18 Π 480
ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ’ ἀμπερὲς ἰὸς
ἐν γαίῃ κατέπηκτο. ὃ δὲ μάλα Ϝηδὺ γελάσσας
ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος Ϝέπος ηὔδα·
„βέβλησ’, οὐδ’ ἅλιον βέλος ἐξέφυγ’· ὡς ὄφελόν τοι
νείατον εἰς κενεῶνα βαλὼν ἐκ θυμὸν ἑλέσθαι. 381a = Ε 857
οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος,
οἵ τέ σε πεφρίκασι, λέονθ’ ὡς μηκάδες αἶγες.“
τὸν δ’ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης· 384 = Ε 286
„τοξότα, λωβητὴρ, κέρα’ ἀγλαὲ, παρθενοπῖπα,
εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθήῃς,
οὔ κέν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί· 387a cf. Γ 54
νῦν δέ μ’ ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. 387b = χ 246

---

368 ἐξενάριξε(ν)] sic Zen., -ξεν Ar. A.

371 ἀνδροκμήτῳ] † (πολύκμητος saepius). || τύμβῳ] ἔργῳ C.

372 δημογέροντος] cf. Γ 149.

374 ἤνυτ’] αἴνυτ’ mss.

375 πῆχυν] sic media arcus pars, ubi cornua in unum sunt iuncta (cf. Δ 110), etiam Ν 583 φ 419 dicitur. || ἀνεῖλκε] ἄνελκεν A.

376 Ϝοι Bentley] μιν mss. (de producto μιν vid. ad Ε 385).

377 ταρσὸν] *pedis plantam*; nonnisi vs. 388 redit; alia vox est ι 219.

378 κατέπηκτο] forma insolita (cf. § 241); vHerwerden κατεπήχθη, Nauck γαίῃ ἐνεστήρικτο coll. Φ 168.

380 βέβλησ’ § 117] βέβλη’ H, βέβληαι mss. cetera. || ἐξέφυγ’] ἔκφυγεν mss.

385 τοξότα] †, cf. τοξευτής Ψ 850. || κέρα’(ι) § 72] κέραι Ar. Alexio A, κέρα (plur.) mss. multa. Vocem κέρας *arcum* interpretabatur Ar. („Aristoteles” cod., corr. Spitzner), melius glossographi *cincinnum* (cf. πλοχμοί Ρ 52), item Iuvenalis XIII 165 *madido torquentem cornua cirro*. Vid. Γ 55. Sic Archilochus κεροπλάστην appellavit iuvenem delicatulum fr. 59 Bergk (schol. Ω 1), quales homines βοστρύχοισι γαύρους appellat idem fr. 60; hinc autem fluxit lusus in Theocr. Syring. 3, vid. praeterea Helbig Epos[1] p. 166. Plane vero ridicule Aristoteles (vel quisquis fuit) apud Eustathium et in Et. M. 531,29 contendit voce κέρας indicari τὸ αἰδοῖον; qui tamen suos sectatores invenit, vid. Meleagri epigramma 5. || παρθενοπῖπα] †, l. a. παρθενοπῖα (= παρθένοις ἐοικώς? an a verbo ὀπυίω?). Ducta est vox a verbo ὀπιπεύειν; vid. τ 67 et ad Δ 371.

386 δὴ ἀντίβιον] vid § 8 et vs. 138. || *πειρηθήῃς] -θείης mss.

387 οὔ κέν § 326] οὐκ ἄν mss.

388 ταρσὸν] ταρσῷ Apoll. lex. — De voce vid. ad vs. 377.

οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάϊς ἄφρων·
κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.
ἦ τ᾽ ἄλλως ὑπ᾽ ἐμεῖο, καὶ εἴ κ᾽ ὀλίγον περ ἐπαύρῃ,
ὀξὺ βέλος πέτεται, καὶ ἀκήριον αἶψα τίθησι·
τοῦ δὲ γυναικὸς μέν τ᾽ ἀμφίδρυφοί εἰσι παρειαί,
παῖδές τ᾽ ὀρφανικοί· ὃ δέ θ᾽ αἵματι γαῖαν ἐρεύθων
πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες.“
ὣς ᾽φάτο, τοῦ δ᾽ Ὀδυσεὺς δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν — 396[b] = Ε 72
ἔστη πρόσθ᾽. ὃ δ᾽ ὄπισθε καθεζόμενος βέλος ὠκὺ
ἐκ ποδὸς εἷλκ᾽, ὀδύνη δὲ διὰ χροὸς ἦλθ᾽ ἀλεγεινή·
εἰς δίφρον δ᾽ ἀνόρουσε, καὶ ἡνιόχῳ ἐπέτελλε — 399 sq. = 273 sq.
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν᾽, ἤχθετο γὰρ κῆρ.
ϝώθη δ᾽ Ὀδυσεὺς δουρὶ κλυτὸς, οὐδ᾽ ἔτι τίς Ϝοι
Ἀργεΐων παρέμεινεν, ἐπεὶ τρόμος ἔλλαβε πάντας·
ὀχθήσας δ᾽ ἄρ᾽ ἔϜειπε ποτὶ μεγαλήτορα θυμόν· — 403 sq.[a] = ε 464 sq. 403 = Ρ 90 Σ 5 Υ 343 etc.
„ὤ μοι ἐγὼ, τί πάθω; μέγα μὲν κακὸν, αἴ κε φέβωμαι
πληθὺν ταρβήσας· τὸ δὲ ῥίγιον, αἴ κε Ϝαλώω
μοῦνος· τοὺς δ᾽ ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; — 407 = Ρ 97 Φ 562 Χ 122, 385
Ϝοῖδα γάρ ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο,
ὃς δέ κ᾽ ἀριστεύῃσι μάχῃ ἔνι, τὸν δὲ μάλα χρὴ
ἑστάμεναι κρατερῶς, ἤ τ᾽ ἔβλητ᾽ ἤ τ᾽ ἔβαλ᾽ ἄλλον.“
ἧος ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, — 411 sq.[a] = Ρ 106 sq. 411 = Λ 193

---

390 κωφὸν] *obtusum.* Maris tacita unda dicitur κωφόν Ξ 16, terra quae non exaudit Ω 54 (homo surdus h. Merc. 92).

391 ἄλλως] *multo magis.* Aliter adhibitum est adv. loco simillimo Υ 99. || ἐπαύρῃ Ar. mss.] l. a. -ρω.

392 πέτεται Eust.] πέλεται mss. cett., quod propter praepositionem ὑπό vix potest ferri. Cf. Υ 99. || αἶψα] ἄνδρα Ar.

393 ἀμφίδρυφοί] cf. Β 700.

394 τ᾽] δ᾽ A[1]. || ἐρεύθων] verbum redit Σ 329 (ἐρυθρός passim).

395 οἰωνοὶ — γυναῖκες] cf. vs. 162. || πλέες] cf. Β 129 et § 87.

397 ὠκὺ] l. a. ὀξὺ apud Eust., quod de telo vulneri iam inhaerenti aptius, ideoque fortasse recipiendum; vid. praeterea vs. 392.

400 ἤχθετο γὰρ κῆρ] l. a. ὠκέας ἵππους.

401 ϝώθη] οἰώθη mss.; verbum etiam Ζ 1 legitur. || *οὐδ᾽ ἔτι τίς Ϝοι] οὐδέ τις αὐτῷ mss.; Hoogvliet correxerat οὐδ᾽ ἔτι Ϝοί τις.

402 τρόμος Duentzer] φόβος Ar. mss.; vid. lectio Zenodoti Σ 247 Τ 14 et quae adnotavimus ad Ο 327.

403 ἄρ᾽ ἔϜειπε] ἄρα εἶπε mss. || *ποτὶ] πρὸς ὃν mss. (vitiose pro Ϝὸν). Bentley Ϝεῖπε Ϝεὸν (immo Ϝεῖπεν ἑϜὸν) coll. Μ 60, 210 al., sed praepositio abicienda non videtur; Heyne ἔφη πρὸς Ϝόν. Vitium locis parall. redit. Lenior videtur correctio quam adhibuimus quam altera nostra coniectura *᾽Ϝεῖπε δ᾽ ἄρ᾽ ὀχθήσας πρὸς Ϝὸν etc., quamquam huic favent versus Ρ 200, 442 ε 285, 376.

409 χρὴ PKnight] χρεὼ (χρειὼ G L) mss.; vid. § 8.

411 ἧος § 323] ἕως mss.

τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων, 412 = Δ 221
'Ϝέλσαν δ' ἐν μέσσοισι μετὰ σφίσι πῆμα τιθέντες.
ὡς δ' ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ' αἰζηοὶ 414 sq.ª cf. Γ 26
σεύωνται, ὃ δέ τ' εἶσι βαθείης ἐκ ξυλόχοιο 415^{b} = Φ 573
θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσι,
ἀμφὶ δέ Ϝ' αἴσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων 417^{b} = Μ 149
γίγνεται, οἳ δὲ μένουσιν ἄφαρ, δϜεινόν περ ἐόντα·
ὥς ῥα τότ' ἀμφ' Ὀδυσῆα Διὶ φίλον ἐσσεύοντο
Τρῶες. ὃ δὲ πρῶτον μὲν ἀμύμονα Δηιοπίτην
οὔτασεν ὦμον ὕπερθ' ἐπιάλμενος ὀξέι δουρί, 421^{b} = Ε 336
αὐτὰρ ἔπειτα Θόωνα καὶ Ἔννομον ἐξενάριξε·
Χερσιδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀίξαντα 423 cf. Υ 401
δουρὶ κατὰ πρότμησιν ὑπ' ἀσπίδος ὀμφαλοέσσης
'νύξεν, ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 425^{b} = Ν 508. 520 Ξ 452 Ρ 315
τοὺς μὲν ἔασ', ὃ δ' ἄρ' Ἱππασίδην Χάροπ' οὔτασε δουρί, 426^{a} = Ε 148
αὐτοκασίγνητον ἐυηφενέος Σώκοιο.
τῷ δ' ἐπαλεξήσων Σῶκος 'κίε, Ϝισόθεος φώς·
'στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καί μιν πρὸς μῦθον ἔϜειπε· 429^{a} = Δ 496
„ὦ Ὀδυσεῦ πολύαινε, δόλων ἄατ' ἠδὲ πόνοιο,
σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι,
τοιώδ' ἄνδρε κατακτείνας καὶ τεύχε' ἀποϜράς,
ἤ κεν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃς.“ 433 cf. Μ 250 Π [861 Σ 92
ὣς Ϝειπών Ϝ' οὔτασσε κατ' ἀσπίδα πάντοσ' ἐϜίσην. 434 = Ρ 43 cf. Φ 400
434^{b}-436 = Γ 356 sqq.

---

413 δ' ἐν] δὲ Nauck. || τιθέντες] δὲ ἕλσαν Zen.

414-418] imitatur Verg. Aen. X 707 sqq.

415 σεύωνται] -ονται mss. nonnulla.

417 δέ Ϝ' vHerwerden] δέ τ', τε, τ' mss. Cf. Ε 310 Λ 356. || ὑπαὶ] *interim*, item Μ 149 et ὑπὸ Θ 380.

421 *ὕπερθ' ἐπιάλμενος] -θεν ἐπάλμενος vel -θε μετάλμενος mss. || δουρὶ] l. a. χαλκῷ.

422 Ἔννομον] Ὄρμενον mss. nonnulla.

423 ἀίξαντα] ἀίσσοντα mss. multa.

424 πρότμησιν Ar. mss.] †, *umbilicum*; cf. τομή Λ 235. L. a. πρόσμησιν (aut πρότμηστιν).

425 ἀγοστῷ] *palma*? Incertae originis vox nonnisi locis parall. redit.

426 ὃ δ'] vid. ad Λ 191.

427 ἐυηφενέος] ἐυηγενέος mss. lingua invita. Veram lectionem Rhianus et Aristophanes habebant Ψ 81, et hoc quoque loco eos habuisse statuit Nauck (Aristoph. Byz. p. 50); recte autem Clearchus in Glossis docuit ex ἐυ- et ἄφενος formatum esse adiectivum ἐυηφενής, quod extat etiam in titulo Thasio (Bechtel Ion. Dial. II 13); cf. κατηρεφής ὑπήνεμος etc. § 21. Vitiosam vero lectionem -γενέος imitati sunt poeta h. Ven. 94 et 230 (cf. Eur. Ion. 242 Hel. 136), Pseudo-theocrit. XXVII 41.

430 ἄατ'] ἆτ' mss.

431 Ἱππασίδῃσι] l. a. -δῃιν, cf. § 52.

432] intempestivam in hoc rerum discrimine spoliorum fieri mentionem observavit Ar.; Heyne versum del., Fick pro τεύχε' coniecit θυμόν. || ἀποϜράς § 150] ἀπούρας mss.

434 *Ϝ'] addidimus. Cf. τ 452. || *οὔτασσε] οὔτησε mss., cf. § 150.

διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο,
πάντα δ' ἀπὸ πλευρῶν χρό' ἐϜέργαθεν, οὐδέ Ϝ' ἔασε
Παλλὰς Ἀθηναίη μιχθήμεναι ἔγκασι φωτός.
'γνῶ δ' Ὀδυσεὺς ὅ Ϝοι οὔ τι βέλος κατὰ καίριον ἦλθε,
ἂψ δ' ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔϜειπε·
„ἆ δϜείλ', ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος.
ἦ τοι μὴν ἔμ' ἔπαυσας ἐπὶ Τρώεσσι μάχεσθαι·
σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν 443 = *Ε* 652
ἤματι τῷδ' ἔσσεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα 444[b] sq. = *Ε* 653 sq.
εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' ἌϜιδι κλυτοπώλῳ.“
ἦ, καὶ ὃ μὲν φύγαδ' αὖτις ὑποστρέψας ἐβεβήκει,
τῷ δὲ μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ 'πῆξε 447sq. = *Θ* 258 sq.
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε. 447[b]-449[a] = *Ε* 40 sqq.
'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο δῖος Ὀδυσσεύς· 449 cf. *Ν* 373 *Υ* 388
„ὦ Σῶχ', Ἱππάσου υἱὲ δαΐφρονος ἱπποδάμοιο, 450 cf. *Β* 23
'φθῆ σε τέλος θανάτοιο κιχήμενον, οὐδ' ὑπάλυξας.
ἆ δϜείλ', οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ
ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ' οἰωνοὶ
ὠμεσταὶ Ϝερύουσι, περὶ πτερὰ πυκνὰ βαλόντες. 454[a] = *Χ* 67
αὐτὰρ ἔμ', εἴ κε θάνω, κτερίσουσί γε δῖοι Ἀχαιοί.“ 455[b] cf. *Χ* 336
ὣς Ϝειπὼν Σώκοιο δαΐφρονος ὄβριμον ἔγχος
ἔξω τε χροὸς εἷλκε καὶ ἀσπίδος ὀμφαλοέσσης·

---

435 *διὰ*] cf. § 22.

436 *ἠρήρειστο*] *-ριστο* H fortasse recte; vid. § 135.

437 *πλευρῶν*] neutrum, cf. *Δ* 468 *ρ* 232; alias est *πλευράς -ῇσι*, *Υ* 170 *Ψ* 716 *Ω* 10 h. Merc. 157. Cf. *παρειαί-παρειῶν* (*παρήων*) *Ω* 794 etc. et vid. § 56. || *χρό' ἐέργαθεν* L] *χρόα ἔργαθεν* Zen. et mss. cetera, *χροὸς ἔργαθεν* Ar.; vid. ad *Ε* 337. || *Ϝ'] *τ'* mss.; vid. ad *Δ* 315.

439 *ὅ Ϝοι*] *ὅτι* C. || *βέλος*] sic Zen., *τέλος* Ar. A. — Aristarchus iungebat *τέλος κάτα καίριον*, subiectum *τὸ ἔγχος* mente supplens; damnabat autem lectionem Zenodoti, non enim iactu sed ictu vulneratum esse Ulixem; atqui hasta, quae torqueri solet, tum quoque *βέλος* dici posse videtur cum quis in pugna stataria ea percutitur. || *κατὰ καίριον*] sic Ar., *καταχαίριον* mss. complura. De voce *καίριον* vid. ad *Δ* 185.

442 *μὴν* § 18] *μὲν* aut *μέν ῥ'* mss.

445 *κλυτοπώλῳ*] vid. ad *Ε* 654.

451 *τέλος*] sic Ar., *βέλος* Zen. male. Cf. vs. 439.

452-455] del. Fick, ab Ulixis undique nunc circumventi persona alienos ducens.

453 *καθαιρήσουσι*] *compriment*; cf. *λ* 426. *ω* 296.

454 *ὠμεσταὶ* Wackernagel] *ὠμησταὶ* Ar. mss. || *ἐρύουσι*] sic Ar., *ἐρύσσουσι* mss. multa, *ἐρυοῦσι* Alexio. Cf. § 147.

455] del. PKnight. || *ἔμ' εἴ κε* Ar.] *ἐπεί κε* mss. || *κτερίσουσι* § 147 et 210] *κτεριοῦσι* mss. || *γε* Spitzner] *με* mss.; ferri tamen fortasse poterat pronomen iteratum.

457 *εἷλκε*] *ἕλκε* Ar. L.

αἷμα δέ Ϝοι σπασθέντος ἀνέσσυτο, ’κῆδε δὲ θυμόν. 458b = Ε 400
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ’Ϝίδον αἷμ’ Ὀδυσῆος, 459 cf. Ε 27
κεκλόμενοι καθ’ ὅμιλον ἐπ’ αὐτῷ πάντες ἔβησαν. 460 = Ν 332
αὐτὰρ ὅ γ’ ἐξοπίσω ἀνεχάζετο, αὖε δ’ ἑταίρους. 461 cf. Ρ 108
τρὶς μὲν ἔπειτ’ ἤυσεν ὅσον κεφαλὴ ’χάδε φωτὸς, 461b = Ν 477
τρὶς δ’ ἄιεν ϜιϜάχοντος Ἄρηι φίλος Μενέλαος,
αἶψα δ’ ἄρ’ Αἴαντα προσεφώνεεν ἐγγὺς ἐόντα· 464 cf. 346
„Αἶαν διογενὲς Τελαμώνιε, κοίρανε λαῶν, 465 = Η 234
ἀμφί μ’ Ὀδυσσῆος ταλασίφρονος ἵκετ’ ἀυτή,
τῷ Ϝικέλη ὡς εἴ Ϝε βιῴατο μοῦνον ἐόντα
Τρῶες ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ.
ἀλλ’ ἴομεν καθ’ ὅμιλον· ἀλεξέμεναι γὰρ ἄμεινον. [δ 820b
δέδϜια μή τι πάθησιν ἐνὶ Τρώεσσιν οἰωθεὶς, 470a = Ρ 242b
ἐσθλὸς ἐὼν, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται.“ 471b cf. Ρ 690, 740
ὣς Ϝειπὼν ὃ μὲν ἦρχ’, ὃ δ’ ἅμ’ ἕσπετο Ϝισόθεος φώς. 472 = Ο 559 Π 632
ηὗρον ἔπειτ’ Ὀδυσῆα Διὶ φίλον· ἀμφὶ δ’ ἄρ’ αὐτὸν 473b-475 cf. Π 156 sqq.
Τρῶες ἕπον, ὡς εἴ τε δαφοινοὶ θῶες ὄρεσφι
ἀμφ’ ἔλαφον κεραὸν βεβλημένον, ὅν τ’ ἔβαλ’ ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς· τὸν μέν τ’ ἤλυξε πόδεσσι
φεύγων, ὄφρ’ αἷμα λιαρὸν καὶ γούνατ’ ὀρώρῃ· 477b cf. Ι 610
αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάσσεται ὠκὺς ὀιστὸς,
ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσι
ἐν νέμεϊ σκιερῷ· ἐπί τε λῖν ἤγαγε δαίμων
σίντην· θῶες μέν τε διέτρεσαν, αὐτὰρ ὃ δάπτει·
ὣς ῥα τότ’ ἀμφ’ Ὀδυσῆα δαΐφρονα ποικιλόμητιν 482 cf. χ 115, 281

458 οἵ Ar. mss.] οὗ (? — τοῦ Ribbeck) Zen. || σπασθέντος] sc. ἔγχεος. Participii absoluti nomen nonnisi hic (et ι 159? l. a. Σ 606 δ 19) apud Homerum omittitur. || ἀνέσσυτο] comp. †.

459 ἐπεὶ] ὅπως mss. multa. Lectio ὅπως ἴδον, ad hiatum vitandum invecta, redit Μ 208 γ 373 χ 22, vid. etiam δ 109.

461 ἀνεχάζετο, αὖε] PKnight et Fick -ζετ’ ἄυε caesura vitiosa. Cf. § 163.

462 ὅσον — φωτὸς] *quantum caput viri continet* i. e. *omnibus viribus.* Vox κεφαλὴ pro *pectore* usurpatur etiam Π 77.

466 ἵκετ’ ἀυτὴ Ar.] ἵκετο φωνὴ mss. pleraque.

467 Ϝε βιῴατο] βιαοίατο Fick; cf. § 191.

470 δέδϜια § 168] δείδω mss. || πάθησιν ἐνὶ] πάθησι μετὰ mss. complura. || *Τρώεσσιν οἰωθεὶς] Τρώεσσι μονωθεὶς mss. male, nam F Homericum est μουν. (ο 386 π 117). In οἰωθείς (cf. Ζ 1 Λ 401) corripitur syllaba prima, vid. § 17; minus placet Τρώεσσ’ οἰωθείς.

474 ἕπον PKnight] ἕπονθ’ mss.; cf. vs. 483 γ 118.

477 ὄφρ’] sc. ἔῃ, quod ex subiunctivo ὀρώρῃ supplendum; vid. ad Λ 547.

480 νέμεϊ] † (*nemori*). || σκιερῷ] γλαφυρῷ Zen. male.

482 ποικιλόμητιν] -μήτην mss. pleraque.

F aeolicam formam agnovit Wackernagel, Glotta III p. 382.

Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι, αὐτὰρ ὅ γ' ἥρως
αἴσσων ἑϝῷ ἔγχε' ἀμύνετο νηλεὲς ἦμαρ. — 484b = Ν 514 cf. Λ 588 Ρ 511, 615 ϑ 525
Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠύτε πύργον, — 485 = Η 219
'στῆ δὲ παρ' ἔξ· Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος. — 486b cf. Ρ 729
ἤ τοι τὸν Μενέλαος ἀρήιος ἔξαγ' ὁμίλου
χειρὸς ἔχων, ἧος θεράπων σχεδὸν ἤλασεν ἵππους.
Αἴας δὲ Τρώεσσ' ἐπιάλμενος εἷλε Δόρυκλον
Πριαμίδην, νόθον υἱόν, ἔπειτα δὲ Πάνδοκον οὖτα,
οὖτα δὲ Λύσανδρον καὶ Πύρασον ἠδὲ Πυλάρτην.
ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίονδε κάτεισι
χειμάρροος κατ' ὄρεσφιν, ἀεξόμενος Διὸς ὄμβρῳ,
πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας — 494 cf. Hes. Scut. 376
εἰσφέρεται, πολλὸν δέ τ' ἀφυσγετὸν εἰς ἅλα βάλλει,
ὣς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας — 496a cf. Χ 188
δαΐζων ἵππους τε καὶ ἀνέρας. οὐδέ πω Ἕκτωρ
'πεύθετ', ἐπεί ῥα μάχης ἐπ' ἀριστερὰ 'μάρνατο πάσης,
ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου, τῇ ῥα μάλιστα
ἀνδρῶν 'πίπτε κάρηνα, βοὴ δ' ἄσβεστος ὀρώρει — 500b = Ν 169, 540 Π 267 cf. Λ 530
Νέστορά τ' ἀμφὶ μέγαν καὶ Ἀρήιον Ἰδομενῆα.
Ἕκτωρ μὲν μετὰ τοῖσιν ὁμίλεε μέρμερα ῥέζων
ἔγχεΐ θ' ἱπποσύνῃ τε, νέων δ' ἀλάπαξε φάλαγγας· — 503a = Π 809
οὐδέ κέ πω 'χάζοντο κελεύθου δῖοι Ἀχαιοί, — 504 cf. Μ 262

483 ἕπον] ἕποντο mss. pauca metro invito. Cf. vs. 474.

484 ἑϝῷ PKnight] ᾧ mss.; cf. § 14. || ἔγχε' § 71] ἔγχει mss.

486 παρ' ἔξ] non apparet quae sit adverbii ἔξ h. l. vis; cf. ε 439 etc. Fortasse παρα(ί) fuit olim. Paley coniecit παράξ (novam vocem) coll. εὐράξ vs. 251.

488 ἔχων] ἑλὼν Townl., ut vs. 646 et saepe. || ἧος § 323] εἷως mss. || ἵππους] *Menelai*. Ulixis nusquam commemoratur currus (cf. δ 601 sqq.).

489 *Τρώεσσ' ἐπιάλμενος] -σσιν ἐπάλμ. mss.

492 κάτεισι] δίηται Zen.

493 χειμάροος § 61] χειμάρρους mss. || ἀεξόμενος Nauck] ὀπαζόμενος mss.

494 ἀζαλέας] vid. ad Δ 487.

495 εἰσφέρεται] (*intra alveum*) *absorbet*. || ἀφυσγετὸν] †, *lutum*? Cohaerere videtur verbum ἀφύσσω.

496 τότε] κάτα Barnes admodum probabiliter. Nam iungi nequit κλονέων πεδίον, sed ordo est ἔφεπε (Τρῶας) πεδίον, *per planitiem*, id vero aut genitivo πεδίοιο (cf. *Β* 785 etc.) aut praepositionis ope est significandum; cf. ἂμ πεδίον *Ε* 96. Simili vitio laborat vs. 714.

497-503] multi damnant, Hermann vs. 497-520, Fick vs. 489-503, qui mox in vs. 510 Ἀτρεΐδης (*Menelaus*) coniecit pro Ἰδομενεύς.

497 δαΐζων] δᾱ- †, alias δᾰ-, quapropter Nauck coniecit δηιόων. At vid. § 22.

499 Σκαμάνδρου] -δροο? cf. § 59.

502 ὁμίλεε § 191] -λει mss.

503 νέων] νεῶν Ar. Alexio Ptolemaeus Ascalonita, τὰς πρὸ τῶν νεῶν τάξεις admodum contorte interpretati.

504 οὐδέ κέ § 326] οὐδ' ἄν mss. || κελεύθου] -θοο? vid. § 59.

εἰ μὴ Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο, 505 cf. Γ 329
'παῦσεν ἀριστεύοντα Μαχάονα, ποιμένα λαῶν,
ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον. 507 cf. Ε 393
τῷ ῥα περίδϝεισαν μένεα πνείοντες Ἀχαιοί, 508ᵇ = Γ 8
μή πώς μιν πολέμοιο μετακλινθέντος ἕλοιεν.
αὐτίκα δ' Ἰδομενεὺς προσεφώνεε Νέστορα δῖον·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 511 = Κ 87
ἄγρεε, σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων
βαινέτω, εἰς νῆας δὲ τάχιστ' ἔχε μώνυχας ἵππους·
ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων."
ὣς ἔφατ', οὐδ' ἀπίθησε γερήνιος ἱππότα Νέστωρ· 516 = Θ 112
αὐτίκα ϝῶν ὀχέων ἐπεβήσετο, πὰρ δὲ Μαχάων
'βαῖν', Ἀσκληπιοῦ υἱὸς ἀμύμονος ἰητῆρος· 518ᵇ = Δ 194
'μάστιξεν δ' ἵππους, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην 519sq. = Κ 530 sq.
νῆας ἔπι γλαφυράς· τῇ γὰρ φίλον ἔπλετο θυμῷ.
Κεβριόνης δὲ Τρῶας ὀρινομένους ἐνόησε
Ἕκτορι παρβεβαώς, καί μιν πρὸς μῦθον ἔϝειπε·
„Ἕκτορ, νῶι μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσι
ἐσχατιῇ πολέμου δυσϝηχέος· οἳ δὲ δὴ ἄλλοι
Τρῶες ὀρίνονται, ἐπιμὶξ ἵπποι τε καὶ αὐτοί. 525ᵇ cf. Φ 16 Ψ 242
Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων,
εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἦμες

515 *ἰούς τ' ἐκτάμνειν ἐπὶ τ' ἤπια φάρμακα πάσσειν.*

515 Zen. om., Aristoph. Ar. ——

505] pro hoc versu in fragmento papyraceo a v. d. Flinders Petrie detecto (pap. Dublin., vid. tab. A[I]) duo sunt, quorum prior in *νοησεν* exit, posterior in *υκομοιο*. Videtur igitur fuisse *εἰ μὴ … ὀξὺ νόησεν | δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠυκόμοιο.*

507 *τριγλώχινι*] vid. ad Θ 297.

509 *μετακλινθέντος*] ....*τεσ* pap. Dublin.; comp. †. || In pap. Dublin. sequitur versus aliunde ignoti exitus *χηελοιντο*. Recte *τεύχη* (i.e. *τεύχε'*) *ἕλοιντο* supplevit Menrad, sed genuinus esse nequit hic hexameter, nam *-οιντο* pro *-οίατο* non est terminatio epica; vid. § 119.

512 *ἄγρεε* § 191] *ἄγρει* mss.

514 sq.] in pap. Dublin. sunt *quattuor* versus, in *νοιο, λων, αλλουσ, καπασσων* (cf. v. l. Ε 900) desinentes; videtur igitur vetustissimus hic liber habuisse haec fere: *<καί μιν ἐνὶ κλισίῃσι τίθει, ἔρυσαι δὲ φό>νοιο. | <ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλ>λων· | <εἷς γὰρ ἐπιστάμενος πολλοὺς ἐσάωσε καὶ> ἄλλους | <ἰούς τ' ἐκτάμνων ἐπί τ' ἤπια φάρμα>κα πάσσων.*

516 *γερήνιος*] vid. ad Β 336.

517 *αὐτίκα* Heyne] *αὐτίκα δ'* mss.

519 *ἵππους*] l. a. *ἐλάαν*, cf. Κ 530. || *ἀέκοντ'(ε)* Lips.] *ἄκοντε* mss. cett.

520] in pap. Dublin. incipit a litteris *ωσο*. Videtur igitur pericopen clausisse versus 519, deinde nova inchoasse pericope a verbis *ὣς ο<ἳ μὲν μάρναντο πυρὸς δέμας αἰθομένοιο·> | Κεβριόνης δὲ* etc. (cf. vs. 596).

521-543] damnarunt multi.

524 *πολέμου* Bekker] *-μοιο* mss.

525] ante *ἐπιμὶξ* virgulam posuit Duentzer; vid. loci parall.

527 *ἦμες* § 92] *ἡμεῖς* mss.

κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν, ἔνθα μάλιστα
ἱππῆες πεζοί τε κακὴν ἔριδα προφέροντες — 529^{b} cf. Γ 7
ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρε." — 530^{b} cf. 500
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους — 531 = ε 380 cf. ζ 316 ο 215
μάστιγι λιγυρῇ· τοὶ δὲ πληγῆς ἀίοντες
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς, — 533 = Ρ 458
στείβοντες νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων — 534^{b}-537^{a} = Υ 499 sqq.
νέρθεν ἅπας 'πεπάλακτο καὶ ἄντυγες, αἳ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον — 536^{b} = Ψ 502
αἵ τ' ἀπ' ἐπισσώτρων. ὃ δ' ἐϝίετο δύμεν' ὅμιλον
ἀνδρόμεον ῥῆξαί τ' ἐπιάλμενος· ἐν δὲ κυδοιμὸν
ἧκε κακὸν Δαναοῖσι, μίνυνθα δὲ 'χάζετο δουρός.
αὐτὰρ ὃ τῶν ἄλλων ἐπεπωλέετο στίχας ἀνδρῶν — 540 sq. = 264 sq.
ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι,
Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο.
Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε·
'στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος 'βάλεν ἑπταβόειον, — 545^{a} = Π 806 cf. Ω 360
'τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ϝεϝοικώς, — 546^{a} = Ρ 603
ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων. — 546^{b} cf. Γ 449
ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσσαύλοιο — 548 cf. Ρ 657; 548^{b} cf. Ρ 112
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται, — 549 = Ο 272

543 Ζεὺς γάρ ϝοι 'νεμέσα, ὅ τ' ἀμείνονι φωτὶ μάχοιτο.
548—557 Zen. ——

528 κεῖσ'] κεῖθ' Zen. Lips. (et fortasse pap. Dublin.).
529 sq.] pro his pap. Dublin. unum habet versum, cuius initium est κουροιτ; quid supplendum sit incertum.
529 ἔριδα προφέροντες] vid. ad Γ 7. || προφέροντες Nauck coll. Γ 7] προβαλόντες mss.
530 ὄρωρε] ὀρώρει mss. nonnulla.
531-537] imitatur Verg. Aen. XII 337-340.
536 ἅς] ad ἄντυγες spectat. || ὁπλέων] cf. § 56; ecquid *ἀφ' ὁπλάων ἵππων? — Vox ὁπλή redit Υ 501 h. Merc. 77.
537 αἵ τ'] αἱ δ' Nauck. Vert. *et quae* (*guttae*). || ἐπισσώτρων] sic, non ὀπ. (ut Townl.) Ar.; vid. ad Ε 725. || δύμεν' § 125] δῦναι mss.
537 sq. ὅμιλον ἀνδρόμεον] insolite dictum.
538 *τ' ἐπιάλμενος] τε μετάλμενος Ar. mss., l. a. δὲ μετάλμενος.
539 μίνυνθα δὲ 'χάζετο] vix sana. Interpretantur *paullulum remittebat hastam* (non multum quietis hastae suae concessit), alii *neque multum ab hostium hastis recessit.* Vid. Π 736. || δουρός] δουρί Ar. Par. 2766.
540 ἐπεπωλέετο § 191] -λεῖτο mss.
543] abest a mss., afferunt Aristoteles Rhet. II 9, Plut. Mor. 24*c*, 36*a*, Pseudoplut. Vit. Hom. c. 132. || νεμέσα Plut.] νεμεσᾶθ' Pseudo-plut., νεμέσησ' Aristot.
544 ἐν] ἐς G male; cf. Ξ 522 et ad Ο 327.
546 ἐφ'] δι' Aristoph. De praep. ἐπί significatione cf. Γ 5. || ὁμίλου] -λοο? vid. § 59.
547 γόνυ γουνὸς ἀμείβων] *pedetentim*; quod postea dicebatur ἐπὶ σκέλος vel ἐπὶ πόδα ἀνάγειν (ἀναχωρεῖν, πάλιν χωρεῖν), vid. Ar. Av. 383, Eur. Phoen. 1400, Xen. Cyr. III 3 § 69.
549 ἐσσεύαντο GHermann] -οντο Ar. (? vid.

οἵ τέ μιν οὐκ ἐάουσι βοῶν ἐκ πῖαρ ἑλέσθαι — 550-555 = P 659 sqq.
πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρεάων ἐρατίζων — 551ᵃ cf. υ 53
ἰθύει, ἀλλ' οὔ τι πρήσσει, θαμέες γὰρ ἄκοντες — 551ᵇ cf. h. Merc. 64, 287
ἀντίον αἴσσουσι θρασειάων ἀπὸ χειρῶν, — 553ᵇ = 571 N 134 O 314 Ψ 714 ε 434
καιόμεναί τε δεταί, τάς τε τρέει ἐσσυμένος περ,
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ·
ὣς Αἴας τότ' ἀπὸ Τρώων τετιημένος ἦτορ
ἤιε, πόλλ' ἀϝέκων· περὶ γὰρ 'δϝίε νηυσὶν Ἀχαιῶν. — 557ᵃ = P 666; 557ᵇ = I 433
ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας
νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφιϝεϝάγῃ,
κείρει τ' εἰσελθὼν βαθὺ λήιον· οἱ δέ ϝε παῖδες
τύπτουσι ῥοπάλοισι, — βίη δέ τε νηπίη αὔτως, —
σπουδῇ δ' ἐξήλασσαν, ἐπεί τ' ἐκορέσσατο φορβῆς·
ὣς τότ' ἔπειτ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν,
Τρῶες ὑπέρθυμοι πολυηγερέες τ' ἐπίκουροι — 564 cf. Z 111
νύσσοντες ξυστοῖσι μέσον σάκος αἰὲν ἕποντο.
Αἴας δ' ἄλλοτε μὲν 'μνησάσκετο θούριδος ἀλκῆς
αὖτις ὑποστρεφθείς, καὶ ἐρητύσασκε φάλαγγας
Τρώων ἱπποδάμων· ὁτὲ δ' ἐτροπαέσκετο φεύγειν.
αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν 'θῦνε μεσηγὺ
ἱστάμενος· τὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν — 571 sq. cf. O 314; 571ᵇ = 553
ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ 'πάγεν ὄρμενα πρόσσω,
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν, — 573 sq. = O 316 sq.
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι. — 574 cf. Φ 168

J. van Leeuwen ad Arist. Vesp. 1361

569 πάντας δὲ προέϝεργε θοὰς ἐπὶ νῆας ὁδεύειν,

ad O 272) mss. — De mediali forma vid. ad Γ 26.

550 ἐάουσι § 191] εἰῶσι mss. || πῖαρ] adi. substantivi loco adhibitum (item versu parallelo) redit ι 135. h. Ap. 60 h. Ven. 30.

551 κρεάων § 72] κρειῶν mss. || ἐρατίζων] redit locis parallelis.

553 ἀντίον] sic Ar., -οι mss. nonnulla; cf. Z 54.

554 δεταί] *taedae*; vox nonnisi loco parall. redit (cf. Aristoph. Vesp. 1361). || τρέει] τρεῖ mss. vitio metrico, cf. § 14 et 191.

558 ὄνος] † (ἡμίονος saepius, vid. ad B 852).

559 νωθής] †, *tardus*. Ignotae originis vox (cf. νωθρός Att.). || ἀμφιϝεϝάγῃ Ahrens] ἀμφὶς ἐάγῃ mss. vitiose producta vocali α, quam aoristus brevem habet.

560 *ϝε] τε mss.

561 αὔτως Hoogvliet coll. Z 400] αὐτῶν mss.

562 σπουδῇ δ' L] σπουδῇ τ' cetera mss.

564 πολυηγερέες Ar.] τηλεκλειτοί (vel -ητοί) mss.

568 δ' ἐτροπαέσκετο] δὲ τρωπάσκετο mss.; cf. § 191 et 251.

569] del. Benicken vHerwerden. || προέϝεργε et ὁδεύειν] †. Sunt qui πρὸ ἔϝεργε scribentes iungant πρὸ... ὁδεύειν coll. πρὸ ὁδοῦ Δ 382, sed hiatus post πρό excusari nequit.

τὸν δ' ὡς οὖν ἐνόησ' Ἐναίμονος ἀγλαὸς υἱὸς 575a cf. *Γ* 21
Εὐρύπυλος πυκινοῖσι βιαζόμενον βελέεσσι,
'στῆ ῥα παρ' αὐτὸν ἰὼν καὶ ἀκόντισε δουρὶ φαεινῷ, 577 cf. *Δ* 496 *P* 347
καὶ 'βάλε Φαυσιάδην Ἀπισάονα, ποιμένα λαῶν, 578b sq. = *N* 411 sq. *P* 348 sq.
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε·
Εὐρύπυλος δ' ἐπόρουσε καὶ ἤνυτο τεύχε' ἀπ' ὤμων. 580b = *N* 550
τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος θεοϝειδὴς 581 = *Γ* 30
τεύχε' ἀπαινύμενον Ἀπισάονος, αὐτίκα τόξον
εἵλκετ' ἐπ' Εὐρυπύλῳ, καί μιν 'βάλε μηρὸν ὀϊστῷ
δεξιόν· ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν.
ἂψ δ' ἑτάρων εἰς ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων, 585 = *Γ* 32
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς· 586 sq. = 275 sq.
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες,
στῆτε ϝελιχθέντες καὶ ἀμύνετε νηλεὲς ἦμαρ 588b = *P* 511 cf. *Δ* 484
Αἴανθ', ὃς βελέεσσι βιάζεται, οὐδέ ϝέ φημι
φεύξεσθ' ἐκ πολέμου δυσϝηχέος, ἀλλὰ μάλ' ἄντην 590 cf. *Σ* 307
ἵστασθ' ἀμφ' Αἴαντα μέγαν, Τελαμώνιον υἱόν."
ὣς ἔφατ' Εὐρύπυλος βεβλημένος· οἳ δὲ παρ' αὐτὸν
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες, 593 = *N* 488 593b = *X* 4
δούρατ' ἀνασχόμενοι. τῶν δ' ἀντίος ἤλυθεν Αἴας, 594a = *O* 298 *P* 234
'στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ϝέθνος ἑταίρων. 595 = *O* 591 *P* 114

ὣς οἳ μὲν 'μάρναντο δέμας πυρὸς αἰθομένοιο· 596 = *N* 673 *Σ* 1 596a = *P* 366
Νέστορα δ' ἐκ πολέμοιο 'φέρον Νηλήιαι ἵπποι
ἱδρώοντ', ἦγον δὲ Μαχάονα, ποιμένα λαῶν.
τὸν δὲ ϝιδὼν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς, 599 cf. *Π* 5 *Ψ* 534
εἱστήκει γὰρ ἐπὶ πρυμνῇ μεγακήτεϊ νηΐ,

---

580 *ἤνυτο*] *αἴνυτο* mss.
583 *εἵλκετ'*] *εἷλκε τ', ἕλκετ', εἷλκεν* mss.
586 *γεγωνώς*] cf. § 260.
588 *στῆτε ϝελιχθέντες* § 41] *στῆτ' ἐλελ.* mss.
589 *Αἴανθ', ὃς*] *Αἴαντος* Zen.
590 *πολέμου* Bekker] *-μοιο* mss.
592 *αὐτὸν*] *αὐτῷ* D.
594 *δ' ἀντίος*] l. a. *δὲ σχεδὸν.*
596 sqq.] posterior pars libri *Λ* inde ab hoc versu, quae in mss. una cum libri initio *Ἀγαμέμνονος ἀριστεία* parum apte dicitur, a Christio inscripta est *Ὁμιλία Νέστορος καὶ Πατρόκλου.*
597 *Νηλήιαι*] *-οι* mss. pauca; alii olim *-ον* (cf. *E* 222 = *Θ* 106).
598 **ἱδρώοντ'(ε)*] *ἱδρῶσαι* mss., quae nihili est forma. Bekker *ἱδρώουσ'*, sed vid. ad vs. 272; *ἱδρώουσαι, ἄγον* Nauck caesura ingrata. Correctio nostra defendi videtur versu *Θ* 378, commode autem explicat lectionem alteram *Νηλήιοι* vs. 597.
600 *εἱστήκει*] *ἑστ.* Ar.

εἰσοράων πόνον αἰπὺν ἰῶκά τε δακρυόεσσαν.
αἶψα δ' ἑταῖρον ἑϜὸν Πατροκλέεα προσέϜειπε,
φθεγξάμενος παρὰ νηός· ὃ δὲ κλισίηθεν ἀκούσας
ἔκμολε Ϝῖσος Ἄρηι, κακοῦ δ' ἄρα Ϝοι 'πέλετ' ἀρχή.
τὸν πρότερος προσέϜειπε Μενοιτίου ἄλκιμος υἱός·
„τίπτε με κικλήσκεις, Ἀχιλεῦ; τί δέ σε χρὴ ἐμεῖο;"
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„δῖε Μενοιτιάδη, τῷ ἐμῷ κεχαρισμένε θυμῷ, 608 cf. *Τ* 287
νῦν οἴω περὶ γούνατ' ἐμὰ στήσεσθαι Ἀχαιοὺς 608[b] = *δ* 71 cf. *Ε* 243
λισσομένους· χρηὼ γὰρ ἱκάνεται οὐκέτ' ἀνεκτός. 610 cf. *Κ* 118
ἀλλ' ἴθι νῦν, Πάτροκλε Διὶ φίλε, Νέστορ' ἔρειο,
ὅν τινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο. 612[a] cf. 650
ἦ τοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ϜέϜοικε
τῷ Ἀσκληπιάδῃ, ἀτὰρ οὐ 'Ϝίδον ὄμματα φωτὸς,
ἵπποι γάρ με παρήιξαν πρόσσω μεμανῖαι."
ὣς 'φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ, 616 = *Λ* 345
'βῆ δὲ θέειν παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν. 617 cf. *Θ* 220
οἳ δ' ὅτε δὴ κλισίην Νηληιάδα' ἀφίκοντο, 618 cf. *Ω* 448
αὐτοὶ μέν ῥ' ἀπέβησαν ἐπὶ χθόνα πολυβότειραν, 619 cf. *Γ* 265
ἵππους δ' Εὐρυμέδων θεράπων 'λύε τοῖο γέροντος
ἐξ ὀχέων· τοὶ δ' ἱδρό' ἀπεψύχοντο χιτώνων,
στάντε ποτὶ πνοιὴν παρὰ θῖν' ἁλός· αὐτὰρ ἔπειτα

---

601 *εἰσοράων* § 191] *-ρόων* mss. || *ἰῶκα*] neglecto Ϝ. Brevior forma accusativi †; Ar. conferebat *κρόκα* Hes. Oper. 538, adde *ἌϜιδος, ἀλκί, ὑσμῖνι* et vid. § 83. Male quidam olim *ἰῶ κάτα δακρυόεσσαν.*

602 *Πατροκλέεα* § 73] *-κλῆα* mss. || *προσέϜειπε*] ipsa loquentis verba huic aoristo subiungi solent, hic autem *vocandi* malis verbum aliquod propter vs. 605.

604 *ἔκμολε*] comp. †. || *κακοῦ — ἀρχή*] cf. Verg. Aen. II 97: *hinc mihi prima mali labes,* ibid. IV 169 sq. *ille dies primus leti primusque malorum | causa fuit.* || *'πέλετ'* § 275] *πέλεν* mss.

605-607] del. Bekker.

606 *σε χρὴ* PKnight] *σε χρειὼ* G, *χρειὼ* L, *σε χρεὼ* mss. cett.; cf. § 8.

608 *τῷ*] art. male abundat, vid. ad *Α* 185; PKnight *μάλ'*. E versu *Τ* 287 alia effecerit quispiam, sed ille versus suspectus aut certe corruptus est ipse. Verum videtur **Μενοιτίου υἱὲ, ἐμῷ.* Eadem correctio requiritur *δ* 71.

610 *χρηὼ* § 190] *χρειὼ* mss. || *ἀνεκτός*] sic Ar. (item *Κ* 118), *ἀνεκτή* mss. pauca.

611 *ἔρειο*] forma corrupta, cf. § 191. Ammonius *ἔροιο* (Valcken. p. 57), Curtius Verb. II[2] p. 60 *ἐρεῖο*, Fick *ἔρευε*, Schulze *ἔρηον* coll. *Λ* 62, nos **ἐρέσθαι.*

614 *τῷ*] abundat (ut *φῶτ' Δ* 194).

617 *δὲ θέειν*] l. a. *δ' ἰέναι* (*ἴμεναι*) mss. || *Ἀχαιῶν*] *εἴσας* mss. nonnulla.

618 *Νηληιάδα'* § 55] *-δεω* mss.

619 *πολυβότειραν* D] *πουλ.* mss. cett.; cf. § 21.

621 sqq.] cf. *Κ* 572 sqq.

621 *ἱδρό'* § 77] *ἱδρῶ* mss. || *χιτώνων*] *μετώπων* Naber coll. vs. 812.

622 *στάντε*] sic Ar., *στᾶν* (*στὰν*) *δὲ* C H. || *πνοιὴν*] *-ῇ* C.

εἰς κλισίην ἐλθόντες ἐπὶ κλισμοῖσι καθῖζον. 623ᵇ = Θ 436
τοῖσι δ' ἔτευχε κυκηῶ ἐυπλόκαμος Ϝεκαμήδη,
τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτε 'πέρσεν Ἀχιλλεὺς,
θυγατέρ' Ἀρσινόου μεγαλήτορος, ἥν Ϝοι Ἀχαιοὶ
ἔξελον, οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων.
ἥ σφωιν πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν
καλὴν κυανόπεζαν ἐύξοον, αὐτὰρ ἐπ' αὐτῆς
χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον, ποτῷ ὄψον,
ἠδὲ μέλι χλωρὸν, παρὰ δ' ἀλφίτου ἱεροῦ ἀκτὴν,
πὰρ δὲ δέπας περικαλλὲς, ὃ Ϝοίκοθεν ἦγ' ὁ γεραιὸς, 632ᵃ cf. Ω 234
χρυσείοισ' ἥλοισι πεπαρμένον· οὔατα δ' αὐτοῦ 633ᵃ = Λ 246
τέσσαρ' ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶ Ϝέκαστον
χρύσειαι 'νεμέθοντο, δύω δ' ὑπὸ πυθμένες ἦσαν.
ἄλλος μὲν μογέων ἀπεκινήσασκε τραπέζης
πλεῖον ἐὸν, Νέστωρ δ' ὁ γέρων ἀμογητί Ϝ' ἄειρε.
ἐν τῷ ῥά σφ' ἐκύκησε γυνὴ ϜεϜικυῖα θεῇσι 638ᵇ = Τ 286
Ϝοίνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον 'κνάε τυρὸν
κνήστιι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λεύκ' ἐπάλυνε, 640 cf. Σ 560 κ 520 λ 28 ξ 77
πινέμεναι δ' ἐκέλευσεν, ἐπεί ῥ' ὥπλισσε κυκηῶ.

---

623 κλισμοῖσι] vox h. l. eodem sensu usurpatur quo θρόνος vs. 645. Cf. Ω 515 et 597.

624 κυκηῶ] κυκε(ι)ῶ mss. — Accusativi forma hic et Λ 641 κ 290, 316 h. Cer. 210 suspicionem movet. Hic κυκηόν' rescribere licet, ceteris locis non item.

627 βουλῇ] Nauck dubitanter πουλὺ (immo πολλὸν, cf. § 83).

628 ἐπιπροΐηλε] compositum redit h. Cer. 326; cf. χ 49.

629 κυανόπεζαν] †. ‖ αὐτῆς] -τῇ mss. pauca.

631 ἠδὲ] πὰρ δὲ Apoll. lex.

632 ἦγ' ὁ] ἦγε? ‖ ἦγ'] sic et εἷχ' Ar.

633 χρυσείοισ' — πεπαρμένον] vid. Helbig Hom. Epos[1] p. 277 sqq. ‖ αὐτοῦ] pronomen languet.

634 τέσσαρ'] vid. Helbig Hom. Epos[1] p. 276 sq. ‖ ἀμφὶ] ἀμφὶς mss. pleraque metro et sententia invitis.

635 ὑπὸ πυθμένες] sic Ar. Alexio Dionysius Thrax, ὑποπυθμένες alii. Fuse hunc locum tractant scholia et Athen. XI 488 sqq. Non duos fundos intellegi, quod absurdum, sed duo statumina externa, quae ansas coniungant cum pede, olim perspexit Dionysius Thrax, cui viam indicaverat Ar.; nuper lucide exposuit Helbig Hom. Epos[1] p. 272 sqq.

636 sq.] senis robur vel dexteritas mire torsit explicatores veteres.

636 ἄλλος] absurde quidam olim ἄλλος (cf. § 9) et ἀλλ' ὅς, ad Machaonem referentes, Athen. XI 493. Cf. Ψ 319. ‖ μὲν] κεν Bentley. ‖ ἀπεκινήσασκε] ἀποκ. mss.

637 δ' ὁ] δὲ? ‖ ἀμογητί] †, *sine labore* (ἀμόγητος *indefessus* h. VIII 3). ‖ *Ϝ] addidimus. Vid. Ε 304 Μ 449 Υ 287 et ad Λ 315.

638 σφ' ἐκύκησε] σφι κύκ. mss.

639 sq.] similis potio paratur κ 234 sq.

639 'κνάε § 191] κνέε Ar. secundum Eust., κνῆ mss. metro vitioso (cf. § 2). — Verbum †, cf. κνῆστις vs. 640.

640 κνήστιι § 74] κνήστι mss. — Vox †, vid. ad vs. 639. ‖ λεύκ' ἐπάλυνε] λευκὰ πάλ. mss. multa.

641 κυκηῶ] cf. vs. 624.

τὼ δ' ἐπεὶ οὖν πίνοντ' ἀφέτην πολυκαγκέα δίψαν,
μύθοισιν 'τέρποντο πρὸς ἀλλήλους ἐνέποντε, 643 cf. ψ 301
Πάτροκλος δὲ θύρῃσιν ἐφίστατο, ϝισόθεος φώς.
τὸν δὲ ϝιδὼν ὁ γεραιὸς ἀπὸ θρόνου ὦρτο φαεινοῦ,
εἰς δ' ἄγε χειρὸς ἑλὼν, κατὰ δ' ἑδριάεσθαι ἄνωγε. 646 = 778 646ᵇ cf. γ 35
Πάτροκλος δ' ἑτέρωθεν ἀναίνετο 'ϝεῖπέ τε μῦθον· 647ᵇ sq.ᵃ = Ψ 204 sq.
„οὐχ ἕδος ἐστὶ, γεραιὲ διοτρεφὲς, οὐδέ με πείσεις.
αἰδοῖος νεμεσητὸς ὅ με προέηκε πυθέσθαι
ὅν τινα τοῦτον ἄγεις βεβλημένον· ἀλλὰ καὶ αὐτὸς 650ᵃ cf. 612
γιγνώσκω, ὁράω δὲ Μαχάονα, ποιμένα λαῶν.
νῦν δὲ ϝέπος ϝερέων πάλιν ἄγγελος εἶμ' Ἀχιλῆι.
εὖ δὲ σὺ ϝοῖσθα, γεραιὲ διοτρεφὲς, οἷος ἐκεῖνος·
δϝεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιάοιτο." 654ᵇ cf. Ν 775 υ 135
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
„τίπτε τ' ἄρ' ὦδ' Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν,
ὅσσοι δὴ βέλεσιν βεβλήαται; οὐδέ τι ϝοῖδε
πένθεος ὅσσον ὄρωρε κατὰ στρατόν· οἱ γὰρ ἄριστοι
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε. 659-661 = Π 24 [sqq. 659 = 826
βέβληται μὲν Τυδεΐδης, κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρὶ κλυτὸς ἠδ' Ἀγαμέμνων,
τοῦτον δ' ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο
ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεὺς
ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει.
ἦ μένει εἰς ὅ κε δὴ νῆες θοαὶ ἄγχι θαλάσσης
Ἀργεΐων ἀϝέκητι πυρὸς δηίοιο θέρωνται, 667ᵇ cf. Ζ 331
αὐτοί τε κτεινώμεθ' ἐπισχερώ; οὐ γὰρ ἐμὴ ϝὶς

662 βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀιστῷ. 662 = Π 27

642 πολυκαγκέα] †, cf. κάγκανα Φ 364 σ 308 h. Merc. 112, 136.
643 ἐνέποντε Ahrens] ἐνέποντες mss.; vid. versus parall., unde etiam τερπέσθην μύθοισιν restituendum putat Ahrens.
645 ὁ] abundat. || θρόνου] vid. ad vs. 623.
646 ἑδριάεσθαι § 191] -άασθαι mss.
647 ἀναίνετο] vid. ad Ι 585.
649 νεμεσητὸς] vox contextui vix apta.
651 ὁράω § 191] ὁρόω mss.
653 ἐκεῖνος] forma novicia, cf. § 97.
654 τάχα κεν...αἰτιάοιτο] οἷος...αἰτιάασθαι Plut. Mor. 67a; sed non Homericus est hic usus adiectivi οἷος (vid. ad τ 160). || αἰτιάοιτο § 191] -ιόῳτο mss.
655 γερήνιος] cf. Β 336.
660 μὲν Nauck] μὲν ὁ mss.; cf. Π 25.
662] om. mss. multa; ferri nequit, ignorat enim Nestor Eurypyli sortem (vid. vs. 809 sqq.). E Π 27 male huc tractus est.
664-762] interpolatori deberi luculenter apparet.
667 δηίοιο] cf. § 17.
668 ἐπισχερώ] adv. (= Att. ἐφεξῆς, Hom. ἑξείης) redit Σ 68 Ψ 125; ultimae syllabae origo latet. || ἐμὴ] ἐμοὶ mss. nonnulla.

ἔσθ' οἵη πάρος ἦσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι. 669 = h. Ven. 239 cf. λ 394 φ 283
εἴθ' ὧς ἡβάοιμι βίη τέ μοι ἔμπεδος εἴη, 669ᵇ = Ω 359 ν 398, 430
ὡς ὁπότ' Ἠλείοισι καὶ ἧμιν νεῖκος ἐτύχθη 670 = H 157
ἀμφὶ βοηλασίῃ, ὅτ' ἐγὼ 'κτάνον Ἰτυμονῆα,
ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι 'ναιετάεσκε,
ῥύσι' ἐλαυνόμενος. ὃ δ' ἀμύνων ϝῆσι βόεσσι
ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι, 675 cf. M 306
κὰδ δ' ἔπεσεν, λαοὶ δὲ περὶ 'τρέσαν ἀγροιῶται.
ληίδα δ' ἐκ πεδίου συνελάσσαμεν ἤλιθα πολλὴν,
πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα μήλων, 678ᵇ sq. = ξ 100 sq.
τόσσα συῶν συβόσια, τόσ' αἰπόλια πλατέ' αἰγῶν,
ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα,
πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν.
καὶ τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήιον εἴσω
ἐννύχιοι προτὶ ϝάστυ· 'γεγήθεε δὲ φρένα Νηλεὺς,
οὕνεκά μοι 'τύχε πολλὰ νέῳ πόλεμόνδε κιόντι.
κήρυκες δ' ἐλίγαινον ἅμ' ἠόι φαινομένηφι 685ᵇ = I 682
τοὺς ἴμεν' οἷσιν χρῆος ὀφείλετο Ἤλιδι δίῃ·
οἳ δὲ συναγρόμενοι Πυλίων ἡγήτορες ἄνδρες
'δαίτρευον, πολέσιν γὰρ Ἐπειοὶ χρῆος ὄφειλον,
ὡς ἧμες παῦροι κεκακωμένοι ἐν Πύλῳ ἧμεν.
ἐλθὼν γάρ ϝ' ἐκάκωσε βίη Ἡρακλεεείη
τῶν προτέρων ϝετέων, κατὰ δ' ἔκταθεν ὅσσοι ἄριστοι.

---

669 ἦσκεν] ἔσκεν mss.
670 ἡβάοιμι § 191] ἡβώοιμι mss. De opt. vid. ad Δ 314. || τέ] δέ mss. multa, cf. H 157.
671 Ἠλείοισι] alias Ἐπειοί dicuntur Elidis incolae (cf. vs. 688).
672 βοηλασίῃ] sic Ar., mss. nonnulla -ης, alii olim -ης. Vox †.
673 'ναιετάεσκε] -άασκε mss.
674 ῥύσι'] †; sic dicuntur quae quis rapit ut compenset res sibi ademtas (cf. Aesch. Suppl. 412 Soph. Oed. C. 858 etc.).
677 ἤλιθα] vid. ad ε 483.
678 μήλων L] οἰῶν mss. cetera, quae forma propter contractionem est suspecta (vid. § 74), propter hiatum autem h. l. ne ferenda quidem. Cf. ξ 100.
679 συβόσια] vox nonnisi loco parall. redit; suspectum est iota longum.
683 'γεγήθεε § 110] -θει mss.
685 ἐλίγαινον] †. || ἠόι § 77] ἠοῖ mss.
686 οἷσιν] non οἷσι, cf. § 24. || χρῆος § 190] χρεῖος Aristoph. mss., χρέως Ar. || *ὀφείλετο] ὀφείλετ' ἐν Aristoph. mss., ὠφείλετ' ἐν Ar., caesura vitiosa, item vs. 698; cf. § 48 et vid. l. a. γ 367 apud Strab. VIII p. 342.
688 χρῆος § 190] χρεῖος mss.; χρέως ὤφειλον Aristarchum dedisse coll. vs. 686 apparet. || ὄφειλον] sic Ar., ὄφελλον mss. nonnulla.
689 ὡς] sic Ar., ὧς (ὥς) mss. nonnulla; optio difficilis. || ἧμες § 92] ἡμεῖς mss. || Πύλῳ] sic Ar., alii olim πόλει.
690 ἐλθών] constructio ad sensum (vid. E 638 Σ 117 sq.); similia extant λ 91 X 84, 87. || *ϝ'] ῥ' mss. nonnulla, om. multa. || Ἡρακλεεείη § 73] -κληείη mss.
691 ἔκταθεν] ἔκτανεν mss. multa.

δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν·
τῶν οἶος ’λιπόμην, οἳ δ’ ἄλλοι πάντες ὄλοντο.
ταῦθ’ ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες,
ἡμέας ὑβρίζοντες, ἀτάσθαλα ’μηχανάοντο. 695 cf. γ 207 ρ 588 [υ 170, 370
ἐκ δ’ ὁ γέρων ἀγέλην τε βοῶν καὶ πῶυ μέγ’ οἰῶν 696ᵇ cf. Ο 323 μ 299
εἵλετο, κρινάμενος τριηκόσι’ ἠδὲ νομῆας. 697ᵇ = φ 19
καὶ γὰρ τῷ χρῆος μέγ’ ὀφείλετο Ἤλιδι δίῃ,
τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφι, 699ᵇ cf. Θ 290
ἐλθόντες μετ’ ἄεθλα. περὶ τρίποδος γὰρ ἔμελλον
θεύσεσθαι· τοὺς δ’ αὖθι Ϝάναξ ἀνδρῶν Αὐγείας
κάσχεθε, τὸν δ’ ἐλατῆρ’ ἀφίει ἀκαχημένον ἵππων.
τῶν ὁ γέρων Ϝεπέων κεχολωμένος ἠδὲ καὶ ἔργων
ἐξέλετ’ ἄσπετα πολλά, τὰ δ’ ἄλλ’ εἰς δῆμον ἔδωκε.
ἧμες μὲν τὰ Ϝέκαστα διείπομεν, ἀμφί τε Ϝάστυ 706ᵃ = μ 16
’Ϝέρδομεν ἱρὰ θεοῖσ’· οἳ δὲ τρίτῳ ἤματι πάντες
ἦλθον ὁμῶς αὐτοὶ πολέες καὶ μώνυχες ἵπποι,
πανσυδίῃ· μετὰ δέ σφι Μολίονε ’θωρήσσοντο
παῖδ’ ἔτ’ ἐόντ’, οὔ πω μάλα Ϝειδότε θούριδος ἀλκῆς. 710ᵇ cf. Ο 527
ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη, 711 cf. Β 811
τηλόθ’ ἐπ’ Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος· 712ᵇ cf. Ι 153
τὴν ἀμφεστρατόοντο διαρραῖσαι μεμαῶτες. 713ᵇ = Β 473
ἀλλ’ ὅτε πᾶν πεδίον μετεκίαθον, ἦμι δ’ Ἀθήνη
ἄγγελος ἦλθε θέουσ’ ἀπ’ Ὀλύμπου θωρήσσεσθαι 715 = Σ 167

705 δαιτρεύειν, μή τίς Ϝοι ἀτεμβόμενος κίοι αἴσης. 705 cf. ι 42, 549
705 Zen. om., Ar. —

694 ὑπερηφανέοντες] †. || Ἐπειοί] l. a. Ἀχαιοὶ h. l. et vs. 737 ab Ar. commemorata.
695 ’μηχανάοντο § 191] -νόωντο mss.
696 δ’ ὁ] δὲ? || οἰῶν] vid. § 74 et ad vs. 678. Ecquid *μέγα πῶύ τε μήλων?
697 τριηκόσι’] male producitur prima syllaba; cf. φ 19. Bentley κρίνας μῆλα τριηκόσι’.
698 χρῆος § 190] χρεῖος mss. || *ὀφείλετο] -λετ’ ἐν mss., cf. vs. 686.
699 sqq.] recentem poetam prodit quadrigarum mentio, vid. Ο 680. Nam de binis bigis acutius quam verius accipiebat Ar., versum 702 cum α 335 conferri posse ratus. Naber in vs. 702 tentabat τὼ ... ἀκαχημένω. — Notetur praeterea liberior structura χρῆος...τέσσαρες ἵπποι.
699 ἀθλοφόροι] vid. ad Η 453.
703 ὁ] abundat. || ἔργων] caret littera Ϝ. Bentley ἠδέ τε Ϝέργων.
705 αἴσης Bentley coll. ν 138] ἴσης mss.
706 ἧμες § 92] ἡμεῖς mss. || τε] δὲ mss. pauca.
708 ἦλθον] ad res repetendas. || πολέες Christ] τε πολεῖς mss., cf § 83.
709 πανσυδίῃ] vid. ad Β 12.
712 τηλόθ’ § 322] τηλοῦ mss.
713] ἀμφεστρατόοντο § 191] -τόωντο mss. — Verbum †.
714 ἀλλ’ ὅτε] ἄλλο τε Bentley, cum praecedentibus iungens. || πεδίον μετεκίαθον] verba vix sana; cf. vs. 496. || ἦμι § 92] ἄμμι mss.
715 Ὀλύμπου] -οο? cf. § 59. Sed veri si-

ἔννυχος, οὐδ' ἀϜέκοντα Πύλον κάτα λαὸν ἄγειρε,
ἀλλὰ μάλ' ἐσσυμένους πολεμιζέμεν'. οὐδέ με Νηλεὺς
εἴαε θωρήσσεσθαι, ἀπέκρυψεν δέ μοι ἵππους·
οὐ γάρ πώ τί με Ϝίδμεν' ἔφη πολεμήια Ϝέργα.
ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισι,
καὶ πεζός περ ἐών, ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη.
ἔστι δέ τις ποταμὸς Μινυήιος εἰς ἅλα βάλλων
ἐγγύθεν Ἀρήνης, ὅθ' ἐμείναμεν Ἠόα δῖαν 723b = ι 151, 306, 436 μ 7
ἱππῆες Πυλίων, τὰ δ' ἐπέρρεε Ϝέθνεα πεζῶν.
ἔνθεν πανσυδίη σὺν τεύχεσι θωρηχθέντες 725b = Θ 530
ἔνδιοι ἱκόμεσθ' ἱερὸν ῥόον Ἀλφειοῖο.
ἔνθα Διὶ ῥέξαντες ὑπερμενέ' ἱερὰ καλά,
ταῦρον δ' Ἀλφειῷ, ταῦρον δὲ Ποσειδάωνι,
αὐτὰρ Ἀθηναίῃ γλαυκώπιδι βοῦν ἀγελαίην,
δόρπον ἔπειθ' ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι 730 cf. Η 380
καὶ κατεκοιμήθημεν ἐν ἔντεσι Ϝοῖσι Ϝέκαστος
ἀμφὶ ῥοὰς ποταμοῖο. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ 732b = 744 cf. Ψ 694
Ϝάστυ δὴ ἀμφίσταντο διαρραῖσαι μεμαῶτες.
ἀλλά σφι προπάροιθε 'φάνη μέγα Ϝέργον Ἄρηος· 734 cf. Μ 416
εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης,
συμφερόμεσθα μάχῃ Διί τ' εὐχόμενοι καὶ Ἀθήνῃ.
ἀλλ' ὅτε δὴ Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος,
πρῶτος ἐγὼν ἕλον ἄνδρα, 'κόμισσα δὲ μώνυχας ἵππους,
Μώλιον αἰχμητήν· γαμβρὸς δ' ἦν Αὐγείαο, 739b cf. Ν 428
πρεσβυτάτην δὲ θύγατρ' εἶχε ξανθὴν Ἀγαμήδην,

---

milius est olim hoc loco et versu parallelo fuisse quod Friedlaender proposuit: *θέουσα ἀπ' Οὐλύμποιο καρήνων.*

717 *πολεμιζέμεν'* § 125] *-ζειν* mss.

718 *εἴαε* § 191] *εἶα* mss.

719 **με Ϝίδμεν' ἔφη*] *μ' ἔφη ἴδμεν.* Cf. § 126.

720 *ἡμετέροισι*] ingeniose Nauck *ἀγρομένοισιν.*

723 *ὅθ' ἐμείναμεν*] *ὅθι μείναμεν* mss. || *Ἠόα* § 77] *Ἠῶ* mss.

724 *ἐπέρρεε*] *-ρρεον* mss. multa; cf. *Ν* 28.

725 *πανσυδίῃ*] vid. ad *Β* 12.

726 *ἔνδιοι*] *meridiano tempore*; adi. redit *δ* 450 (*ἐνδιάομαι* h. XXXI 6).

727 *ὑπερμενέ'* L] *-νε* D, *-νεῖ* mss. cett.; cf. § 73.

728] metrum ut *Β* 479.

729 *ἀγελαίην*] *-λείην* mss. nonnulla, *-λείῃ* Townl.

730 *δόρπον*] *δεῖπνον* Zen.; cf. vs. 86.

733 *Ϝάστυ δὴ ἀμφίσταντο* Christ] *ἀμφίσταντο δὴ ἄστυ* mss., Heyne *ἀμφίσταντ' ἄρα Ϝάστυ*, Bekker *ἀμφέσταν δὴ Ϝάστυ* coll. *Σ* 233, minus numerose. || *διαρραῖσαι*] *διαπραθέειν* mss. multa.

734 *προπάροιθε*] *prius*? Cf. § 318[6].

736 *συμφερόμεσθα*] vid. ad *Θ* 400.

737 *Ἐπειῶν*] l. a. *Ἀχαιῶν*; vid. ad vs. 694.

739 *Μώλιον* Nauck] *Μούλιον* mss. Item *Π* 696 *Υ* 472 *σ* 423. || *ἦν*] *ἔεν*? vid. § 302.

740 *θύγατρ' εἶχε*] *-τρα ἔχε*?

ἢ τόσα φάρμακ' ἐϝείδε' ὅσα τρέφει εὐρεῖα χθών.
τὸν μὲν ἐγὼ προσιόντα 'βάλον χαλκήρεϊ δουρί, 742 cf. ν 267
ἤριπε δ' ἐν κονίῃσιν· ἐγὼ δ' εἰς δίφρον ὀρούσας 743ᵃ cf. Ε 75
'στῆν ῥα μετὰ προμάχοισιν. ἀτὰρ μεγάθυμοι Ἐπειοὶ 744ᵇ = 732
ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ 'ϝίδον ἄνδρα πεσόντα 745ᵇ = χ 22
ἡγεμόν' ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι. 746 cf. Π 292
αὐτὰρ ἐγὼν ἐνόρουσα κελαινῇ λαίλαπι ϝῖσος, 746ᵇ = Ζ 460
πεντήκοντα δ' ἕλον δίφρους, δύο δ' ἀμφὶ ϝέκαστον
φῶτες ὀδὰξ ἕλον οὖδας ἐμῷ ὑπὸ δουρὶ δαμέντες. 749ᵇ = Π 848 cf. Ε 653
καί νύ κεν Ἀκτορίωνε Μολίονε παῖδ' ἀλάπαξα,
εἰ μή σφωε πατὴρ, εὐρὺ κρείων ἐνοσίχθων,
ἐκ πολέμοι' ἐσάωσε, καλύψας ἠέρι πολλῇ. 752ᵇ cf. Γ 381
ἔνθα Ζεὺς Πυλίοισι μέγα κράτος ἠγγυάλιξε· 753ᵇ = Ρ 613 cf. Ρ 206
τόφρα γὰρ οὖν ἑπόμεσθα ὑπασπίδιοι πεδίοιο,
κτείνοντές τ' αὐτοὺς ἀνά τ' ἔντεα καλὰ λέγοντες,
ὄφρ' ἐπὶ Βουπρασίου πολυπύρου 'βήσαμεν ἵππους
πέτρης τ' Ὠλενίης, καὶ Ἀλησίου ἔνθα κολώνη 757ᵃ cf. Β 617
κέκληται· ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη. 758 cf. Κ 200
ἔνθ' ἄνδρα κτείνας πύματον 'λίπον· αὐτὰρ Ἀχαιοὶ
ἂψ ἀπὸ Βουπρασίοιο Πύλονδ' ἔχον ὠκέας ἵππους, 760ᵇ cf. Γ 263
πάντες δ' ηὐχετάοντο θεῶν Διὶ Νέστορί τ' ἀνδρῶν.
ὧς ἔα, εἴ ποτ' ἔα γε, μετ' ἀνδράσιν. αὐτὰρ Ἀχιλλεὺς

741 *φάρμακ' ἐϝείδε'*] *-κα ᾔδει* aut *ᾔδη* mss.; cf. § 160.

747 *ἐνόρουσα*] *ἐπόρουσα* mss. pleraque. Cf. vs. 91, 149, 216.

748 *ἀμφὶ* Eust.] *ἀμφὶς* mss. cett. metro et sensu invitis.

749 *ὀδὰξ ἕλον οὖδας*] cf. Verg. Aen. X 489 *terram ... petit ore cruento*, et ibid. XI 418 *humum ... ore momordit.*

751 *εὐρὺ κρείων*] alias dicitur *Agamemnon.*

752 *πολέμοι'* § 59] *-μου* mss.

753 *ἠγγυάλιξε*] *ἐγγ.* mss.

754 **ὑπασπίδιοι*] *διὰ σπιδέος* vel *δι' ἀσπιδέος* mss., illud Zen. Amerias Herodianus, hoc Crates et Ptolemaeus Ascalonita. Utraque lectio nota erat Aristarcho variisque rationibus a veteribus grammaticis explicabatur; haec autem absurda est (planitiem clipei formam referentem vel clipeis tectam interpretabantur), sed ne *σπιδέος* quidem sana esse potest vox (†), nam compositis tantum adiectivis in *-ής* utitur dictio epica (vid. ad Ω 354). Correximus ad exemplum versuum Ν 158 (ubi vid. l. a.), 807 Π 609; *διά* interpretamento (*πεδίοιο* = *διὰ πεδίοιο*) deberi videtur. || *πεδίοιο*] vid. ad Β 785.

755 *λέγοντες*] l. a. *ἑλόντες.*

756 *πολυπύρου*] *-ροο*? cf. § 59.

757 *Ἀλησίου* Steph. Byz. s. v.] *Ἀλ(ε)ισίου* Ar. mss., cf. Β 617 et Strab. VIII p. 341. Civitatis nomen extat Inscr. Collitz. 1167 (*οἱ*) *Ἀλασυῆς*. — Ceterum poeta verum horum locorum situm ignorasse videtur (*Alesiaeum* in meridionali, *Olenus* in septentrionali Elidis parte postea certe sita fuit urbs); fortasse e Β 617 horum oppidorum nomina desumsit.

761 *ηὐχετάοντο* § 191] *εὐχετόωντο* mss.

762 *ἔα ... ἔα*] *ἔον ... ἔην* (*ἔον* L Lips.) mss.; cf. § 302. || *εἴ ποτ'*] vid. ad Γ 180.

οἶος ἑϝῆς ἀρετῆς ἀπονήσεται· ἦ τέ ϝ' ὀίω
πολλὰ μετακλαύσεσθαι, ἐπεί κ' ἀπὸ λαὸς ὄληται.
ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ' ἐπέτελλε — 765 cf. *I* 252
ἤματι τῷ, ὅτε σ' ἐκ Φθίης Ἀγαμέμνον' ἔπεμπε, — 766 = *I* 253
νῶι δέ τ' ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς,
πάντα μάλ' ἐν μεγάροισ' ἠκούομεν ὡς ἐπέτελλε.
Πηλῆος δ' ἱκόμεσθα δόμους εὖ ναιετάοντας, — 769[b] = *Z* 370
λαὸν ἀγείροντες κατ' Ἀχαιίδα πολυβότειραν.
ἔνθα δ' ἔπειθ' ἥρωα Μενοίτιον ηὕρομεν ἔνδον
ἠδὲ σέ, πὰρ δ' Ἀχιλῆα. γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνῳ
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον, — 774[a] cf. *Ω* 640
σπένδων αἴθοπα ϝοῖνον ἐπ' αἰθομένοισ' ἱεροῖσι. — 774[b] cf. *γ* 50, 53; 775[b] = *μ* 362 [*ο* 85
σφῶι μὲν ἀμφὶ βοὸς ἕπετον κρέα, νῶι δ' ἔπειτα
'στῆμεν ἐνὶ προθύροισι· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς, — 777 cf. *π* 12
εἰς δ' ἄγε χειρὸς ἑλών, κατὰ δ' ἑδριάεσθαι ἄνωγε — 777[b] = *I* 193; 778 = 646
ξείνιά τ' εὖ παρέθηκεν, ἅ τε ξείνοις θέμις ἐστί.
αὐτὰρ ἐπεὶ 'τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος, — 780 cf. *ε* 201
ἦρχον ἐγὼ μύθοιο, κελεύων ὔμ' ἅμ' ἕπεσθαι·
σφῶι μάλ' ἠθέλετον, τὼ δ' ἄμφω πόλλ' ἐπέτελλον.
Πηλεὺς μὲν ϝῷ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆι
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων· — 784 = *Z* 208
σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος, Ἄκτορος υἱός·
‚τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς, — 786[a] cf. *I* 254

767—785 Aristoph. Ar. —

763 ἑϝῆς PKnight] τῆς mss., ϝῆς Bentley. Cf. *P* 25. || *ϝ' ὀίω] μιν οἴω mss. Nauck ἦ μιν ὀίω. Cf. § 292*.

764 μετακλαύσεσθαι] comp. †.

766 Ἀγαμέμνον' ἔπεμπε] -νι πέμπε mss.

767 δέ τ' ed. Florent.] δὲ vel δ' mss.; Zenodotus νῶιν δ' ἔνδον legisse videtur, certe Ar. monebat νῶι sine ν esse legendum. Ecquid *ἄμφω δ' ἔνδον? || ἐόντες] ἐόντε?

768] etiam *H* 127 hoc colloquium respicitur. || -ροισ' ἠκούομεν] -ροισιν ἀκ.? || ἐπέτελλε] ἐκέλευε C.

770 πολυβότειραν D] πουλ. mss. cett., cf. § 21; Townl. καλλιγύναικα.

773 μηρί' ἔκαιε] μηρί' ἔκηε mss. (omnia?), μηρία καῖε Ar. || τερπικεραύνῳ] vid. § 251.

776 ἕπετον] sic Aristarchum cum mss. dedisse, Zenodotum vero ἑπέτην, e similibus locis *Θ* 448 *K* 545 apparet; cf. § 115.

778 ἑδριάεσθαι § 191] -άασθαι mss.

779 ξείνοις] pro -οισι vitiosum, vid. § 60; Christ ξείνοισιν ἔοικεν, nos tentavimus *παρέθηχ', ἥ τε ξείνων θέμις ἐστί coll. *ι* 268.

781 μύθοιο] μύθοισι D. || ὔμ' § 92] ὔμμ' vel ὔ(μ)μ' mss.

782 *σφῶι] σφὼ δὲ mss., cf. § 92. || ἠθέλετον] -την Zen.; vid. § 115 et ad vs. 776.

786 sq.] *nobilior est Achilles, tu vero maior natu.* Mire in his verbis interpretandis errarunt veteres, quorum alii (in his Ar-

πρεσβύτερος δὲ σύ ἐσσι· βίῃ δ᾽ ὅ γε πολλὸν ἀμείνων.
ἀλλ᾽ εὖ Ϝοι φάσθαι πυκινὸν Ϝέπος ἠδ᾽ ὑποθέσθαι
καί Ϝοι σημαίνειν· ὃ δὲ πείσεται εἰς ἀγαθόν περ.‘. 789b cf. Ι 102a
ὣς ἐπέτελλ᾽ ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ᾽ ἔτι καὶ νῦν 790 = Ι 259
παρϜείποις Ἀχιλῆα δαΐφρονα, αἴ κε πίθηται·
τίς Ϝοῖδ᾽ εἴ κέν Ϝοι σὺν δαίμονι θυμὸν ὀρίναις 792 cf. Ο 403
παρϜειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου. 793 = Ο 404
εἰ δέ τινα φρεσὶ Ϝῇσι θεοπροπίην ἀλεείνει 794-799 cf. Π 36 sqq.
καί τινά Ϝοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ, 795 cf. Π 51
ἀλλὰ σέ περ προέτω, ἅμα δ᾽ ἄλλος λαὸς ἑπέσθω
Μυρμιδόνων, αἴ κέν τι φάος Δαναοῖσι γένηαι. 797b = Θ 282
καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι,
αἴ κέ σε τῷ Ϝίσκοντες ἀπόσχωνται πολέμοιο 799 cf. Π 41 [sqq.
Τρῶες, ἀναπνεύσωσι δ᾽ ἀρήιοι υἷες Ἀχαιῶν 799b-801 = Σ 199; 799b sq.a cf. Ξ 78 sq.
τειρόμενοι· ὀλίγη δέ τ᾽ ἀνάπνευσις πολέμοιο. 800-802 = Π 42 sqq.
ῥεῖα δέ κ᾽ ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ [45, 376
ὤσαισθε προτὶ Ϝάστυ νεῶν ἄπο καὶ κλισιάων.“ 803 cf. Ξ 146 Π
ὣς ᾽φάτο, τῷ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε. 803a cf. Π 655; 804 = Λ 208

794 sq. Zen. — || 802 sq. Ar. —

chilochus) ὑπέρτερος vertebant *iunior*, alii *maior natu* (in his tragici), in versu sequenti πρεσβύτερος intellegentes *gravioris auctoritatis virum.* Cf. Δ 59 et vid. Sophoclis dictum apud Plutarch. Nic. 533*b*.

787 σύ ἐσσι] cf. Ζ 123.

790 ἐπέτελλ᾽ ὁ] -λλε?

791 παρϜείποις Ἀχιλῆα δαΐφρονα vHerwerden Naber] ταῦτ᾽ εἴποις Ἀχιλῆι δαΐφρονι mss.; Bentley Ϝείποις ταῦτ᾽, Heyne τὰ Ϝείποις. || πίθηται] in pap. Genev. versus finis est σον; Nicole ταῦτ᾽ εἰπὼν Ἀχιλῆι δαΐφρονι δεῦρο κάλεσσον tentavit.

792-803] del. PKnight; et vs. certe 794-803 e libro Π perperam esse repetitos, nam sic demum venusta haec esse si ultro a Patroclo proferantur, docet sensus pulchri.

792 τίς Heyne] τίς δ᾽ mss. || ὀρίναις] -νῃς Hermann, fortasse recte; cf. vs. parall. et ξ 120.

793 παραίφασις] redit loco parallelo; cf. πάρφασις Ξ 27.

795] post hunc versum pap. Genev. habet duorum versuum litteras finales ογεροντοσ et ωνιθοαων, quas Nicole supplevit <ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοι>ο γέροντος, | <αὐτὸς μὲν νηῶν μενέτω ἐν ἀγ>ῶνι θοάων, coll. Α 538, 556 al. et Π 239 Λ 421.

796 ἅμα δ᾽ ἄλλος] ἄλλος δ᾽ ἅμα Nauck metri causa. || ἄλλος λαὸς ἑπέσθω] pap. Genev. <ἄλλον> λαὸν ἀνώχθω (= vs. 189).

797 αἴ κέν] ἤν πού G Barocc. (vid. vs. parall.). || φάος Eust.] φόος vel φόως mss. cett. Cf. § 71.

798] in pap. Genev. huius versus exitus est ηρηχθηναι, Nicole supplevit <καὶ δότω ὤμοιιν τὰ ἃ τεύχεα θ>ωρηχθῆναι coll. Π 40.

799 ἴσκοντες] sic Zen., εἴσκοντες Ar. D[2] Lips., item Π 41 δ 279 (contractione inaudita); cf. § 242.

801 ὀλίγη δέ τ᾽ ἀνάπνευσις] sc. ἐστι. Verba obscuriora; vHerwerden ὀλίγην γε ἀνάπνευσιν, item loco parall. || τ᾽] del. Nauck.

803 ὤσαισθε] optativum, non subiunctivum, requiri apparet coll. Π 45.

804] in pap. Genev. subiunctus est versus <τεῖρε γὰρ αἶνον ἄχος κραδίην, ἀ>κάχησε δὲ θυμόν (supplevit Nicole coll. Π 52).

ἂψ ᾖ δὲ θέειν παρὰ νῆας ἐπ' Αἰακίδην Ἀχιλῆα. 805^a cf. Ξ 354 ; 501
ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
ἷξε θέων Πάτροκλος, ἵνα σφ' ἀγορή τε θέμις τε
ἦεν, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί,
ἔνθα Ϝοι Εὐρύπυλος βεβλημένος ἀντεβόλησε,
διογενὴς Ἐυαιμονίδης, κατὰ μηρὸν ὀϊστῷ,
σκάζων ἐκ πολέμου· κατὰ δὲ νότιος ῥέεν ἱδρὼς 811^b = Ψ 715
ὤμων καὶ κεφαλῆς, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο 812^b sq. cf. Π 528 sq.
αἷμα μέλαν κελάρυζε· νόος γε μὲν ἔμπεδος ἦεν.
τὸν δὲ Ϝιδὼν ᾤκτιρε Μενοιτίου ἄλκιμος υἱός, 814^a = Π 5 Ψ 534
καί Ϝ' ὀλοφυρόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„ἆ δϜειλοί, Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες, 816^b = λ 526
ὣς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης 817^b = Π 539 σ 145 τ 301 ω 290
ἀσέμεν' ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ;
ἀλλ' ἄγε μοι τόδε Ϝειπέ, διοτρεφὲς Εὐρύπυλ' ἥρως,
ἤ ῥ' ἔτι που σχήσουσι πελώριον Ἕκτορ' Ἀχαιοί,
ἦ ἤδη φθίσονται ὑπ' αὐτοῦ δουρὶ δαμέντες."
τὸν δ' αὖτ' Εὐρύπυλος πεπνυμένος ἀντίον ηὔδα· 822 cf. Γ 203
„οὐκέτι, διογενὲς Πατρόκλεες, ἄλκαρ Ἀχαιῶν
ἔσσεται, ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέονται. 824 cf. Ι 235
οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, 825 sq. = Π 23 sq.
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε 826 = 659
χερσὶν ὕπο Τρώων· τῶν δὲ σθένος ὄρνυται αἰεί. 827^a = Σ 11

805] in pap. Genev. subiunctus est versus <τὸν δ' εὗρε προπάροιθε νεῶ>ν ὀ<ρθοκρ>α<ιρ>ά<ων> (supplevit Nicole coll. Σ 3).
806] Ulixis navis *in mediis castris* subducta erat, extrema autem tenebant Aiax et Achilles (vid. Θ 222 sq. = Λ 5 sq.). Apud *Agamemnonis* navem concio habetur Η 383
807] in pap. Genev. subiunctus est versus <καὶ κλισίαι προπάροιθε νεῶν ὀρθ>οκραιράων (supplevit Nicole).
808 ἦεν § 302] ἤην (εἶεν) mss., Nauck ἔπλετο.
809 sqq.] cf. vs. 583 sqq.
809 ἀντεβόλησε] ἀντεμόλησεν pap. Genev. (vid. ad Η 114).
811 κατὰ] ἀπὸ pap. Genev. || νότιος] vid. ad Θ 307.
814 ᾤκτιρε] ᾤκτειρε mss. non recte; cf. CIA. 463^2, Meisterhans Gramm. der att. Inschr.^{2} p. 142. Verbum redit Π 5 Ψ 534, 548 Ω 516 h. Cer. 137. || ἄλκιμος] ἀγλαὸς pap. Genev.
815] pap. Genev. ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν (= Ζ 253 etc.). || *Ϝ'] ῥ' mss.
818 ἀσέμεν' § 125] ἄσειν mss. || ἀργέτι δημῷ] l. a. ἠδ' οἰωνούς. De voce ἀργέτι cf. § 18.
822 δ' αὖτ'] δηυπ pap. Genev. || πεπνυμένος pap. Genev. C L] βεβλημένος mss. cett.
823 Πατρόκλεες § 73] -κλεις mss. || ἄλκαρ] ἦμαρ pap. Genev.
824 πεσέονται] *Achaei*? an *Troiani*? vid. ad Ι 235.
827 τῶν δὲ σθένος ὄρνυται αἰεί] τοῦ δὲ σθένος ἀὲν ὄρωρε pap. Genev., ubi deinde subiuncti sunt versus tres Ἕκτορος, ὃς τάχα νῆας ἐνιπλήσει (-εισῃ ms.) πυρὶ κηλέῳ, | δηώσας Δαναοὺς παρὰ θῖν' ἁλός. αὐτὰρ Ἀχιλλεὺς | ἐσθλὸς ἐὼν Δαναῶν οὐ κήδεται οὐδ' ἐλεαίρει. || αἰεί] αἰέν (ἀέν) mss.

ἀλλ' ἐμὲ μὲν σὺ σάωσον ἄγων ἐπὶ νῆα μέλαιναν,
μηροῦ δ' ἔκταμ' ὀιστὸν, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν 829ᵇ sq.ᵃ cf. 845 sq.
νίζ' ὕδατι λιαρῷ, ἐπὶ δ' ἤπια φάρμακα πάσσε
ἐσθλὰ, τά σε προτί φασιν Ἀχιλλῆος δεδαέσθαι,
ὃν Χίρων ἐδίδαξε, δικαιότατος Κενταύρων.
ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων,
τὸν μὲν ἐνὶ κλισίῃσιν ὀίομαι ἕλκος ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος,
κεῖσθαι· ὃ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα."
τὸν δ' αὖτε προσέϝειπε Μενοιτίου ἄλκιμος υἱός·
„πῶς τ' ἄρ' ἔη τάδε ϝέργα; τί ῥέξομεν, Εὐρύπυλ' ἥρως;
ἔρχομαι, ὄφρ' Ἀχιλῆι δαΐφρονι μῦθον ἐνίσπω,
ὃν Νέστωρ ἐπέτελλε γερήνιος, οὖρος Ἀχαιῶν· 840 cf. Θ 80
ἀλλ' οὐδ' ὧς περ σεῖ' ἀμελήσω τειρομένοιο."
ἦ, καὶ ὑπὸ στέρνοιο λαβὼν ἄγε ποιμένα λαῶν
εἰς κλισίην· θεράπων δὲ ϝιδὼν ὑπέχευε βοείας.
ἔνθα μιν ἐκτανύσας ἐκ μηροῦ 'τάμνε μαχαίρῃ
ὀξὺ βέλος περιπευκὲς, ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν 845ᵇ sq.ᵃ cf. 829 sq.
'νίζ' ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν 'βάλε πικρὴν
χερσὶ διατρίψας, ὀδυνήφατον, ἥ ϝοι ἁπάσας
ἔσχ' ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, 'παύσατο δ' αἷμα. 848ᵇ = 267

828 *νῆα μέλαιναν*] *νῆας Ἀχαιῶν* D.
830 *πάσσε*] *πάσσων* pap. Genev.
831 sq.] del. PKnight; vid. ad *Ι* 485.
831 *δεδαέσθαι*] *δεδάασθαι* Zen., *δεδιδάχθαι* mss.; cf. *π* 316 et vid. § 191 et 203.
832 *δικαιότατος*] *cultissimus*; ceteri centauri, ut Cyclopes (*ι* 175, 215), feri erant et *morum* (*δίκης*) expertes.
833 sq.] de anacolutho cf. *Β* 353.
835 sq.] in pap. Genev. fuit spatium sex versuum capax, videntur igitur quatuor versus aliunde ignoti subiuncti fuisse.
838 *ἔη* Duentzer] *ἔοι* mss., *ἔην* Zen. || Post hunc versum in pap. Genev. alium fuisse subiunctum e spatio apparet.
840 *γερήνιος*] cf. *Β* 336.
841 *σεῖ' ἀμελήσω* Zen. (*δὲ ἀμ.* ms., corr. Villoison)] *σεῖο μεθήσω* Ar. mss. non recte, nam activo *μεθίημι* genitivus non iungitur. Cf. *Ν* 419 alibi.
844 *μαχαίρῃ*] cf. *Γ* 271. — Uncos cuspidis in femur Eurypyli penetrasse apparet; cf. *Δ* 151, 213.
845 *περιπευκὲς*] †, cf. *ἐχεπευκὲς* *Α* 51 *Δ* 129.
847 *ὀδυνήφατον*] cf. *Ε* 401.
848 *ἔσχ'*] *ἴσχ'* pap. Genev.

ΙΛΙΑΔΟΣ Μ.

Τειχομαχία.

ὣς ὁ μὲν ἐν κλισίῃσι Μενοιτίου ἄλκιμος υἱὸς
ἰάετ' Εὐρύπυλον βεβλημένον· οἱ δ' ἐμάχοντο
Ἀργέιοι καὶ Τρῶες ὁμιλαδόν. οὐδ' ἄρ' ἔμελλε
τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθε
εὐρύ, τὸ 'ποιήσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον 5ᵇ sq. = *H* 449 sq.
ἤλασαν· οὐδὲ θεοῖσι 'δόσαν κλειτὰς ἑκατόμβας,
ὄφρα σφιν νῆάς τε θοὰς καὶ ληίδα πολλὴν
ἐντὸς ἔχον ῥύοιτο· θεῶν δ' ἀϜέκητι 'τέτυκτο
ἀθανάτων· τὸ καὶ οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν.
ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ ἐμήνι' Ἀχιλλεὺς
καὶ Πριάμοιο Ϝάνακτος ἀπόρθητον 'πλέτο Ϝάστυ,
τόφρα δὲ καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν·
αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων 'θάνον ὅσσοι ἄριστοι,
πολλοὶ δ' Ἀργείων οἱ μὲν 'δάμεν, οἱ δ' ἐλίποντο, 14 cf. δ 495
'πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ,

---

2 *ἰάετ'* § 191] *ἴατ'* mss.

5-40] del. PKnight, ut alia multa in castrorum oppugnatione (*M—O*) manum recentiorem produnt; certe vs. 8-35 sero nati sunt. Primus poeta, qui *murum* hostibus obiectum non norat, *ἐπὶ νανσὶ μάχην* qualem finxerit (nam abesse a prisco carmine haec non potuit) accurate definiri nequit.

9 *τὸ*] vid. § 96.

10 *ἔην*] *ἔεν*? vid. § 302. || *ἐμήνι'*] *μήνι'* mss.

11 **ἀπόρθητον 'πλέτο Ϝάστυ*] *ἀπόρθητος πόλις ἔπλε(ν)* Zen. Ar. mss. pleraque, *ἔπλευ* D G, *ἦεν* L, quam lectionem ab Aristarcho reiectam esse censent LaRoche Leaf. — Adi. *ἀπόρθητος* †.

12 *ἔμπεδον*] cf. tamen *M* 399 *O* 361.

Ἀργεῖοι δ' ἐν νηυσὶ φίλην εἰς πατρίδ' ἔβησαν,
δὴ τότ' ἐμητιάοντο Ποσειδάων καὶ Ἀπόλλων
τεῖχος ἀμαλδῦναι, ποταμῶν μένος εἰσαγαγόντες,
ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσι,
Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε 20-22ª cf. Hes. Theog. 340-345
Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος
καὶ Σιμόεις, ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
κάππεσον ἐν κονίῃσι καὶ ἡμιθέων γένος ἀνδρῶν.
τῶν πάντων ὁμόσε στόματ' ἔτραπε Φοῖβος Ἀπόλλων,
ἐννῆμαρ δ' εἰς τεῖχος ἵει ῥόον· ὗε δ' ἄρα Ζεὺς 25ᵇ = ξ 457
συννεχές, ὄφρ' ἔτι θᾶσσον ἁλίπλοα τείχεα θείη.
αὐτὸς δ' ἐνοσίγαιος ἔχων χείρεσσι τρίαιναν
ἡγέετ', ἐκ δ' ἄρα πάντα θεμείλια κύμασ' ἔπεμπε
φιτρῶν καὶ λάων, τὰ 'θέσαν μογέοντες Ἀχαιοί, 29ª = Φ 314
λεῖα δ' ἐποίησεν παρ' ἀγάρροον Ἑλλήσποντον,
αὖτις δ' ἠιόνα μεγάλην ψαμάθοισ' ἐκάλυψε, 31 cf. *H* 462
τεῖχος ἀμαλδύνας· ποταμοὺς δ' ἔτρεψε νέεσθαι
κὰρ ῥόον, ῇ περ πρόσθεν ἵει καλλίρροον ὕδωρ.
ὣς ἄρ' ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων
θησέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τ' ἐδεδήει

---

17 *(ἐ)μητιάοντο* § 191] *μητιόωντο* mss., *δηριόωντο* Etym. M. s. v. *δῆρις* (266,40).

18 *ἀμαλδῦναι*] vid. ad *H* 463.

20] fluminum ignotorum nomina; excepto autem Careso etiam Hes. Theog. 340 sqq. commemorantur, quem locum e nostro fluxisse statuit Ar.

21 *δῖος*] *θεῖος* loco parall.

22 sq.] imitatur Verg. Aen. I 100 sq.: *ubi tot Simois correpta sub undis | scuta virum galeasque et fortia corpora volvit.*

22 *βοάγρια*] *boum exuviae, scuta* (= *βοεῖαι*). Vox *π* 296 redit; cf. *ἀνδράγρια* *Ξ* 509.

23 *ἡμιθέων*] vox a poeta aliena, qui semideos non novit (vid. ad *λ* 301, 602-604 Hes. Oper. 160); sed recenti hoc loco fortasse ferenda. Redit h. XXX 19 et XXXI 19. Ingeniose Bentley *κάππεσον ἐν δίνῃσι καὶ ἰφθίμων μένε' ἀνδρῶν*, propius vulgatam urgens Axt *ἐν κονίῃ καὶ ἀρηιθόων*.

25 *ἐννῆμαρ*] *ἓν δ' ἦμαρ* Callistratus male, idem (aut *ἓν ἦμαρ δ'*) Crates Mallotes.

26 *συννεχές*] *συνεχές* Aristoph. Ar. et mss. pleraque; cf. § 44. Redit adv. *ι* 74, sed utrobique glossema esse, poetam autem *νωλεμές* dedisse, censet vHerwerden coll. *I* 317 *Ξ* 58 etc. Vid. ad *K* 364. || **ὄφρ' ἔτι*] *ὄφρα κε* mss. In vulgata male abundat *κε*. || *ἁλίπλοα*] †.

27 sq.] cf. Verg. Aen. II 610 sq. *Neptunus muros magnoque emota tridenti | fundamenta quatit.*

27 *ἐνοσίγαιος* § 21] *ἐννοσίγαιος* mss.

28 *ἡγέετ'* § 191] *ἡγεῖτ'* mss. || *θεμείλια*] redit vox *Ψ* 255 h. Ap. 254, 294. || *κύμασ' ἔπεμπε*] *-σι πέμπε* mss. Cornutus 23 *θεμέθλια χεῦε θύραζε*, cf. *Φ* 237.

30 *ἐποίησεν*] sic Ar., *-σαν* Vrat. || *ἀγάρροον*] vid. ad *B* 845.

31 *ψαμάθοισ' ἐκάλυψε*] *-σι κάλ.* mss.

32 *ἀμαλδύνας*] vid. ad *H* 463.

33 *ἵει* Herodian.] *ἵη* A, *ἵεν* vel *ἷεν* mss. cett.; cf. Apoll. lex. s. v.

34 *ἄρ' ἔμελλον*] *ἤμελλον* Zen. male.

τεῖχος ἐΰ δμητὸν, 'κανάχιζε δὲ δούρατα πύργων
βαλλόμεν'· Ἀργέιοι δὲ Διὸς μάστιγι δαμέντες 37 cf. *Ν* 812
νηυσὶν ἔπι γλαφυρῇσι ϜεϜελμένοι ἰσχανάοντο,
Ἕκτορα δεδϜιότες, κρατερὸν μήστωρα φόβοιο· 39ᵇ = *Z* 97
αὐτὰρ ὅ γ', ὡς τὸ πρόσθεν, ἐμάρνατο Ϝῖσος ἀέλλῃ.
ὡς δ' ὅτ' ἔναντα κύνεσσι καὶ ἀνδράσι θηρητῇρσι
κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων· 42ᵇ cf. *Θ* 337
οἳ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες 43ᵇ = 86 *Ν* 152
ἀντίοι ἵστανται καὶ ἀκοντίζουσι θαμείας 44ᵇ cf. *Ξ* 422
αἰχμὰς ἐκ χειρῶν· τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ
ταρβέει οὐδὲ φοβεῖται, ἀγηνορίη δέ μιν ἔκτα· 46ᵃ = *Φ* 575
ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων, 47ᵇ = *Ο* 615
ὅππῃ τ' ἰθύσῃ, τῇ Ϝείκουσι στίχες ἀνδρῶν·
ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐϜελίσσεθ' ἑταίρων,
τάφρον ἐποτρύνων διαβαινέμεν'. οὐδέ τοι ἵπποι
'τόλμαον ὠκύποδες, μάλα δ' ἐχρεμέτιζον ἐπ' ἄκρῳ
χείλε' ἐφεσταότες· ἀπὸ γὰρ 'δεδϜίσσετο τάφρος
εὐρεῖ', οὔτ' ἄρ' ὑπερθορέμεν σχεδὸν οὔτε περῆσαι
ῥηιδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν
ἕστασαν ἀμφοτέρωθεν, ὕπερθεν δὲ σκολόπεσσι
ὀξέσιν ἠρήρει, τοὺς ἵστασαν υἷες Ἀχαιῶν

---

36 *'κανάχιζε*] † (*κ* 399 l. a.), *'κανάχησε τ* 469 (l. a. *ρ* 542). || *δούρατα*] *trabes* (ut *B* 135 etc.). Male Ar. interpretabatur *hastas*, nam iungi nequit *πύργων βαλλόμεν'*.

38 *ϜεϜελμένοι*] *ἐεργμένοι* mss. complura. || *ἰσχανάοντο* § 191] *-νόωντο* mss.

40 *πρόσθεν*] *πρῶτον* C. Cf. *Ν* 502. || *ἐμάρνατο*] *ἐμαίνετο* Aristoph.

41-48] cf. Verg. Aen. IX 551—553.

41 *ἔναντα* Monro coll. *Υ* 67] *ἄν ἔν τε* mss. male; cf. § 122. Nauck *ἠύτε δ' ἔν τε*, Paech *ὡς δ' ὁπότ' ἔν τε*. || *θηρητῇρσι* l. a. in schol.] *θηρευτῇσι* mss.; cf. *Δ* 325.

43 *πυργηδὸν*] vid. ad *Δ* 334.

44 *ἀντίοι*] *-ον* Ar. Townl.; cf. *Z* 54.

46 *ταρβέει*] *ταρβεῖ* mss. vitio metrico; vid. § 14 et 191. || *ἀγηνορίη*] sic Ar., *-ῃ* Z.

48] del. PKnight. || *τῇ* Bentley] *τῇ τ'* mss.

49 *ἐϜελίσσεθ'* PKnight Cobet] *εἰλίσσεθ'* Aelian. Nat. Anim. VI 6, item Nicanor, *ἑλίσσεθ'* H; cf. *M* 467. Male mss. cett. *ἐ(λ)λίσσεθ'*, quam lectionem ex *E* 491 defendi posse putabant. || *ἑταίρων* Gerhard] *ἑταίρους* mss., quae lectio ferri nequit nisi post *ἐϜελίσσεθ'* interpungatur, loco incommodo, licet similes sint versuum 44 et 51 numeri.

50 *διαβαινέμεν'*] *διαβήμεναι* Townl. et Aelian. l. l. || **τοι*] *οἱ* mss. Weil *τῳ*, quod *τιν'(ι)* potius foret scribendum (vid. § 99); sed pronomen requiri non videtur.

51 *'τόλμαον* § 191] *τόλμων* mss. || *ἐχρεμέτιζον*] †, cf. *χρόμαδος* *Ψ* 688.

52 *χείλε'* § 71] *χείλει* mss.; *χείλεϊ* (*χείλει*) *ἑσταότες* L et Aelian. l. l. et. l. a. ap. Eust.

53 *οὔτ' ἄρ'*] *οὐ γὰρ* Townl. || *ὑπερθορέμεν* § 126] *-έειν* mss. || *σχεδὸν*] vox corrupta; expectatur *ἄντικρυς* vel eiusmodi aliquid.

54 *περὶ*] *διὰ* Aristoph.

55 *ἕστασαν*] sic Ar., male *ἔστασαν* G (vid. vs. sq.).

56 *ἵστασαν* PKnight Spitzner] *ἕστασαν* Ar. aliique grammatici et mss. (*ἕστασαν* H);

πυκνοὺς καὶ μεγάλους, δηίων ἀνδρῶν ἀλεωρήν. 57ᵇ = *O* 533
ἔνθ' οὐ ῥειά κεν ἵππος ἐύτροχον ἅρμα τιταίνων 58ᵇ cf. *B* 390
εἰσβαίη, πεζοὶ δὲ 'μενοίναον, εἰ τελέουσι.
δὴ τότε Πολυδάμας θρασὺν Ἕκτορα 'Ϝεῖπε παραστάς· 60 = 210 cf. *N* 725
„Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων, 61 = *P* 335
ἀφραδέως διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους·
ἣ δὲ μάλ' ἀργαλέη περάειν, σκόλοπες γὰρ ἐν αὐτῇ
ὀξέες ἑστᾶσι, προτὶ δ' αὐτοὺς τεῖχος Ἀχαιῶν.
ἔνθ' οὔ πως ἔστιν καταβήμεναι οὐδὲ μάχεσθαι
ἱππεῦσι· στεῖνος γάρ, ὅθι τρώσεσθαι ὀίω.
εἰ μὲν γὰρ τοὺς πάγχυ κακὰ φρονέων ἀλαπάζει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ Ϝίετ' ἀρήγειν,
ἦ κεν ἐγώ γ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς· 70 = *N* 227 *Ξ* 70
εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται
ἐκ νηῶν καὶ τάφρῳ ἐνιπλήξωμεν ὀρυκτῇ, 72 cf. *O* 344
οὐκέτ' ἔπειτ' ὀίω οὐδ' ἄγγελον ἀπονέεσθαι
ἄψορρον προτὶ Ϝάστυ Ϝελιχθέντων ὑπ' Ἀχαιῶν. 74ᵃ = *Π* 376
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες. 75 = *B* 139
ἵππους μὲν θεράποντες ἐρυκόντων ἐπὶ τάφρῳ,
αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες 77 = *Λ* 49
Ἕκτορι πάντες ἑπώμεθ' ἀϜολλέες· αὐτὰρ Ἀχαιοὶ
οὐ μενέουσ', εἰ δή σφιν ὀλέθρου πείρατ' ἐφῆπται. 79ᵇ = *H* 402
ὣς 'φάτο Πολυδάμας, 'Ϝάδε δ' Ἕκτορι μῦθος ἀμύμων, 80 sq. = *N* 748 sq.

---

vid. § 196 et *B* 525 *Σ* 346 *γ* 182 *θ* 435 *σ* 307. Imperfectum hinc alienum ducentes Nauck *ἤραρον*, Fick *υἷες στῆσαν* coniecerunt.

57 *δηίων*] cf. § 17.

58 **ῥειά κεν*] *κεν ῥέα* mss. hiatu vitioso, *κεν ῥεῖ'* Bentley. Cf. § 88.

59 *εἰσβαίη*] *καββαίη* Zen. Aristoph. || *'μενοίναον* § 191] -*νεον* mss. || *τελέουσι*] *τελέοιεν* APlatt.

60 *Πολυδάμας* § 21] *Πουλ.* mss. || *Ἕκτορα*] accusativus personae verbo *Ϝειπεῖν* adiunctus est etiam *M* 210 *N* 725 *P* 237, 334, 651 *Υ* 375, vid. praeterea *E* 170 *Ω* 333 *ε* 28 *ψ* 91 et ad *Λ* 403 *Ψ* 155 *θ* 334.

61 *τ'*] om. D.

62 *διά*] l. a. *περί*. || *ἐλαύνομεν ὠκέας*] l. a. -*νετε μώνυχας*.

63 *περάειν* § 191] *περάαν* mss. || *ἐν αὐτῇ*] *ἀν' αὐτὴν* C, *ἐπ' αὐτῇ* vHerwerden.

64 *προτί*] *περὶ* mss. multa; cf. *H* 337, 436. || *αὐτούς*] *αὐτὴν* APlatt coll. *H* 436, 440.

66 *ἱππεῦσι*] *ἱππῆας* Zen. Aristoph.

67 *τούς* Aristoph.] *δὴ* mss.

68 *ἵετ'* L et veteres teste Didymo] *βούλετ'* mss. cetera.

69 *κεν* § 326] *τ' ἂν* mss.

72 *ἐνιπλήξωμεν*] redit verbum intransitivum (= *irruere*) *O* 344 *χ* 469.

75 *ἄγεθ' ὥς*] *ἄγε τὼς* Zen. || *κεν* § 326] *ἂν* mss.

77 *πρυλέες*] cf. *E* 744.

79 *πείρατ'*] *πεῖραρ* Zen. Aristoph. fortasse recte. Vid. ad *Z* 143.

80 *Πολυδάμας* § 21] *Πουλ.* mss. || **ἀμύμων*] *ἀπήμων* mss. Cf. *N* 748 *μ* 167.

αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε. 81 = Γ 29
οὐδὲ μὲν ἄλλοι Τρῶες ἐφ' ἵππων ἠγερέθοντο,
ἀλλ' ἀπὸ πάντες ὄρουσαν, ἐπεὶ 'ϝίδον Ἕκτορα δῖον.
ἡνιόχῳ μὲν ἔπειτα ἑϝῷ ἐπέτελλε ϝέκαστος 84 sq. = Λ 47 sq.
ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν' αὖθ' ἐπὶ τάφρῳ·
οἳ δὲ διαστάντες, σφέας αὐτοὺς ἀρτύναντές, 86[b] = 43
πένταχα κοσμηθέντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
οἳ μὲν ἅμ' Ἕκτορ' ἴσαν καὶ ἀμύμονι Πολυδάμαντι,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, 'μέμασαν δὲ μάλιστα 89 = 197
τεῖχος ῥηξάμενοι κοίλῃσ' ἐπὶ νηυσὶ μάχεσθαι.
καί σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ' ὄχεσφι
ἄλλον Κεβριόναο χερείονα κάλλιπεν Ἕκτωρ.
τῶν δ' ἑτέρων Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ,
τῶν δὲ τρίτων Ἕλενος καὶ Δηίφοβος θεοϝειδής,
υἷε δύω Πριάμοιο· τρίτος δ' ἦν Ἄσιος ἥρως, 95[a] = Λ 102
Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν 'φέρον ἵπποι 96 sq. = B 838 sq.
αἴθωνες μεγάλοι, ποταμοῖ' ἄπο Σελλήεντος.
τῶν δὲ τετάρτων ἦρχεν ἐὺς πάις Ἀγχίσαο,
Αἰνείας, ἅμα τῷ γε δύω Ἀντήνορος υἷε, 99[b] sq. = B 822 sq.
Ἀρχέλοχός τ' Ἀκάμας τε, μάχης ἐὺ ϝειδότε πάσης.
Σαρπηδὼν δ' ἡγεῖτο ἀγακλειτῶν ἐπικούρων,
πρὸς δ' ἕλετο Γλαῦκον καὶ Ἀρήιον Ἀστεροπαῖον·
οἳ γάρ ϝοι 'ϝείσαντο διακριδὸν ἔμμεν' ἄριστοι 103[b] cf. O 108
τῶν ἄλλων μετά γ' αὐτόν· ὃ δ' ἔπρεπε καὶ διὰ πάντων.
οἳ δ' ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσι,
'βάν ῥ' ἰθὺς Δαναῶν λελιημένοι, οὐδ' ἔτ' ἔφαντο 106 cf. Π 552
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι. 107 = I 235
ἔνθ' ἄλλοι Τρῶες τηλεκλειτοί τ' ἐπίκουροι
βουλῇ Πολυδάμαντος ἀμωμήτοἰ ἐπίθοντο·

85 αὖθ'] αὖτ'(ε) H et schol.
86 sq. ἀρτύναντες ... ἕποντο] sic Ar., ἀρτύναντο ... ἕκαστοι L, l. a. ἕκαστος.
87 πένταχα] †.
88 Πολυδάμαντι § 21] Πουλ. mss.
90] τεῖχός τε ῥήξειν καὶ ἐνιπρήσειν πυρὶ νῆας (= vs. 198) mss. multa.
95 δύω] δύο CD. Cf. § 91. || ἦν] ἔεν? vid. § 302.
96] de epanalepsi vid. ad B 672.
97 ποταμοῖ' § 59] -μοῦ mss.
101 ἡγεῖτο L] ἡγήσατ' mss. cetera.
103 ἔμμεν' § 125] εἶναι mss.
104] del. PKnight.
106 λελιημένοι] vid. ad Δ 465.
107] vid. ad I 235.
109 Πουλυδάμαντος § 21] Πολ. mss. || ἀμωμήτοἰ ἐπίθοντο] -τοιο πίθοντο mss.; cf. § 59. — Vox ἀμώμητος redit h. XXXII 3. Vid. ad Γ 412.

ἀλλ᾽ οὐχ Ὑρτακίδης ἔθελ᾽ Ἄσιος, ὄρχαμος ἀνδρῶν, 110 cf. *B* 837
αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα,
ἀλλὰ σὺν αὐτοῖσιν ᾽πέλασεν νήεσσι θοῇσι,
νήπιος, οὐδ᾽ ἄρ᾽ ἔμελλε κακὰς ὑπὸ κῆρας ἀλύξας
ἵπποισιν καὶ ὄχεσφιν ἀγαλλόμενος παρὰ νηῶν
ἂψ ἀπονοστήσειν προτὶ Ϝίλιον ἠνεμόεσσαν· 115 = *Θ* 499
πρόσθεν γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψε
ἔγχεϊ Ἰδομενῆος, ἀγαυοῦ Δευκαλίδαο.
᾽Ϝίσατο γὰρ νηῶν ἐπ᾽ ἀριστερά, τῇ περ Ἀχαιοὶ
ἐκ πεδίου ᾽νίσσοντο σὺν ἵπποισιν καὶ ὄχεσφι·
τῇ ῥ᾽ ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύλῃσι
ηὗρ᾽ ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα,
ἀλλ᾽ ἀναπεπταμένας ἔχον ἀνέρες, εἴ τιν᾽ ἑταίρων 122 sq. cf. *Φ* 531 sq.
ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας.
τῇ ῥ᾽ ἰθὺς φρονέων ἵππους ἔχε, τοὶ δ᾽ ἅμ᾽ ἕποντο
ὀξέα κεκληγῶτες· ἔφαντο γὰρ οὐκέτ᾽ Ἀχαιοὺς 125ᵃ cf. *B* 222
σχήσεσθ᾽, ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι, 126 = *I* 235
νήπιοι, ἐν δὲ πύλῃσι δύ᾽ ἀνέρε ηὗρον ἀρίστω,
υἶε᾽ ὑπερθύμω Λαπιθάων αἰχμητάων,
τὸν μὲν Πειριθόοι᾽ υἷα, κρατερὸν Πολυποίτην,
τὸν δὲ Λεοντῆα, βροτολοιγῷ Ϝῖσον Ἄρηι. 130ᵇ = *Υ* 46 cf. *Λ* 295
τὼ μὲν ἄρα προπάροιθε πυλάων ὑψηλάων
ἕστασαν ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι,
αἵ τ᾽ ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα,
ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ᾽ ἀραρυῖαι·
ὣς ἄρα τὼ χείρεσσι πεποιθότες ἠδὲ βίηφι 135ᵇ = 153
᾽μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδ᾽ ἐφέβοντο.
οἳ δ᾽ ἰθὺς πρὸς τεῖχος ἐὺ δμητὸν, βόας αὔας

---

112 *᾽πέλασεν*] *πελάσαι* Naber.
115 *ἠνεμόεσσαν*] cf. § 21.
116 sq.] del. PKnight.
116 *δυσώνυμος*] *-μον* A.
118 *᾽Ϝίσατο* § 201] *εἴσατο* mss.
125 *κεκληγῶτες*] *-γγῶτες*? cf. § 223; *κεκλήγοντες* mss. multa, vid. ad *Π* 430 *Ρ* 756, 759 *μ* 256 *ξ* 30.
126] vid. ad *I* 235.
127 sq. *ἀνέρε … ἀρίστω, | υἱε᾽* (*υἷε*, cf. *B* 518) *ὑπερθύμω* Zen. Aristoph.] *ἀνέρας … ἀρίστους, | υἷας ὑπερθύμους* mss.
129 *Πειριθόοι᾽*] *Πειριθόου* mss.; conferatur § 59.
130] olim fuere qui subiungerent versum *υἱὸν ὑπερθύμοιο Κορώνου Καινεΐδαο* (= *B* 746).
131-140] aut hos versus aut versus 141-153 damnandos esse censebat Hephaestio.
131-136] imitatus est Vergilius Aen. IX 677-682.
131 *πυλάων*] *θυράων* A G.
133 *ὑετὸν*] †.

ὑψόσ' ἀνασχόμενοι, ἔκιον μεγάλῳ ἀλαλητῷ — 138ª cf. X 34
Ἄσιον ἀμφὶ Ϝάνακτα καὶ Ἰαμενὸν καὶ Ὀρέστην — 139ᵇ = 193
Ἀσιάδην τ' Ἀδάμαντα Θόωνά τε Ϝοινόμαόν τε.
οἳ δ' ἦ τοι τῆος μὲν ἐυκνήμιδας Ἀχαιοὺς
ὤρνυνον ἔνδον ἐόντες ἀμύνεσθαι περὶ νηῶν·
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησαν — 143 cf. O 395
Τρῶας, ἀτὰρ Δαναῶν 'γένετο ϜιϜαχή τε φόβος τε, — 144 = O 396
ἐκ δὲ τὼ αἴξαντε πυλάων πρόσθ' ἐμαχέσθην, — 144ᵇ = Π 366 cf. Δ 456
ἀγροτέροισι σύεσσι ϜεϜοικότε, τώ τ' ἐν ὄρεσσι
ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα,
δοχμώ τ' αἴσσοντε περὶ σφίσι Ϝάγνυτον ὕλην,
πρυμνὴν ἐκτάμνοντε, ὑπαὶ δέ τε κόμπος ὀδόντων — 149ᵇ = Λ 417
γίγνεται, εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται·
ὣς τῶν 'κόμπεε χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς
ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο,
λαοῖσιν καθύπερθε πεποιθότες ἠδὲ βίηφι. — 153ᵇ = 135
οἳ δ' ἄρα χερμαδίοισιν ἐυ δμητῶν ἀπὸ πύργων — 154ᵇ cf. Π 700 X 195
'βάλλον, ἀμυνόμενοι σφῶν τ' αὐτῶν καὶ κλισιάων
νηῶν τ' ὠκυπόρων. νιφάδες δ' ὣς 'πίπτον ἔραζε,
ἅς τ' ἄνεμος ζαὴς, νέφεα σκιόεντα δονήσας,
ταρφείας κατέχευεν ἐπὶ χθονὶ πολυβοτείρῃ·
ὣς τῶν ἐκ χειρῶν βέλε' ἔρρεον ἠμὲν Ἀχαιῶν
ἠδὲ καὶ ἐκ Τρώων· κόρυθες δ' ἀμφ' αὖον ἀύτευν
βαλλόμεναι μυλάκεσσι καὶ ἀσπίδες ὀμφαλόεσσαι.

---

138 *ἀνασχόμενοι*] vid. ad *Γ* 362. || *ἔκιον*] *κιέτην* Zen. Aristoph. || *ἀλαλητῷ*] vid. ad *B* 149.

141 *τῆος* Nauck] *εἵως* mss.; cf. *O* 277 et § 323.

142 *ὤρνυνον*] *ὄρνυνον* mss. complura. De termino *-ον* pro *-σαν* cf. § 145. || *ἐόντες*] sic Ar., *ἐόντας* mss. complura.

147 *δέχαται*] sic Ar., cf. § 227; *δέχεται* Ambr. Expectatur dualis (*δέχθον*); parum probabiliter Kayser *δέχεται κολοσυρτὸς ἐόντε*, vid. *N* 472. || *ἰόντα*] *ἰόντων* Genev.[2]

149 *ἐκτάμνοντε*] *-ντες* mss. pleraque. — Verbum sanum? Vix aptum ad depingendos apros impetu suo virgulta confringentes et sternentes. || *ὑπαὶ*] cf. *Λ* 417. || *κόμπος*] vid. ad vs. 151.

151 *'κόμπεε* § 191] *κόμπει* mss. — Verbum †, cf. *κόμπος* *Λ* 419 *M* 149 *ϑ* 380. || *στήθεσσι*] *-σφι* D; vid. ad vs. 401.

153 *λαοῖσιν*] *λάοισιν* Zen. (*λάεσσιν* ms., corr. Lehrs), pro *λάεσσιν* (= *λίθοισιν*) perperam accipiens.

158 *πολυβοτείρῃ* D] *πουλ.* mss. cett.; cf. § 21.

159 *βέλε' ἔρρεον*] *βέλεα ῥέον* Ar. mss., l. a. *ῥέεν*.

160ᵇ sq.] imitatur Verg. Aen. IX 666 sq. *scuta cavaeque | dant sonitum flictu galeae.*

160 *ἀύτευν*] cf. § 7 et 191. Fick *ἄυον* Simile est *N* 409 *καρφαλέον ἄυσε*.

161 *βαλλόμεναι* Zen. mss.] *-ων* Ar. A². || *μυλάκεσσι*] †, = *μυλοϜειδέσι πέτροισι*, vid. *H* 270.

δή ῥα τότ' ᾤμωξεν καὶ ἑϝὼ 'πεπλήγετο μηρὼ 162 = O 397 ν 198
Ἄσιος Ὑρτακίδης, καὶ ἀλαστήσας ϝέπος ηὔδα·
„Ζεῦ πάτερ, ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο
πάγχυ μάλ'· οὐ γὰρ ἐγώ γε 'φάμην ἥρωας Ἀχαιοὺς
σχησέμεν' ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους. 166[b] = H 309
οἳ δ', ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι
ϝοικία ποιήσωνται ὁδῷ ἔπι παιπαλοέσσῃ,
οὐδ' ἀπολείπουσιν κοῖλον δόμον, ἀλλὰ μένοντες
ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων,
ὣς οἵ γ' οὐκ ἐθέλουσι πυλάων καὶ δύ' ἐόντε
χάσσασθαι, πρίν γ' ἠὲ κατακτάμεν' ἠὲ ϝαλῶναι.“ 172 cf. O 557
ὣς ἔφατ', οὐδὲ Διὸς 'πεῖθε φρένα ταῦτ' ἀγορεύων·
174 Ἕκτορι γάρ ϝοι θυμὸς ἐβούλετο κῦδος ὀρέξαι. 174 = O 596 174[b] = Λ 79
182 ἔνθ' αὖ Πειριθόοι' υἱός, κρατερὸς Πολυποίτης,
δούρ' ἔβαλεν Δάμασον κυνέης διὰ χαλκοπαρήου· 183[b] = P 294 Υ 397
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ διὰ πρὸ 184 cf. Υ 398
αἰχμὴ ϝιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλος δὲ 185 sq. = Υ 399 sq.
ἔνδον ἅπας 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα. 185[b] sq. = Λ 97 sq.
αὐτὰρ ἔπειτα Πύλωνα καὶ Ὄρμενον ἐξενάριξε.

ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσι, 175 cf. O 414
ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ' ἀγορεῦσαι.
πάντῃ γὰρ περὶ τεῖχος ὀρώρεε θεσπιδαὲς πῦρ
δήιον· Ἀργεῖοι δέ, καὶ ἀχνύμενοί περ, ἀνάγκῃ 178[b] cf. O 133
νηῶν ἠμύνοντο· θεοὶ δ' ἀκαχήατο θυμὸν
πάντες, ὅσοι Δαναοῖσι μάχης ἐπιτάρροθοι ἦσαν.
σὺν δ' ἔβαλον Λαπίθαι πόλεμον καὶ δηιοτῆτα.

175—180 (immo — 181, vid. schol. B L V) Zen. om., Aristoph. Ar. —

---

162 καὶ ἑ(ϝ)ὼ Bentley] τε καὶ ὢ mss., Heyne καὶ ϝώ.

163 ἀλαστήσας] redit O 21, comp. ἐπαλ. α 252.

164-166] cf. Γ 365 sq.

164] φιλοψευδής] †.

166 σχησέμεν' § 125] -σειν mss.

167 sqq.] similis est comparatio Π 259 sqq.

167 μέλισσαι] vid. ad B 87.

171 οἵ γ'] οἵδ' Ar. D L. || ἐόντε] -ντες mss. pauca.

175 sqq.] iure damnarunt veteres critici, simul autem abiciendus erat vs. 181, neque ab iis servatus esse videtur. Plures portae non sunt, ex O 414 autem fictum esse versum 175 vidit Ar.; ignis nullusdum iniectus est navibus (cf. M 441 O 718). Praeterea poeta non solet personam suam ita interponere ut fit vs. 176. Vid. ad Δ 9.

177 ὀρώρεε § 110] -ρει mss.

178 δήιον Bentley] λάινον mss., quod adi. a voce τεῖχος nimis est remotum neque cum voce πῦρ iungi potest; e δάιον (ut posteriores poetae dicebant) natum est.

179 ἀκαχήατο] -χείατο mss. pleraque. || θυμὸν] -μῷ Townl.

181] συμβαλεῖν πόλεμον locutio est inaudita. || Λαπίθαι] *Polypoetes* et *Leonteus*.

182 Πειριθόοι'] -θόου mss.; cf. § 59.

183 δούρ' ἔβαλεν] δουρὶ βάλεν mss.; cf. § 13.

185 ϝιεμένη cf. Υ 399] χαλκείη mss. pleraque.

υἱὸν δ' Ἀντιμάχοιο Λεοντεύς, ὄζος Ἄρηος,
Ἱππόμαχον 'βάλε δουρί, κατὰ ζωστῆρα τυχήσας. [284 Φ 116
αὖτις δ' ἐκ κολεοῖο Ϝερυσσάμενος ξίφος ὀξὺ 190b = Ξ 496 Υ
Ἀντιφάτην μὲν πρῶτον, ἐπαΐξας δι' ὁμίλου, 191b sq.a = Ρ 293 sq.
'πλῆξ' αὐτοσχεδίην· ὃ δ' ἄρ' ὕπτιος οὔδε' ἐρείσθη. 192b cf. Η 145
αὐτὰρ ἔπειτα Μένωνα καὶ Ἰαμενὸν καὶ Ὀρέστην 193b = 139
πάντας ἐπασσυτέρους 'πέλασε χθονὶ πολυβοτείρῃ. 194 = Θ 277

ὄφρ' οἳ τοὺς ἐνάριζον ἀπ' ἔντεα μαρμαίροντα, 195a = Ο 343
τόφρ', οἳ Πολυδάμαντι καὶ Ἕκτορι κοῦροι ἕποντο,
οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, 'μέμασαν δὲ μάλιστα 197 = 89
τεῖχός τε ῥῆξαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
οἵ ῥ' ἔτ' ἐμερμήριζον ἐφεσταότες παρὰ τάφρῳ.
ὄρνις γάρ σφιν ἐπῆλθε περήμεναι ἐμμεμαῶσι, 200b-202 = 218 sqq.
αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐϜέργων,
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον 202b = ο 161
ζῳόν, ἔτ' ἀσπαίροντα, καὶ οὔ πω 'λήθετο χάρμης,
'κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν
ἰδνωθεὶς ὀπίσω· ὃ δ' ἀπὸ Ϝέθεν ἧκε χαμᾶζε 205a = ϑ 375
ἀλγήσας ὀδύνῃσι, μέσῳ δ' ἐνὶ κάββαλ' ὁμίλῳ,
αὐτὸς δὲ κλάγξας 'πέτετο πνοιῇσ' ἀνέμοιο.
Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ 'Ϝίδον αἰόλον ὄφιν

192 αὐτοσχεδίην] sc. πληγήν? Cf. Ε 830. Redit vox loco parall. et λ 536, -δίης h. Merc. 55, -δίῃ Ο 510. || οὔδε' § 71] οὔδει mss. pleraque, οὖδας ἔρεισε L, ut Ar. (?) Δ 144.

194 πολυβοτείρῃ § 21] πουλ. mss.

196 sq. οἳ ... οἳ] relativa (in vs. 199 demonstrativum): *interim Polydamantis et Hectoris copiae dubiae consistebant prope fossam.*

196 Πολυδάμαντι § 21] Πουλ. mss.

198 ῥῆξαι ... ἐνιπρῆσαι D] ῥήξειν ... ἐνιπρήσειν mss. cetera. Vid. ad Β 544.

199 ἔτ' ἐμερμήριζον] ἔτι μερμ. mss. || ἔτ'] vid. vs. 59. || τάφρῳ] -ον mss. nonnulla.

200 *περήμεναι ἐμμεμαῶσι] περησέμεναι μεμαῶσι mss., item vs. 218, vid. etiam φ 399 et ad Β 544 et § 195.

201-205] imitatur Verg. Aen. XI 751-756.

201 ὑψιπέτης] sic Ar., alii olim male -πετῆς (= -πετήεις). Cf. Ι 605 et § 69. || ἐϜέργων] verbi hunc usum illustrat locutio Herodotea (VII 43, 110, 112 VIII 35) ἐν ἀριστερῇ vel ἐν δεξιῇ ἀπέργων (montem, regionem etc.) de Xerxis exercitu praetereunti. Aquilae, quae Troianorum aciem a dextra sinistrorsum praetervolat, milites a sinistra sunt.

202 φοινήεντα] nonnisi loco parall. redit; cf. φοινός Π 159 h. Ap. 362, δαφοινός saepius (-νεος Σ 538), φοίνιος σ 97, φοινικόεις saepius.

207 'πέτετο] deesse ἅμα sensit Ar.; *'πτάθ' ἅμα?

208 ἐπεὶ Anecd. Bachm. II p. 185] ὅπως mss. Vid. ad Δ 459. || ὄφιν] †. Perperam pro longa habetur syllaba prior (cf. Hesiod. Theog. 334 etc.); alia autem est ratio vocis ὀφιοέσσης in Antimachi fr. 78 (schol. Aristoph. Plut. 718), quae cum voce ἠνεμόεσσα et similibus (§ 21) est componenda. Hipponactem (fr. 49) ὄφις dixisse perhibet Tzetzes, sed cum in versibus ab eo alla-

κείμενον ἐν μέσσοισι, Διὸς τέρας αἰγιόχοιο. 209ᵇ = *E* 742
δὴ τότε Πολυδάμας θρασὺν Ἕκτορα Ϝεῖπε παραστάς· 210 = 60
„Ἕκτορ, αἰεὶ μέν πώς μοι ἐπιπλήσσεις ἀγορῇσι
ἐσθλὰ φραζομένῳ, ἐπεὶ οὐδὲ μὲν οὐδὲ ϜέϜοικε 212ᵇ = φ 319
δῆμον ἐόντα παρ' ἒξ ἀγορευέμεν', οὔτ' ἐνὶ βουλῇ
οὔτε ποτ' ἐν πολέμῳ, σὸν δὲ κράτος αἰὲν ἀέξειν·
νῦν αὖτ' ἐκϜερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα. 215 cf. *I* 103
μὴ ἴομεν Δαναοῖσι μαχεσσόμενοι περὶ νηῶν.
ὧδε γὰρ ἐκτελέεσθαι ὀίομαι, εἰ ἐτεόν γε
Τρωσὶν ὅδ' ὄρνις ἦλθε περήμεναι ἐμμεμαῶσι, 218ᵇ-220 = 200 sqq.
φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον
ζωόν, ἄφαρ δ' ἀφέηκε πάρος φίλα Ϝοικί' ἱκέσθαι,
οὐδ' ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑϜοῖσι·
ὣς ἦμες, εἴ πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν
ῥηξόμεθα σθένεϊ μεγάλῳ, Ϝείξωσι δ' Ἀχαιοί,
οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθ' αὐτὰ κέλευθα·
πολλοὺς γὰρ Τρώων καταλείψομεν, οὕς κεν Ἀχαιοὶ
χαλκῷ δῃώσωσιν ἀμυνόμενοι περὶ νηῶν.

219 αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐϜέργων,

tis etiam κακῦμήχᾱνε legatur, apparet nihil tribuendum esse eius testimonio, Hipponactem autem l. l. οὖφις (ὁ ὄφις) scripsisse credibile est. Veteres grammatici (vid. schol. Eust. Athen. XIV p. 632) μείουρον appellabant versum (cf. § 22), et Demetrius de Elocutione (Rhet. Spengel III p. 317) hanc κακοφωνίαν consulto quaesitam putat, poetam enim, si libuisset, dicere potuisse ὅπως ὄφιν αἰόλον εἶδον (obstabat tamen Ϝ); recentiores autem poetae hexametros in iambum excurrentes revera fecerunt interdum, vid. Christ Metrik² § 268. Vi adspiratae syllabam ὀ- produci nunc putant multi, conferentes voces σκύ(π)φους Panyas. apud Athen. 498*d*, σκύ(π)φον Hesiod. fr. 193, βρό(κ)χον Theogn. 1099. Nos quin vetus vitium hic latitet non dubitamus, sive olim fuit *ἔγχις (Att. ἔχις, cf. ἔγχελυς, *anguis*) sive gravius corruptus est locus; infeliciter Ernesti αἰόλον ὄρνιν (versum sequentem damnans).

210 Πολυδάμας § 21] Πουλ. mss. || Ἕκτορα] vid. ad vs. 60.

211 αἰεὶ] ἀεὶ mss.; cf. § 17 et 324. An fuit olim *Ἕκτωρ, αἰεί πως? || ἐπιπλήσσεις] sic Ar., ἐνιπλ. Townl.

213 δῆμον] ἀντὶ τοῦ δημότην interpretabatur Ar., sed locus corruptus videtur; probabiliter Bentley δήμου coll. *B* 198, ubi videatur; cf. etiam *Λ* 328 et *M* 447. Vulgatam Horatius imitatur Epist. I 1,59 *plebs eris*, fortasse etiam Soph. Aiac. 1071 κακοῦ πρὸς ἀνδρὸς ἄνδρα (Reiske ὄντα) δημότην | μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.

214 κράτος] l. a. κλέος. || ἀέξειν] sc. ἔοικε. *Obloqui tibi cives non decet, sed obtemperare tibi, id decet* (ironice loquitur).

215 ἔμμεν' § 125] εἶναι mss.; sed vid. ad *I* 103.

216 μαχεσσόμενοι § 291] μαχησόμενοι (vel -σάμενοι) mss.

218 ἦλθε Ar.] ἐπῆλθε mss.; cf. *Ω* 219. || *περήμεναι ἐμμεμαῶσι] περησέμεναι μεμαῶσι mss.; cf. vs. 200.

219] om. mss. complura. Vid. ad vs. 201.

220 φοινήεντα] vid. ad vs. parall.

223 ἦμες § 92] ἡμεῖς mss.

225 αὐτὰ] cf. § 98.

ὧδέ χ' ὑποκρίναιτο θεοπρόπος, ὃς σάφα θυμῷ
ϝειδείη τεράων, καί ϝοι πειθοίατο λαοί." 229^b = Ξ 93
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 230 sq. = Σ 284 sq.
„Πολυδάμαν, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις· 231^b-234 = Η 357 sqq.
ϝοῖσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί,
ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι
βουλάων, ἅς μ' αὐτὸς ὑπέσχετο καὶ κατένευσε· 236 cf. Β 112
τύνη δ' οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις
πείθεσθαι, τῶν οὔ τι μετατρέπομ' οὐδ' ἀλεγίζω, 238 cf. Α 160
εἴ τ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠόα τ' ἠέλιόν τε, 239^b = ι 26 ν 240
εἴ τ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα. 240^b = ν 241
ἧμες δὲ μεγάλοιο Διὸς πειθώμεθα βουλῇ,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισι ϝανάσσει.
εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης. 243^b cf. Ο 496 Ω 500
τίπτε σὺ δέδϝοικας πόλεμον καὶ δηιοτῆτα;
εἴ περ γάρ τ' ἄλλοι γε περὶ κτεινώμεθα πάντες
νηυσὶν ἔπ' Ἀργεΐων, σοὶ δ' οὐ δϝέος ἔστ' ἀπολέσθαι·
οὐ γάρ τοι κραδίη μενεδήιος οὐδὲ μαχήμων.
εἰ δὲ σὺ δηιοτῆτος ἀφέξεαι ἠέ τιν' ἄλλον
παρφάμενος ϝεπέεσσιν ἀποτρέψεις πολέμοιο, 249^a = β 189
αὐτίκ' ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις." 250 cf. Α 433
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο 251 sq.^{a} = Ν 833 sq.
ϝηχῇ θεσπεσίῃ· ἐπὶ δὲ Ζεὺς τερπικέραυνος 251 = β 413 θ 46, 104
ὦρσεν ἀπ' Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν,
ἥ ῥ' ἰθὺς νηῶν κονίην ἔφερ'· αὐτὰρ Ἀχαιῶν
'θέλγε νόον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε. 255^b = Ο 327 Π 730
τοῦ περ δὴ τεράεσσι πεποιθότες ἠδὲ βίηφι
ῥήγνυσθαι μέγα τεῖχος Ἀχαιῶν 'πειρήτιζον.

---

230 τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη] sic Ar., τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Zen.
231 Πολυδάμαν § 21] Πουλυδάμαν Zen. Chamaeleo, Πουλυδάμα Ar. mss.; vid. ad Α 86.
236 *βουλάων, ἅς μ'(οι)] βουλέων ἅς τέ μοι mss., cf. § 56 et 13.
238 sqq.] cf. β 181 sq.
239 ἠόα § 77] ἠῶ mss.
240 ἐπ' ἀριστερὰ] ut haec avis, vid. vs. 201.
241 ἧμες § 92] ἡμεῖς mss.
246 ἔπ'] sic Ar., ὑπ' Zen. Townl.
247 μαχήμων] †.
249 ἀποτρέψεις] -στρέψεις mss. pleraque.
252 τερπικέραυνος] vid. § 251.
254 ἔφερ'] φέρεν mss.

κρόσσας μὲν πύργων ᾿Ϝέρυον καὶ ἔρειπον ἐπάλξις
στήλας τε προβλῆτας ἐμόχλεον, ἃς ἄρ᾿ Ἀχαιοὶ
πρώτας ἐν γαίῃ ᾿θέσαν ἔμμεναι ἔχματα πύργων.
τὰς οἵ γ᾿ ἀϜϜέρυον, ᾿Ϝέλποντο δὲ τεῖχος Ἀχαιῶν
ῥηξέμεν᾿. οὐδέ νύ πω Δαναοὶ ᾿χάζοντο κελεύθου, 262 cf. Δ 504
ἀλλ᾿ οἵ γε ῥινοῖσι βοῶν φράξαντες ἐπάλξις
᾿βάλλον ἀπ᾿ αὐτάων δηίους ὑπὸ τεῖχος ἰόντας.
ἀμφοτέρω δ᾿ Αἴαντε κελευτιάοντ᾿ ἐπὶ πύργων
πάντοσ᾿ ἐφοιτήτην, μένος ὀτρύνοντες Ἀχαιῶν.
ἄλλον μειλιχίοισ᾿, ἄλλον στερεοῖσι Ϝέπεσσι
᾿νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα Ϝίδοιεν·
„ὦ φίλοι, Ἀργεΐων ὅς τ᾿ ἔξοχος ὅς τε μεσήεις
ὅς τε χερειότερος, ἐπεὶ οὔ πω πάντες ὁμοῖοι
ἀνέρες ἐν πολέμῳ, νῦν ἔπλετο Ϝέργον ἅπασι·
καὶ δ᾿ αὐτοὶ τόδε που γιγνώσκετε. μή τις ὀπίσσω
τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούων, 273b cf. Ψ 452
ἀλλὰ πρόσω Ϝίεσθε καὶ ἀλλήλοισι κέλεσθε,
αἴ κε Ζεὺς δώῃσιν Ὀλύμπιος ἀστεροπητὴς
νεῖκος ἀπωσαμένους δηίους προτὶ Ϝάστυ δίεσθαι."
ὣς τώ γε προβιβάντε μάχην ὤτρυνον Ἀχαιῶν.
τῶν δ᾿, ὥς τε νιφάδες χιόνος πίπτωσι θαμεῖαι
ἤματι χειμερίῳ, ὅτε τ᾿ ὤρετο μητιέτα Ζεὺς
νιφέμεν᾿, ἀνθρώποισι πιφαυσκόμενος ἑϜὰ κῆλα· 280b = h. Ap. 444

258 *κρόσσας*] ignotae originis vox redit vs. 444; cf. Herodot. II 125, *πρόκροσσος* Ξ 35. Significari videntur pinnae quibus turris superne cingebatur (*tinnen*); male Ar. interpretabatur *scalas*, genitivum *πύργων* invita lingua ad verbum trahens.

259 *ἐμόχλεον*] † (*μοχλός* saepius).

261 *ἀϜϜέρυον*] *αὐέρυον* vel *αὖ ἔρυον* mss.; cf. § 40.

262 *ῥηξέμεν᾿* § 125] *ῥῆξειν* mss.

264 *δηίους*] cf. § 17.

265 *κελευτιάοντ᾿* § 191] *-τιόωντ᾿* mss.

266 *ἐφοιτήτην*] cf. § 195.

267] cf. Verg. Aen. X 368: *nunc prece, nunc dictis virtutem accendit amaris.* || *στερεοῖσι Ϝέπεσσι*] *-οῖς ἐπέεσσι* mss.; cf. § 60.

268] del. Nauck.

269 *μεσήεις*] † pro *μέσος*; Goebel *μεσηγύς*.

270 *πω*] *πως* Cauer.

273 *ποτὶ*] *προτὶ* mss. multa. || *ἀκούων*] *ἀκούσας* mss. nonnulla.

274 *πρόσω*] *πρόσσω* mss. pleraque.

276 *νεῖκος*] *νῖκος* = *νίκην* intellegebat Ar. || *ἀπωσαμένους*] sc. *ἡμᾶς*. || *δηίους*] cf. § 17.

277 *προβιβάντε* Nauck] *προβοῶντε* (†) mss. sine sensu, idemque legisse Zenodotum ex Ο 307 fit veri simile. In Ar. commentariis extabat lectio *προβάοντε*, optima quod ad sensum, sed forma parum commendabilis. Quapropter Nauck ad ipsius Aristarchi exemplum (vid. Η 213 Ν 371 saepius) *προβιβάντε* rescripsit pro *προβοῶντε* vel *-βιβῶντε* (nam sic quoque olim scriptum fuisse non possumus non suspicari coll. Ν 807 Π 609 ο 555 h. Merc. 149). || *ὤτρυνον*] *-ναν* D.

278 *πίπτωσι*] *-ουσι* D.

280 *ἑϜὰ* PKnight] *τὰ ἃ* mss., cf. Θ 430 et de metro vid. § 19 et 44.

κοιμήσας δ' ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψῃ
ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους 282^b cf. Θ 557
καὶ πεδία λωτεῦντα καὶ ἀνδρῶν πίονα Ϝέργα,
καί τ' ἐφ' ἁλὸς πολιῆς κέχυται λιμέσιν τε καὶ ἀκτῇ,
κῦμα δέ μιν προσπλάζον ἐρύκεται· ἄλλα δὲ πάντα
ϜεϜλύαται καθύπερθ', ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος· 286^b = Ε 91
ὣς τῶν ἀμφοτέρωσε λίθοι 'ποτάοντο θαμειαί,
αἳ μὲν ἄρ' εἰς Τρῶας, αἳ δ' ἐκ Τρώων ἐς Ἀχαιούς,
βαλλομένων· τὸ δὲ τεῖχος ὕπερ πᾶν δοῦπος ὀρώρει.

οὐδέ κέ πω τότε γε Τρῶες καὶ φαίδιμος Ἕκτωρ
τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα, 291 cf. Ν 124
εἰ μὴ ἄρ' υἱὸν ἑϜὸν Σαρπηδόνα μητιέτα Ζεὺς
ὦρσεν ἐπ' Ἀργείοισι, λέονθ' ὣς βουσὶ Ϝέλιξι.
αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐΫίσην, 294^b = Φ 581
καλὴν χαλκείην ἑξήλατον, ἣν ἄρα χαλκεὺς
297 ῥάβδοισι χρυσέῃσι διηνεκέσιν περὶ κύκλον
296 ἤλασεν, ἔντοσθεν δὲ βοείας 'ράψε θαμείας.
298 τὴν ἄρ' ὅ γε πρόσθε σχόμενος, δύο δοῦρε τινάσσων,
'βῆ ῥ' ἴμεν ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς 299 cf. Κ 297 Ρ 61
δϜηρὸν ἔῃ κρεάων, κέλεται δέ Ϝε θυμὸς ἀγήνωρ 299^a = ζ 130; 300^b cf. ζ 133
μήλων πειρήσοντα καὶ εἰς πυκινὸν δόμον ἐλθεῖν· 301 = ζ 134

281 *ἔμπεδον*] sic Ar., *ἄσπετον* liber Massiliensis.

283-286] del. PKnight.

283 *λωτεῦντα*] sic codd. et olim liber Massiliensis, Ar. *λωτοῦντα.* Forma novicia pro *λωτόεντα*, vid. § 69; Menrad *πεδί' ἀνθεμόεντα* tentavit. Potestne fieri ut *λοτόεντα* dixerit poeta? vid. § 18. Adi. †.

284 *ἀκτῇ* Christ] *ἀκταῖς* mss. Cf. § 57.

285 *προσπλάζον*] verbum suspectum; vHerwerden *προσκλύζον* coll. Ξ 392 Ψ 61 ι 484. Vid. ad Φ 269. || *ἐρύκεται*] medium pro activo †; **ἐρύκακε*? Cauer *ἐρεύγεται* coll. Ο 621 Ρ 265 ε 403, 438. || *δὲ* Heyne] *τε* mss.

286 *ϜεϜλύαται* § 265] *εἰλύαται* vel *εἴλυται* vel *εἰλῦται* mss.

287 *'ποτάοντο* § 191 et 216] *πωτῶντο* mss. (item h. Ap. 442; h. XXIX 4 solvi nequit).

289 *βαλλομένων*] *βαλλόντων* Koechly.

290 *οὐδέ κέ* § 326] *οὐδ' ἄν* mss.

295 *ἑξήλατον*] sic Zen., *ἐξήλατον* Ar. Z Cant. (= *ἑξάπτυχον*) non recte; neque enim sic componuntur numeralia neque clipei sic fabricantur (*unam* habent laminam aeream). Adi. verbale (= *caelatus*) †, Nauck *ἐυήλατον* coniecit.

296 *ἤλασεν*] *ἐξέλασ'* Zen.

297] clipeus ornatus est aureis striis, quae, radiorum instar, ab umbone ad oram tendunt, cf. Helbig Epos^1 p. 280 sq.; qui ut hunc sensum e verbis traditis eliceret, post versum 296 unum pluresve hexametros excidisse statuit. Nos non lacunosam esse vulgatam sed versuum ordinem turbatum rati versum 297 ante vs. 296 posuimus; ita efficitur sensus quem flagitat Helbig. || **ῥάβδοισι χρυσέῃσι*] *χρυσείης* (vel *-οις*) *ῥάβδοισι* mss. male; vid. § 57, 18, 61.

299-301] cf. Verg. Aen. IX 339 sq.

300 *κρεάων* § 72] *κρειῶν* mss.

εἴ περ γάρ χ' εὕρῃσι παρ' αὐτόθι βώτορας ἄνδρας
σὺν κυσὶ καὶ δούρεσσι φυλάσσοντας περὶ μῆλα,
οὔ ῥά τ' ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι,
ἀλλ' ὅ γ' ἄρ' ἢ ἥρπαξ' ἐπιάλμενος ἠὲ καὶ αὐτὸς
ἔβλητ' ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι· 306 cf. Δ 675
ὥς ῥα τότ' ἀντίθεον Σαρπηδόνα θυμὸς ἀνῆκε
τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξις.
αὐτίκα δὲ Γλαῦκον προσέφη, παῖδ' Ἱππολόχοιο·
„Γλαῦκε, τίη δὴ νῶι τετιμήμεσθα μάλιστα
ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοισι δέπασσι 311 = Θ 162
ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσοράουσι; 312ᵇ cf. ϑ 173 ο 520
καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ' ὄχθας,
καλὸν φυταλιῆς καὶ ἀρούρης πυροφόροιο. 314 = Ζ 195
τῷ νῦν χρὴ Λυκίοισι μέτα πρώτοισιν ἐόντας 315ᵇ sq. = Δ 341 sq.
ἑστάμεν' ἠδὲ μάχης καυστείρης ἀντιβολῆσαι,
ὄφρα τις ὧς ϝείπῃ Λυκίων πύκα θωρηκτάων·
‚οὐ μὰν ἀκλεέες Λυκίην κάτα κοιρανέουσι
ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα
ϝοῖνόν τ' ἔξαιτον μελιϝηδέα· ἀλλ' ἄρα καὶ ϝὶς
ἐσθλή, ἐπεὶ Λυκίοισι μέτα πρώτοισι μάχονται.'
ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντε
αἰεὶ δὴ μέλλοιμεν ἀγηράω ἀθανάτω τε 323ᵇ = Ρ 444 cf. [Β 447
ἔσσεσθ', οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην 324 cf. Ι 709
οὔτε κε σὲ στέλλοιμι μάχην ἐὶς κυδιάνειραν· 325ᵇ = Δ 225
νῦν δ' — ἔμπης γὰρ κῆρες ἐφεστᾶσιν θανάτοιο
μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι —
ἴομεν, ἠέ τιν' εὖχος ὀρέξομεν ἠέ τις ἧμιν." 328 cf. Ν 327
ὣς ἔφατ', οὐδὲ Γλαῦκος ἀπετράπετ' οὐδ' ἀπίθησε·
τὼ δ' ἰθὺς 'βήτην Λυκίων μέγα ϝέθνος ἄγοντε. 330ᵃ = Ρ 492

---

302 παρ' αὐτόθι (παραυτόθι) Bekker] -φι mss.; cf. Ν 42 Τ 255 Υ 140 Ψ 147, 640.

305 *ἥρπαξ' ἐπιάλμενος] -ξε (-ζε D) μετάλμενος mss.

306 πρώτοισι] προβάτοισι vHerwerden.

311] cf. Δ 263. ‖ πλείοισι δέπασσι § 60] -οις δεπάεσσι mss.

312 εἰσοράουσι § 191] -ρόωσι mss.

316 καυστείρης] vid. ad vs. parall.

317 ὥς (ὣς) Bentley] ὧδ' mss.

318 ἀκλεέες Ar. Par. 1805 et suppl. 144] mss. cett. ἀκλήεις, ἀκληεῖς, ἀκλεεῖς, ἀκλειεῖς; cf. § 73.

320 ἔξαιτον] vinum γερούσιον dictum Δ 259.

322 φυγόντε] -ντες mss. nonnulla.

323 ἀγηράω § 62] ἀγήρω τ' mss. Cf. Β 447.

325 εἰς] ἀνὰ C.

328 τιν'(ι) § 99] τῳ mss. ‖ A quibusdam male addi δώσει ἀποκτάμενος κλυτὰ τεύχεα καὶ δόρυ μακρόν annotabat Ar.

330 ἄγοντε] sic Ar., -ντες mss. pauca.

τοὺς δὲ Ϝιδὼν 'ρίγησεν υἱὸς Πετεῷο Μενεσθεύς·
τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν κακότητα φέροντες.
'πάπτηνεν δ' ἀνὰ τεῖχος Ἀχαιῶν, εἴ τιν' ἴδοιτο
ἡγεμόνων, ὅς τίς Ϝοι ἀρὴν ἑτάροισιν ἀμύναι· 334ᵇ cf. Π 512
εἰς δ' ἐνόησ' Αἴαντε δύω, πολέμοι' ἀκορήτω,
ἑσταότας, Τεῦκρόν τε, νέον κλισίηθεν ἰόντα,
ἐγγύθεν· ἀλλ' οὔ πώς Ϝοι ἔην βώσαντι γεγωνεῖν·
τόσσος γὰρ κτύπος ἦεν, ἀυτὴ δ' οὐρανὸν ἷκε 338ᵇ = B 153
βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν
καὶ πυλέων· πᾶσαι γὰρ ἐπῴχατο, τοὶ δὲ κατ' αὐτὰς
ἱστάμενοι πειρῶντο βίῃ ῥήξαντες ἐσελθεῖν.
αἶψα δ' ἐπ' Αἴαντε προΐει κήρυκα Θοώτην·
„ἔρχεο, δῖε Θοῶτα, θέων Αἴαντε κάλεσσον,
ἀμφοτέρω μὲν μᾶλλον, ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 344 = 357
εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος· 345 cf. 358
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἵ τὸ πάρος περ 346 sq. = 359 sq.
ζαχραέες τελέθουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρε, 348 cf. 361
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, 349 sq. = 362 sq.
καί Ϝοι Τεῦκρος ἅμ' ἑσπέσθω τόξων εὖ Ϝειδώς.“ 350ᵇ = B 718
ὣς ἔφατ', οὐδ' ἄρα Ϝοι κῆρυξ ἀπίθησεν ἀκούσας, 351 = Δ 198

350 Aristoph. Ar. —

331 ῥίγησεν C¹ Lips.] ῥίγησ' mss. cett. || υἱὸς] cf. § 17. || Πετεῷο § 62] -ῶο mss.

333 τεῖχος Bekker] πύργον mss., quod e vs. praecedenti irrepsisse intellexit Bekker; extat τεῖχος Ἀχαιῶν vs. 352 (vid. tamen vs. 386). Simili vitio laborabat *B* 291. Voce πύργος totus murus fortasse designatur *Θ* 213. || ἴδοιτο] neglecto Ϝ.

334 ἀμύναι] Nauck ἀλάλκοι coll. *Φ* 539.

335 πολέμοι' § 59] -μου mss.

336] vid. *Θ* 324 sqq.

337 ἔην] ἔεν? vid. § 302. || βώσαντι] cf. § 192; PKnight βοάοντι, at vid. ε 400. || γεγωνεῖν] sic Ar., γεγώνειν Ptolemaeus Ascalonita male, est enim aoristus II; cf. § 260.

339 τρυφαλειῶν] forma novicia pro -άων (§ 56); *κυνεάων?

340 sq.] delet Holm; nobis corruptum videtur versus 340 initium, in quo καὶ mire displicet.

340 πυλέων] cf. § 56. || πᾶσαι γὰρ ἐπῴχατο] sic Ar. (vid. ad *B* 809), πάσας γὰρ ἐπῴχετο Zen. et mss. pleraque (sc. ἀυτή). Requiri videtur *clausae erant* (tota clausa erat porta), et sic (ἐπέκειντο) interpretatus est Ar.; sed obscurum est verbi etymon. Harl. Apoll. lex. ἐπώχατο, quod cum verbo ἐπέχω componit Curtius Verb. II² p. 240 coll. συνοκωχότε *B* 218 συνωχαδόν Hes. Theog. 690.

342 ἐπ'] vid. ad γ 421. || Αἴαντε Zen. Syr.] -ντα mss. cett.; cf. *K* 53 *O* 301.

343 Αἴαντε Zen. Syr. Eust. L] -ντα mss. cett.; cf. vs. 342.

344 ὃ γάρ] vid. ad *K* 127.

347 ζαχραέες PKnight] ζαχρηεῖς mss.; vid. § 73 et ad *E* 525.

348 καὶ κεῖθι] sic Ar., κἀκεῖθι mss. nonnulla, κἀκεῖσε Zen. (cf. vs. 359), qui ὧδε vs. 346 pro δεῦρο perperam accipiebat (cf. § 49).

350 ἅμ' ἑσπέσθω] ἅμα σπέσθω Syr. H.

'βῆ δὲ ϑέειν παρὰ τεῖχος Ἀχαιῶν χαλκοχιτώνων,
'στῆ δὲ παρ' Αἰάντεσσι κιών, εἶϑαρ δὲ προσηύδα· 353 cf. *P* 707
„Αἴαντ', Ἀργεΐων ἡγήτορε χαλκοχιτώνων, 354 = *Δ* 285
ἤνωγεν Πετεῴο διοτρεφέος φίλος υἱὸς
κεῖσ' ἴμεν', ὄφρα πόνοιο μίνυνϑά περ ἀντιάσητον,
ἀμφοτέρω μὲν μᾶλλον, ὃ γάρ κ' ὄχ' ἄριστον ἁπάντων 357 = 344
εἴη, ἐπεὶ τάχα κεῖϑι τετεύξεται αἰπὺς ὄλεϑρος· 358 cf. 345
ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ 359 sq. = 346 sq.
ζαχραέες τελέϑουσι κατὰ κρατερὰς ὑσμίνας.
εἰ δὲ καὶ ἐνϑάδε περ πόλεμος καὶ νεῖκος ὄρωρε, 361 cf. 348
ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, 362 sq. = 349 sq.
καί ϝοι Τεῦκρος ἅμ' ἑσπέσϑω τόξων ἐὺ ϝειδώς.“
ὣς ἔφατ', οὐδ' ἀπίϑησε μέγας Τελαμώνιος Αἴας.
αὐτίκ' 'Οιλεΐδην ϝέπεα πτερόεντα προσηύδα·
„Αἶαν, σφῶι μὲν αὖϑι, σὺ καὶ κρατερὸς Λυκομήδης,
ἑσταότες Δαναοὺς ὀτρύνετε ϝῖφι μάχεσϑαι·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιάω πολέμοιο. 368 = *N* 752
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπεί κ' ἐὺ τοῖσ' ἐπαμύνω.“ 369 cf. *N* 753
ὣς ἄρα φωνήσας ἀπέβη Τελαμώνιος Αἴας,
καί ϝοι Τεῦκρος ἅμ' ἦε κασίγνητος καὶ ὄπατρος· 371[b] cf. *Λ* 257
τοῖσ' ἅμα Πανδίων Τεύκρου 'φέρε καμπύλα τόξα.
εὖτε Μενεσϑῆος μεγαϑύμου πύργον ἵκοντο
τείχεος ἐντὸς ἰόντες, — ἐπειγομένοισι δ' ἵκοντο, —
οἳ δ' ἐπ' ἐπάλξις 'βαῖνον ἐρεμνῇ λαίλαπι ϝῖσοι, 375[b] cf. *Υ* 51
ἴφϑιμοι Λυκίων ἡγήτορες ἠδὲ μέδοντες·
σὺν δ' ἐβάλοντο μάχεσϑαι ἐναντίον, ὦρτο δ' ἀυτή.

363 Ar. — || 372 Ar. —

352 *ϑέειν*] *ϑέων* D G. || *παρὰ*] *κατὰ* mss. multa.

355 *ἤνωγεν* § 225] *-γει* mss. || *Πετεῴο* § 62] *-ῶο* mss.

357 *ὃ γάρ*] vid. ad *K* 127.

359 *ὧδε*] sic Ar., *κεῖσε* Zen., cf. vs. 348.

360 *ζαχραέες* PKnight] *ζαχρηεῖς* mss., vid. § 73 et ad *E* 525. || *κρατερὰς ὑσμίνας*] *-ρὴν -νην* Syr.

363 *ἅμ' ἑσπέσϑω*] *ἅμα σπέσϑω* Syr.

365 *'Οιλεΐδην* Nauck] *'Οιλιάδην* mss., *ἄρ' 'Ιλιάδην* Zen., cf. *B* 527. Vitiosum patronymici terminum *-ιάδης* pro *-εΐδης* h. l. et *N* 203, 712 *Ξ* 446 *Π* 330 *Ψ* 759 peperit vocum *Ἴλιος* et *'Ιλιάς* sonus subsimilis.

366 *σφῶι*] *σφῶε* Zen. trito errore; cf. § 92.

367 *ὀτρύνετε* Bentley] *-τον* mss.

368 *κεῖσ'*] *κεῖϑ'(ι)* Zen. || *ἀντιάω* § 191] *-όω* mss.

369 *ἐπεί κ'* § 326] *ἐπὴν* mss.

371 *ὄπατρος*] vid. ad *Λ* 257.

372 **τοῖσ'*] *τοῖς δ'* mss., cf. § 60. Nauck *τοῖσι δὲ Πανδίων.*

373 sq.] del. PKnight.

373 *μεγαϑύμου*] *-μοο?* cf. § 59.

374 *ἐπειγομένοισι*] Townl. *ἐελδομένοισι* (ut *H* 7).

Αἴας δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Σαρπήδοντος ἑταῖρον, Ἐπικλέεα μεγάθυμον,
μαρμάρῳ ὀκριόεντι βαλών, ὅ ῥα τείχεος ἐντὸς
'κεῖτο μέγας παρ' ἔπαλξιν ὑπέρτατος· οὔ κέ ϝε ῥεῖα
χείρεσσ' ἀμφοτέρῃσιν ἀνὴρ φέροι, οὐδὲ μάλ' ἡβῶν,
οἷοι νῦν βροτοί εἰσ'· ὃ δ' ἄρ' ὑψόθεν ἔμβαλ' ἀείρας,
'θλάσσε δὲ τετράφαλον κυνέην, σὺν δ' ὀστέ' ἄραξε
πάντ' ἄμυδις κεφαλῆς. ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼς
κάππεσ' ἀφ' ὑψηλοῦ πύργου, 'λίπε δ' ὀστέα θυμός.
Τεῦκρος δὲ Γλαῦκον, κρατερὸν παῖδ' Ἱππολόχοιο,
ἰῷ ἐπεσσυμένον 'βάλε τείχεος ὑψηλοῖο,
ᾗ 'ϝίδε γυμνωθέντα βραχίονα, 'παῦσε δὲ χάρμης.
ἂψ δ' ἀπὸ τείχεος ἆλτο λαθών, ἵνα μή τις Ἀχαιῶν
βλήμενον ἀθρήσειε καὶ εὐχετάοιτο ϝέπεσσι.
Σαρπήδοντι δ' ἄχος 'γένετο Γλαύκοι' ἀπιόντος,
αὐτίκ' ἐπεί τ' ἐνόησ'· ἔμπης δ' οὐ 'λήθετο χάρμης,
ἀλλ' ὅ γε Θεστορίδην Ἀλκμάονα δουρὶ τυχήσας
'νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὃ δ' ἑσπόμενος 'πέσε δουρὶ
πρηνής, ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῷ.
Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσι
εἷλχ'· ἣ δ' ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε
τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ 'θῆκε κέλευθον.
τὸν δ' Αἴας καὶ Τεῦκρος ὁμαρτήσανθ' ὃ μὲν ἰῷ

378 cf. *N* 170
378[a] = *Z* 5
380[a] = *ι* 499 cf. *Π* 735
382[a] cf. *Σ* 123 *ο* 116
382[b] = *Ω* 565 *ψ* 187
383[a] = *E* 304 [sq.
384[b] sq. = *μ* 412
384[b] cf. *Ψ* 673 *ε* 426
385[b] = *Π* 742
386 cf. *Π* 743 *μ* 414
386[b] = *γ* 455 cf. *Υ* 406 *λ* 221
388 cf. *Π* 511 sq.[a]

---

379 *'Επικλέεα* § 73] *-κλῆα* mss., *'Οικλῆα* Apoll. lex.

381 *οὔ κέ ϝε ῥεῖα* Menrad] *οὐδέ κέ μιν ῥέα* mss. (H *ῥεῖα*, D om. *κε*). Vitiosum *ῥέα* quomodo corrigendum sit docet *Υ* 101, qui simili mendo laborat. Nauck *οὐδέ κε ῥεῖα* | *χερσί μιν ἀμφοτέρῃσιν ἀνὴρ ἔχοι*. Cf. § 8 et 88.

382 **χείρεσσ' ἀμφοτέρῃσιν ἀνὴρ φέροι*] *χείρεσσ' ἀμφοτέρῃσ(ιν) ἔχοι ἀνὴρ* mss. pleraque metro duriore, *χειρί γε τῇ ἑτέρῃ φέροι ἀνὴρ* nonnulla. Aristarchus non *χειρί γε τῇ ἑτέρῃ* scripsit sed *χείρεσσ' ἀμφοτέρῃσιν* (*-ρῃς*?), illud admirationem minuere monens. Nos partim secuti sumus Nauckium (vid. ad vs. 381).

383 *δ' ἄρ'*] **δέ ϝ'*? l. a. *ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος* (= vs. 449).

384 *τετράφαλον*] vid. ad *E* 743.

385 *ἄρ' ἀρνευτῆρι*] *ἄρ'* om. L, *αρανευτηρι* Syr., hinc *ἄρα νευτῆρι* Cureton, *δέ (ϝ)αρνευτῆρι* Leaf. Vox *ἀρνευτήρ* redit locis par.

386 *ἀφ' ὑψηλοῦ*] l. a. *ἀπ' εὐεργέος* (cf. *Π* 743)

388 *ἐπεσσυμένον*] genitivum adsciscit etiam loco par.

389 *ᾗ* Heyne] *ᾗ ῥ'* mss.

390 *δ'*] om. D.

391 *εὐχετάοιτο ϝέπεσσι*] *-τόῳτ' ἐπέεσσι* mss. Cf. § 191.

392 *Γλαύκοι'* § 59] *-κου* mss.

393 *ἐνόησ'· ἔμπης*] *ἐνόησεν· ὅμως* mss.; cf. § 322. Sententiam aperit *ἔμπης* *E* 191 *τ* 302. Lehrs Arist.[2] p. 157 *ὃ δ' οὐδ' ὧς*.

395 *δ' ἑσπόμενος 'πέσε*] *δὲ σχόμενος περὶ* Hesych. (male), cf. *N* 570.

398 *εἷλχ'*] *ἕλχ'* mss.

400 *Αἴας — ὁμαρτήσανθ'*] de nominativo vid. ad *Γ* 211.

'βεβλήκει τελαμῶνα περὶ στήθεσφι φαεινὸν 401 cf. *B* 388
ἀσπίδος ἀμφιβρότης· ἀλλὰ Ζεὺς κῆρας ἄμυνε 402ᵃ = *B* 389
παιδὸς ἑϜοῦ, μὴ νηυσὶν ἔπι πρυμνῇσι δαμείη·
Αἴας δ' ἀσπίδ' ἔνυξ' ἐπιάλμενος, οὐδὲ διὰ πρὸ 404 cf. *H* 260
ἤλυθεν ἐγχείη, 'στυφέλιξε δέ μιν μεμαῶτα. 405 = *H* 261
'χώρησεν δ' ἄρα τυτθὸν ἐπάλξιος· οὐδ' ὅ γε πάμπαν
'χάζετ', ἐπεί Ϝοι θυμὸς ἐϜέλδετο κῦδος ἀρέσθαι.
'κέκλετο δ' ἀντιθέοισι Ϝελιξάμενος Λυκίοισι· 408 cf. *Π* 421
„*ὦ Λύκιοι, τί τ' ἄρ' ὧδε μεθίετε θούριδος ἀλκῆς;* 409ᵇ = *Δ* 234
ἀργαλέον δέ μοί ἐστι, καὶ ἰφθίμῳ περ ἐόντι, 410 = *Y* 356, 410ᵃ = *P* 252
μούνῳ ῥηξαμένῳ θέσθαι παρὰ νηυσὶ κέλευθον· 411 cf. 418
ἀλλ' ἐφομαρτέετε· πλεόνων τοι Ϝέργον ἄμεινον.“ 412ᵃ cf. *Θ* 191
ὣς ἔφαθ', οἳ δὲ Ϝάνακτος ὑποδϜείσαντες ὁμοκλὴν 413 = *Ψ* 417, 446 cf. *Ω* 265
μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ Ϝάνακτα.
Ἀργέιοι δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας 415 = *Δ* 215
τείχεος ἔντοσθεν, μέγα δέ σφισι 'φαίνετο Ϝέργον· 416 cf. *Δ* 734, 416ᵇ cf. *χ* 149
οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο
τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον, 418 cf. 411
οὔτε ποτ' αἰχμηταὶ Δαναοὶ Λυκίους ἐδύναντο
τείχεος ἂψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτ' ἐπέλασθεν. 420 cf. *O* 418
ἀλλ' ὥς τ' ἀμφ' οὔροισι δύ' ἀνέρε δηριάεσθον,
μέτρ' ἐν χερσὶν ἔχοντε, ἐπιξύνῳ ἐν ἀρούρῃ,
ὥ τ' ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ Ϝίσης,
ὣς ἄρα τοὺς διέϜεργον ἐπάλξιες· οἳ δ' ὑπὲρ αὐτέων
'δήοον ἀλλήλων ἀμφὶ στήθεσσι βοείας, 425 sq. = *E* 452 sq.

---

401 *στήθεσφι*] *στήθεσσι* mss. multa. E lectionis varietate h. l. *B* 388 alibi recte effecisse videtur Droncke, locis, ubi *στῆθος* de *corpore* dicatur non de *animo*, *στήθεσφι* constanter esse scribendum; vid. *B* 416 *Γ* 332 *Δ* 420 *E* 317 etc. et ad *K* 95.

403 *παιδὸς*] genitivus ut *Δ* 11.

404 **ἀσπίδ' ἔνυξ' ἐπιάλμενος*] *-δα νύξεν ἐπάλμενος* mss. pleraque, *-δα νύξε μετάλμενος* L. || *οὐδὲ*] sic Ar., *ἡ δὲ* mss. complura.

406 *'χώρησεν*] *-σαν* mss. quaedam (male).

407 *ἐϜέλδετο*] *ἐέλπετο* Ar. et mss. multa, cf. *δ* 162.

412 *ἐφομαρτέετε* § 191] *ἐφαμαρτεῖτε* Ar. (cf. *Ψ* 414), *ἐφομαρτεῖτε* vel *-τεῖτον* (noto errore) mss. || *τοι* Hoffmann] *δέ τοι* (*τι*, *τ'*) mss., Bentley *δέ τε*, PKnight *δή*.

420 *πρῶτ' ἐπέλασθεν*] *πρῶτα πέλ.* Ar. mss.

421 *δηριάεσθον* § 191] *-άασθον* mss.

422 *ἔχοντε* Ahrens] *-ντες* mss. || *ἐπιξύνῳ*] † (*ξυνός* saepius).

423 *ὀλίγῳ ἐνὶ χώρῳ*] *ὀλίγῃ ἐνὶ χώρῃ* Zen., cf. *P* 394. || *Ϝίσης*] *νίκης* Apoll. lex.; vid. ad *ι* 42.

424 *διέϜεργον*] comp. †. || *αὐτέων*] forma novicia, cf. § 56; *αὐτάων* D L metro invito; **αὐτὰρ ὕπερθε*? Recurrunt verba Hes. Scut. 237. || In G L subiungitur *βάλλον ἀμυνόμενοι χαλκήρεσιν ἐγχείῃσιν* (cf. *M* 155 *Σ* 534).

425 *'δήοον* § 191] *δήουν* mss. || *στήθεσσι*] *-σφι*? vid. ad vs. 401.

ἀσπίδας εὐκύκλους λαισήιά τε πτερόεντα.
πολλοὶ δ' οὐτάζοντο κατὰ χρόα νηλέι χαλκῷ,
ἠμὲν ὅτεῳ στρεφθέντι μετάφρενα γυμνωθείη
μαρναμένων, πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς.
πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν
ἐρράδατ' ἀμφοτέρωθεν ἀπὸ Τρώων καὶ Ἀχαιῶν.
ἀλλ' οὐδ' ὧς ἐδύναντο φόβον ποιῆσαι Ἀχαιῶν,
ἀλλ' ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
ϝισάζουσ', ἵνα παισὶν ἀϝεικέα μισθὸν ἄρηται·
ὣς μὲν τῶν ἐπὶ ϝῖσα μάχη 'τέτατο πτόλεμός τε, 436 = *O* 413
πρίν γ' ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορ' ἔδωκε
Πριαμίδῃ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν. 438 cf. *Π* 558
ἤυσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς· 439 = *N* 149 cf. *Θ* 227
„ὄρνυσθ', ἱπποδάμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος 440ᵃ = *Δ* 509
Ἀργεΐων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ.“
ὣς 'φάτ' ἐποτρύνων, οἳ δ' οὔασι πάντες ἄκουον,
ἴθυσαν δ' ἐπὶ τεῖχος ἀϝολλέες. οἳ μὲν ἔπειτα
κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ' ἔχοντες, 444ᵇ = *P* 412
Ἕκτωρ δ' ἁρπάξας λᾶαν 'φέρεν, ὅς ῥα πυλάων
εἱστήκει πρόσθε, πρυμνὸς παχύς, αὐτὰρ ὕπερθε
ὀξὺς ἔην· τὸν δ' οὔ κε δύ' ἀνέρε δήμου ἀρίστω 447ᵇ = *Δ* 328
ῥηιδίως ἐφ' ἅμαξαν ἀπ' οὔδεος ὀχλίσσειαν, 448ᵇ = *ι* 242
οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα 'πάλλε καὶ οἶος. 449 = *E* 304

---

426 λαισήια] vid. ad locum parall.

428 ὅτεῳ Zen.] ὅτῳ (Ar.?) mss. Si genuinum est pronomen, anapaestum efficere debet, cf. 8; sed verum videtur *ὅτε.

433-435] cf. Verg. Aen. VIII 408-413.

433 χερνῆτις] †. || ἀληθής] ἀλῆτις (*mendica*) Apoll. lex. et l. a. Par. 2766. Adi. hic = *proba*, alias de *vere dictis* tantum adhibetur.

434 σταθμὸν] *pondus librae* † (alias *postis ianuae* aut *stabulum*).

435 ϝισάζουσ'] †, cf. 'ϝισάσκετο *Ω* 607, ϝισωσαίμην *η* 212. || ἀϝεικέα] ἀνεικέα edidit Ar. (ἔξω νείκους), ipse tamen ἀεικέα (= εὐτελῆ) postulans; praeterea in quodam commentario lectionem ἀμεμφέα protulit.

437 ὑπέρτερον] -τατον Ambr.; cf. *Λ* 290. || Ἕκτορ' ἔδωκε] -ρι δῶκε mss.

439 ἤυσεν] sc. *Sarpedon*, non *Iuppiter*, ut Zen. et Ar. interpretabantur (vid. ad vs. 444). || γεγωνώς] cf. § 260.

442 'φάτ'] ἔφατ' A, quod servari possit si scribatur ὀτρύνων. || οὔασι ... ἄκουον] vid. ad *Δ* 587.

444 κροσσάων] vid. ad vs. 258. || ἀκαχμένα δούρατ' ἔχοντες] ἐπεὶ θεοῦ ἔκλυον αὐδήν (cf. *O* 270) Zen. (vid. ad vs. 439).

446 εἱστήκει] ἑστήκει Ar. et mss. multa.

447-449] cf. Verg. Aen. XII 899-901.

447 ἔην] ἔεν? vid. § 302. || ἀνέρε δήμου] vid. *B* 198.

448 ἐφ' ἅμαξαν] ἐπ' ἄμ. mss. multa. || ὀχλίσσειαν] ὀχλήσειαν mss. nonnulla, ut *Φ* 261 *Ω* 567 *ι* 242 *ψ* 188; sed vid. § 144.

449 μιν ῥέα] vid. ad *E* 304.

ὣς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς
χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει,
ὣς Ἕκτωρ ἰθὺς σανίδων 'φέρε λᾶαν ἀείρας,
αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας,
δικλίδας ὑψηλάς· δοιοὶ δ' ἔντοσθεν ὀχῆες
εἶχον ἐπημοιβοί, μία δὲ κληὶς ἐπαρήρει.
'στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἐρεισάμενος 'βάλε μέσσας, 457ᵃ = Δ 496
εὖ διαβάς, ἵνα μή ϝοι ἀφαυρότερον βέλος εἴη·
'ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς, 'πέσε δὲ λίθος εἴσω
βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι 'μύκον, οὐδ' ἄρ' ὀχῆες
ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη
λᾶος ὑπὸ ῥιπῆς. ὃ δ' ἄρ' εἴσθορε φαίδιμος Ἕκτωρ 462ᵃ = Θ 192
νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια· 'λάμπε δὲ χαλκῷ
σμερδαλέῳ, τὸν ἔϝεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ
δοῦρ' ἔχεν· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας
νόσφι θεῶν, ὅτ' ἐσᾶλτο πύλας, πυρὶ δ' ὄσσ' ἐδεδήει.
'κέκλετο δὲ Τρώεσσι ϝελιξάμενος καθ' ὅμιλον
τεῖχος ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντ' ἐπίθοντο·
αὐτίκα δ' οἳ μὲν τεῖχος ὑπέρβασαν, οἳ δὲ κατ' αὐτὰς
ποιητὰς ἐσέχυντο πύλας. Δαναοὶ δ' ἐφόβηθεν
νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ' ἀλίαστος ἐτύχθη. 471 = Π 296

450 *τόν ϝοι ἐλαφρὸν ἔθηκε Κρόνου πάις ἀγκυλόμητις.* 450 cf. *B* 319
450 Zen. om., Aristoph. Ar. —

450] versum parum apte praecedenti subiunctum Zen. recte omisisse videtur; robur ferentis eo imminui observabat Ar., Lachmann tamen potius vs. 449 delendum censebat. || *ἀγκυλόμητις* Nauck] *-μήτεω* mss.

451 *φέρει*] sic Ar., *φέροι* Townl. || *πόκον*] †, cf. *εἰρόποκος* *E* 137 *ι* 441.

454 *εἴρυντο*] pro *εἰρύατο* vix sanum, probabiliter PKnight coniecit *ἐρύοντο*; cf. § 119 et 164.

456 *ἐπημοιβοί*] cf. *ξ* 513 et *ϑ* 249.

457 *δὲ μάλ' ἐγγὺς*] l. a. *δ' ἄρ' ἐπ' οὐδόν*.

459 *ἀπ'*] *ἐπ'* mss. complura (om. D). || *θαιρούς*] †, *cardines* (liminibus superiori et inferiori insertos).

462 *ὑπὸ*] *ὑπαὶ* C L.

463 *ὑπώπια*] †.

465 *οὔ κέν* Ar. L] *οὐκ ἄν* mss. cett.; cf. § 326. || *ἐρύκακεν* Ar.] *ἐρυκάκοι* mss. Cf. *Γ* 453 *E* 311, 388 *P* 70 *υ* 138.

466] del. Duentzer. || *ὄσσ' ἐδεδήει*] notabilis est verbi singularis iunctus duali, item (*P* 681?) *Ψ* 477 *ζ* 132 (*N* 617 *T* 17); cf. § 52 et ad *N* 435.

468 *ὀτρύνοντ' ἐπίθοντο*] *-ντι πίθ.* Ar. mss. (alii olim *-ναντι πίθοντο*? cf. *β* 422).

ΙΛΙΑΔΟΣ Ν.

Μάχη ἐπὶ ταῖς νανσίν.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηύσ' ἐπέλασσε,
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀιζὺν   2ᵇ = ϑ 529
νωλεμέως, αὐτὸς δὲ πάλιν 'τρέπεν ὄσσε φαεινώ,   3ᵇ = Φ 415
νόσφιν ἐφ' ἱπποπόλων Θρῃίκων καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχιμάχων καὶ ἀγανῶν Ἱππημολγῶν
γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
εἰς Τροίην δ' οὐ πάμπαν ἔτ' ἔτρεπεν ὄσσε φαεινώ·
οὐ γάρ ὅ γ' ἀθανάτων τιν' ἐϝέλπετο ϝὸν κατὰ θυμὸν   8ᵇ = ψ 345
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν' ἢ Δαναοῖσι.   9 cf. Θ 11
οὐδ' ἀλαὸς σκοπιὴν εἶχε κρείων ἐνοσίχθων·   10 cf. Κ 515
καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψόθ' ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης

---

1 *νηύσ' ἐπέλασσε*] *-σὶ πέλ.* mss.

2 *παρὰ*] *περὶ* Zen. Aristoph., l. a. *πρὸς*. || *ἐχέμεν*] *ὀχέμεν* (? — *ὀχέειν* Ribbeck) Zen.

4 *ἱπποπόλων*] hic et *Ξ* 227; vid. ad *Α* 63. || *Θρῃίκων*] vid. § 17.

5 sq.] del. PKnight.

5 *Μυσῶν*] *Μοισῶν* coniecit Posidonius apud Strab. VII p. 296. || *ἀγχιμάχων*] *ἀγχεμ.* mss. pleraque. Redit adi. *Π* 248, 272 *Ρ* 165. || *ἀγανῶν*] quidam olim pro nomine proprio habebant, *ἱππημολγῶν* vero et *ἀβίων* pro adiectivis; vid. ad *Α* 99.

6 *γλακτοφάγων*] †, sed vid. *Β* 471. — Massagetas *γαλακτοπότας* vocat Herod. I 216. || *Ἀβίων*] *Γαβίους* vocavit Aesch. fr. 198. De *Agrippaeis* et de *Getis* Herod. IV 23 et 93 similia rettulit. || *δικαιοτάτων*] sic Ar., alii olim *δικαιοτάτων τ'* (vid. ad vs. 5).

7 *ἔτ' ἔτρεπεν*] *ἔτι τρέπεν* mss.

8 *ὅ γ'*] *ἔτ'* Aristoph.

9 *ἀρηξέμεν'*] *-γέμεν* mss. complura, *-ξειν* alia olim.

10 *ἀλαὸς σκοπιὴν*] *ἀλαοσκοπιὴν* mss. pleraque (Zen. *ἀλαὸν σκοπιὴν*); vid. ad *Κ* 515.

12 *ὑψόθ'* § 322] *ὑψοῦ* mss. || *ἀκροτάτης κορυφῆς*] *-της -φῆς* (cf. *Α* 66) male Aristoph., cf. § 57. || *Σάμου*] i. e. *Samothraces*, cf. *Ω* 78, 753; l. a. *Σάου* a Didymo commendata (cf. Archil. fr. 6, CIG. 2058 A[34]). De altera insula *Samo* (sive *Same*) = *Cephallenia* vid. *Β* 634 *α* 246 etc.

Θρηικίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
'φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα. 16 = 353
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
κραιπνὰ ποσὶ προβιβάς· 'τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη 18ª = ρ 27
ποσσὶν ὕπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς, ἔνθα τέ Ϝοι κλυτὰ δώματα βένθεσι λίμνης 21 cf. ε 381
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτά τ' αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι 'τιτύσκετο χαλκόποδ' ἵππω 23ᵇ-26 = Θ 41 sqq.
ὠκυπέτα, χρυσέῃσι Ϝεθείρῃσιν κομάοντε,
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, 'γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑϜοῦ δ' ἐπεβήσετο δίφρου,
'βῆ δ' ἐλάειν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησε Ϝάνακτα,
γηθοσύνῃ δὲ θάλασσα διίστατο. τοὶ δ' ἐπέτοντο
ῥίμφα μάλ', οὐδ' ὑπένερθε 'διαίνετο χάλκεος ἄξων·
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐύσκαρθμοι 'φέρον ἵπποι.
ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης· 33 cf. Ω 78, 753 [δ 845
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων 34ª = Ε 368
λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον 'βάλεν εἶδαρ 35 cf. Ε 369; 35ª = Θ 50
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
ἀρρήκτους ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν 37 = ϑ 275
νοστήσαντα Ϝάνακτα· ὃ δ' εἰς στρατὸν ᾤχετ' Ἀχαιῶν.

18-38] del. Schoemann, vs. 19ᵇ-38ª Grashof, quoniam mira ambage utitur Neptunus ut Samothrace Troiam perveniat, neque rediens Ο 219 bigis utitur.

18] apud Longinum de subl. 9, 8 subiungitur *καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν* (= Υ 60).

20] cum ingentibus dei passibus cf. *Ε* 770 sqq.

21 *τέ* Strab. VIII p. 386] *δέ* mss.; cf. *Θ* 48.

22 *ἄφθιτά τ'* PKnight] *ἄφθιτα* mss. hiatu vitioso; Bentley *ἄφθιτον*.

23-27ª] imitatur Verg. Aen. V 817-819.

24 *ὠκυπέτα*] cf. *Θ* 42. ‖ *χρυσέῃσι*] cf. § 18 et 61. ‖ *κομάοντε* § 191] *κομόωντε* mss.

27 *ἐλάειν* § 191] *ἐλάαν* mss. ‖ *ἄταλλε*] † (vid. tamen h. Merc. 400), *lasciviebant*, cf. *ἀταλόφρων* *Ζ* 400. ‖ *ὑπ' αὐτοῦ*] *propter eius adventum*; l. a. *ὑπ' αὐτῷ*.

28 *κευθμῶν*] †, alias nominativus est *κευθμών* aut *κεῦθος*. ‖ *ἠγνοίησε*] *-σαν* Ar. A²G; cf. *Λ* 724.

29 *γηθοσύνῃ* Aristoph. Herodian.] *-νη* Ar., mss. utrumque; cf. *λ* 540. Scribendum esse *-νῃ* patet ex *Φ* 390.

31 *ἐύσκαρθμοι*] †, cf. *πολύσκ.* *Β* 814.

36 *πέδας*] †, cf. *ἰστοπέδη* (*μ* 51, 162, 179) et *πέδιλα* (*Β* 44 etc.).

Τρῶες δὲ φλογὶ ϝῖσοι ἀϝολλέες ἠὲ θυέλλῃ
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο, 40 cf. 80
ἄβρομοι ἀϝίϝαχοι· ʼϝέλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρʼ αὐτόθι πάντας ἀρίστους.
ἀλλὰ Ποσειδάων γαιήοχος ἐνοσίγαιος
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
ϝεισάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν. 45 cf. *P* 555 *X* 227
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 46 = *Π* 555
„Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω μηδὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἐγώ γʼ οὐ δέδϝια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ· 50 cf. 87
ἕξουσιν γὰρ πάντας ἐυκνήμιδες Ἀχαιοί·
τῇ δὲ δὴ αἰνότατον περιδέδϝια μή τι πάθωμεν,
ᾗ ῥʼ ὅ γε λυσσώδης φλογὶ ϝείκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετʼ ἐρισθενέος πάις εἶναι.
σφῶιν δʼ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειε,
αὐτώ θʼ ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμενʼ ἄλλους·
τῷ κε καὶ ἐσσυμένον περ ἐρωήσαιτʼ ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.“
ἦ, καὶ σκηπανίῳ γαιήοχος ἐνοσίγαιος 59ª = *Ω* 247
ἀμφοτέρω κεκοπὼς ʼπλῆσεν μένεος κρατεροῖο,
γυῖα δʼ ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθε. 61 = *E* 122

---

39 *ἠὲ*] *ἠδὲ* pap. Par. et codd. nonnulli.

41 *ἄβρομοι*] †, *simul frementes.* || *ἀϝίϝαχοι*] *αὐίαχοι* mss., cf. § 40 et de prima syllaba producta § 21. Adi. †, *simul clamantes.* Perperam a verbo *αὔειν* olim derivabant quidam. Utriusque adiectivi syllabam *ἀ-* recte Ar. interpretabatur *ἄγαν*, est enim praefixum (*σα-*), quod etiam in *ἄλοχος ἀτάλαντος* etc. cernitur. — De Troianorum clamoribus vid. ad *Γ* 2-9.

42 *παρʼ αὐτόθι*] *-φι* mss. multa; vid. ad *M* 302. || *ἀρίστους*] *Ἀχαιοὺς* mss. complura.

43 *ἐνοσίγαιος* § 21] *ἐννοσ.* mss.

47 *σφὼ*] vitiosum pro *σφῶι* vel *ὔμε* (*ὔμμε*), cf. § 92. || *τε*] *κε* pap. Par. D H Apoll. lex. male. || *σαώσετε*] aoristi mixti (§ 152) imperativum esse ostendere videtur negatio *μηδὲ* quae sequitur.

51 *ἕξουσιν*] *σχήσουσιν* Aristoph., fortasse recte, vid. *Λ* 820 *N* 151 *Ξ* 100; vulgatam tamen tuetur *Υ* 27. || *πάντας*] *πάντες* mss. nonnulla.

53 *ὅ γε*] *ὅ γʼ ὁ* vel *ὅδʼ ὁ* mss. || *λυσσώδης*] †; adiectivi forma non est Homerica (*ϝεῖδος*), cf. *ι* 194. Menrad *λυσσητὴρ* (ut *Θ* 299) coniecit.

57 *ἐρωήσαιτʼ*] ceteris locis (*B* 179 etc., vid. ad *A* 303) intransitivum est verbum, cf. tamen *ἀπερωεύς* *Θ* 361. Christ coniecit *ἐσσυμένος … ἐρωήσειʼ* (cf. § 113).

58 *καί … ἐγείρει*] *κέν … ἐγείρῃ* mss. pauca.

59 *ἐνοσίγαιος* G] *ἐννοσ.* mss. cett.; vid. § 21.

60 *κεκοπὼς*] sic et *-φὼς* Ar. (hoc male, vid. § 157 et 158), *κεκοπὼν* libri Chius et Antimachi. Redit partic. *σ* 335.

αὐτὸς δ', ὥς ϑ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσϑαι,
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρϑεὶς
ὁρμήσῃ πεδίοιο διωκέμεν' ὄρνεον ἄλλο,
ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχϑων.
τοῖιν δ' ἔγνω πρόσϑεν 'Οιλῆος ταχὺς Αἴας,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
„Αἶαν, ἐπεί τις νῶι ϑεῶν, οἳ Ὄλυμπον ἔχουσι,
μάντιι Ϝειδόμενος κέλεται παρὰ νηυσὶ μάχεσϑαι, —
οὐδ' ὅ γε Κάλχας ἐστὶ, ϑεοπρόπος οἰωνιστής·
ἴχνεα γὰρ μετόπισϑε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ ϑεοί περ.
καὶ δ' ἐμοὶ αὐτῷ ϑυμὸς ἐνὶ στήϑεσσι φίλοισι
μᾶλλον ἐφορμάεται πολεμιζέμεν' ἠδὲ μάχεσϑαι,
μαιμάουσι δ' ἔνερϑε πόδες καὶ χεῖρες ὕπερϑε.“ 75b cf. *E* 122
τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
„οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρϑε δὲ ποσσὶ
ἔσσυμαι ἀμφοτέροισι· μενοινάω δὲ καὶ οἶος
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσϑαι.“ 80 cf. 40
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον
χάρμῃ γηϑόσυνοι, τήν σφιν ϑεὸς ἔμβαλε ϑυμῷ·
τόφρα δὲ τοὺς ὄπιϑεν γαιήοχος ὦρσεν Ἀχαιούς,
οἳ παρὰ νηυσὶ ϑοῇσιν ἀνέψυχον φίλον ἦτορ. 84b cf. *K* 575
τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖ' ἐλέλυντο, 85b cf. *H* 6
καί σφιν ἄχος κατὰ ϑυμὸν ἐγίγνετο δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ. 87 cf. 50

---

62 *ϑ' ἴρηξ*] *τ' ἴρηξ* mss. ‖ *ὠκύπτερος*] † (*πτερόν* passim); cf. *ὠκυπέτης* *Θ* 42 *N* 24.

63 *αἰγίλιπος*] cf. *I* 15. ‖ *ἀρϑεὶς*] novicium pro *ἀερϑεὶς*, cf. § 256; abundat autem alterum adiectivum *περιμήκεος*, neque aptum est ad designandam rupem. Menrad *περίμηκες ἀερϑείς*, Hartman *πτερύγεσσιν ἀερϑείς*.

64 *πεδίοιο*] vid. ad *B* 785. ‖ *διωκέμεν'* § 125] *-κειν* mss. ‖ *ὄρνεον*] † (*ὄρνις* passim). ‖ *ἄλλο*] vid. ad *Φ* 22.

66 *'Οιλῆος*] vid. ad *B* 527.

69 *μάντιι* § 74] *μάντ(ε)ι* mss.

71 **ἴχνεα*] *ἴχνια* Ar. mss., *ἴχματα* Zen. Aristoph., l. a. *ἴϑματα* (propter sequens *κνημάων*). Vitio natus pluralis *ἴχνια* redit *Σ* 321 *Ψ* 764 *β* 406 *γ* 30 *ε* 193 *η* 38 h. Merc. 218, 220, 342, 351; vera lectio *ἴχνη* i. e. *ἴχνε'(α)* superest *τ* 436 h. Merc. 76, dativus *ἴχνεσι* *ρ* 317.

74 *ἐφορμάεται* § 191] *-μᾶται* mss. ‖ *πολεμιζέμεν'* § 125] *-ζειν* mss.

75 *μαιμάουσι* § 190 et 191] *-μώωσι* mss.

78 *μαιμῶσιν* cf. § 190 et 191; *μαιμώωσιν, ἐμοὶ* G, *μαιμάουσι, μένος δέ μοι* Fick, sed displicet caesura post 2um trochaeum. ‖ *δὲ ποσσὶ*] *πόδεσσιν* A.

79 *μενοινάω* § 190 et 191] *-νώω* mss.

85 *γυῖ' ἐλέλυντο*] *γυῖα λέλ.* mss.

τοὺς οἵ γ' εἰσοράοντες ὑπ' ὀφρύσι δάκρυ' ἔλειβον,
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ. ἀλλ' ἐνοσίχθων 89 cf. *O* 700
ῥεῖ' ἐπιϝισάμενος κρατερὰς ὤτρυνε φάλαγγας. 90 cf. *P* 285
Τεῦκρον ἔπι πρῶτον καὶ Λήιτον ἦλθε κελεύων
Πηνέλεόν θ' ἥρωα Θόαντά τε Δηίπυρόν τε 92ᵇ-94 = 478 sqq.
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς·
τοὺς ὅ γ' ἐποτρύνων ϝέπεα πτερόεντα προσηύδα· 94 = *P* 219 cf. *o* 208
„αἰδὼς, Ἀργέιοι, κοῦροι νέοι· ὔμιν ἐγώ γε 95ᵃ = *E* 787
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἡμάς·
εἰ δ' ὔμες πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ ϝείδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι, 99 = *O* 286 *Υ* 344 *Φ* 54 h. Merc. 219 cf. *τ* 36
δϝεινὸν, ὃ οὔ ποτ' ἐγώ γε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἴμεναι νέας, οἳ τὸ πάρος περ
φυζακινῇσ' ἐλάφοισι 'ϝεϝοίκεσαν, αἵ τε καθ' ὕλην
θώων παρδαλίων τε λύκων τ' ἤια πέλονται
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ' ἔνι χάρμη·
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν 105ᵇ = *Z* 502
μιμνέμεν' οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἦ βαιόν.
νῦν δὲ ϝεκὰς πόλιος κοίλησ' ἐπὶ νηυσὶ μάχονται 107 = *E* 791
ἡγεμόνος κακότητι μεθημοσύνηφί τε λαῶν,
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν' οὐκ ἐθέλουσι

---

88 *εἰσοράοντες* § 191] *-ρόωντες* mss. || *δάκρυ' ἔλειβον*] *δάκρυα λεῖβον* mss.

90 **ῥεῖ' ἐπιϝισάμενος*] *ῥεῖα μετεισάμενος* mss., cf. *P* 285.

92 *Πηνέλεον* Aristoph.] *-λεων* mss.; vid. § 62 et ad *B* 494.

95-98] del. Friedlaender alii propter vocem *ὢ πόποι* vs. 99; vid. ad *ν* 200-208. Duplicem huius loci extitisse recensionem, antiquiorem versus 95-98 et 108-115 complexam esse, recentiorem vs. 99-107 et 116-124, existimat Leaf.

95 *κοῦροι νέοι*] cum contemtu dictum, ut *παῖδες νεαροί* *B* 289; cf. *E* 787. || *ὔμιν* § 92] *ὔμμιν* vel *ὔμμιν* mss.

96 *ἡμάς* § 95] *ἀμάς* vel *ἀμάς* mss.

97 *ὔμες* § 92] *ὑμεῖς* mss.

100 *ὃ οὔ*] hiatus vitiosus; fortasse excidit *ῥ'* vel *τ'*; *ὃ μή* Townl. in marg., idque coniecerunt Heyne PKnight (cf. *B* 302).

101 *ἴμεναι* § 125] *ἰέναι* mss.

102 *φυζακινῇσ'*] †, cf. *φύζα* (*I* 2 etc.), *πεφυζότες* (*Φ* 6 etc.), *φυζηλός* (?) *P* 143.

103 *παρδαλίων*] sic Ar., *πορδ.* mss. complura; cf. *P* 20 *Φ* 573 *δ* 457. || *ἤια*] *praeda*; in Il. vox non redit, in Od. significat *viaticum* (*β* 289 etc., *ε* 368 *paleas*). || *πέλονται*] **πέλωνται*?

104 *ἠλάσκουσαι*] cf. *B* 470. || **ἔνι χάρμη*] *ἔπι* (*ἐπὶ*) *χάρμη(ι)* mss. Cf. vs. 82; diversi sunt versus *Λ* 515 et quos Bekker attulit *ξ* 92 *π* 315: *οὐδ' ἔπι φειδώ* *neque adest* (*obstat*) *verecundia.*

106 *μιμνέμεν'* § 125] *-νειν* mss. || *ἦ βαιόν*] *ἠβαιόν* mss.; cf. § 2.

107 *δὲ ἑκὰς* Zen. Aristoph.] *δ' ἕκαθεν* Ar. mss.; cf. *E* 791.

108 *ἡγεμόνος*] *nostri* scilicet (vid. ad vs. 95-98). || *μεθημοσύνηφι* criticus apud Nauckium] *-νῃσι* mss.; cf. vs. 121. Vox †, cf. *μεθήμων* *B* 241 *ζ* 25.

νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστι
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων, 112 = *A* 102
οὕνεκ' ἄρ' ἠτίμασσε ποδώκεα Πηλεΐωνα,
ἧμάς γ' οὔ πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν. 115ᵇ cf. *O* 203
ὕμες δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς 116ᵇ = *Δ* 234
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδέ κ' ἐγώ γε
ἀνδρὶ μαχεσσαίμην, ὅς τις πολέμοιο μεθείη
λυγρὸς ἐών· ὕμιν δὲ νεμεσσάομαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ϝέκαστος 121ᵇ sq.ᵃ cf. *O* 561
αἰδόα καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρε. 122ᵇ = *O* 400 cf. *P* 384
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερὸς, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα." 124 cf. *M* 291
ὣς ῥα κελευτιάων γαιήοχος ὦρσεν Ἀχαιούς.
ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄρ κεν Ἄρης ὀνόσαιτο μετελθὼν 127 sq. cf. *P* 398 [sq.
οὔτε κ' Ἀθηναίη λαοσσόος· οἳ γὰρ ἄριστοι 127ᵇ cf. *Δ* 539
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ.
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυθ', ἀνέρα δ' ἀνήρ, 131-133 = *Π* 215 sqq.
'ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν 134ᵇ = *Λ* 553

---

113 *ἄρ' ἠτίμασσε*] *ἄρ' ἠτίμησε* Brandreth Cobet, *ἀπητίμησε* (†) mss.; Cobet contulit *H* 140 *Λ* 79 *N* 461 *Ω* 607. Nauck *ἀπητίμασσε* coll. Aesch. Eum. 95.

114 sq.] del. Bekker.

114 *ἧμας* § 92] *ἡμέας* mss.

115] cum libro *I* hic versus conciliari nequit; vid. ad *Π* 73. || *ἀκεσταί*] adi. verb. †, cf. *ἄκεσμα* *O* 394, *στρεπτός* *I* 497 *O* 203. || *τοι*] l. a. *τε* ab Ar. commemorata.

116 *ὕμες* § 92] *ὑμεῖς* mss.

117 *οὐδέ κ'* § 326] *οὐδ' ἂν* mss.

118 *μεθείη*] *μεθ(ε)ίει* mss. multa.

119 *λυγρὸς*] *ignavus*, ut *N* 237 *ι* 454 *σ* 107. || *νεμεσσάομαι* § 191] *-σσῶμαι* mss.

120 *πέπονες*] cf. *B* 235.

122 *αἰδόα* § 77] *αἰδῶ* mss.

124] de re vid. *M* 121, 455 sqq.

125 *κελευτιάων* § 191] *-ιόων* mss.

127 *ἄρ* Paley vHerwerden] *ἄν* mss. (om. GZ). Vid. ad *P* 658. || *ὀνόσαιτο*] de optativo vid. *Δ* 223.

129 *κρινθέντες*] *κριθέντες* mss. multa.

130] imitati sunt Tyrt. fr. 11^{31}, Eur. Heracl. 837, Verg. Aen. X 361. || *προθελύμνῳ*] cf. *I* 541.

131 *κόρυθ'* § 66] *κόρυν* mss.; cf. *Π* 215.

132 *'ψαῦον*] verbum hic et versu par. absolute est usurpatum, redit autem *Ψ* 519, 806 h. Ven. 125, ubi genitivum habet adiunctum.

134 *ἐπτύσσοντο*] *plicandi* verbum huic loco vix aptum; Naber *ἐσσεύοντο* (cf. *Λ* 553),

σειόμεν'· οἳ δ' ἰϑὺς 'φρόνεον, 'μέμασαν δὲ μάχεσϑαι.
Τρῶες δὲ προέτυψαν ἀϝολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ 136 = *O* 306 *P* 262
ἄντικρυς μεμαώς, ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,
ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ,
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης·
ὕψι δ' ἀναϑρῴσκων πέτεται, κτυπέει δέ ϑ' ὑπ' αὐτοῦ
ὕλη· ὃ δ' ἀσφαλέως ϑέει ἔμπεδον, ἧος ἵκηται 141ᵃ cf. *ν* 86
ϝισόπεδον, τότε δ' οὔ τι κυλίνδεται ἐσσυμένος περ·
ὣς Ἕκτωρ τῆος μὲν ἀπείλεε μέχρι ϑαλάσσης
ῥεῖα δ' ἐλεύσεσϑαι κλισίας καὶ νῆας Ἀχαιῶν
κτείνων, ἀλλ' ὅτε δὴ πυκινῇσ' ἐνέκυρσε φάλαγξι,
'στῆ ῥα μάλ' ἐγχριμφϑείς· οἳ δ' ἀντίοι υἷες Ἀχαιῶν
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι 147 = *O* 278 *P* 731 cf. *Ξ* 26 *ω* 527
ὦσαν ἀπὸ σφείων, ὃ δὲ χασσάμενος 'πελεμίχϑη, 148 = *Δ* 535
ἤυσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς· 149 = *M* 439
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 150 = *Θ* 173
παρμένετ'· οὔ τοι δϝηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες, 152ᵇ = *M* 43
ἀλλ', ὀίω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε ϑεῶν ὄχ' ἄριστος, ἐρίγδουπος πόσις Ἥρης."
ὣς ϝειπὼν ὤτρυνε μένος ϑυμόν τε ϝεκάστου. 155 = *E* 470

---

cui coniecturae non favet participium quod sequitur *σειόμενα*. || *ἀπὸ*] *ὑπὸ* vHerwerden.

136 *προέτυψαν*] *προύτ.* mss.

137] eadem imago adhibita est Hes. Scut. 437 sqq. || *ἄντικρυς* § 31] *ἀντικρὺ* mss. || *ὀλοοίτροχος*] *ὀλοότροχος* mss. nonnulla. Vox †, sed cf. Herod. V 92 VIII 52, Xen. Anab. IV 2 § 3, Theocr. XXII 49. A stirpe *ϝελ* (§ 265) videtur ducta, ut *ϝόλμος* *Λ* 147; veteres ab *ὀλοός* aut ab *ὅλος* derivabant, PKnight coniecit *ϝολϝότροχος*. — De syllaba *-ος* ante *ὣς* non producta vid. § 101.

138 *στεφάνης*] *marginis planitiei editae*; vid. ad *H* 12.

139 *ἀναιδέος*] vid. ad *Δ* 521.

140 *δ'*] *τ'* mss. nonnulla. || *ἀναϑρῴσκων*] comp. †.

141 *ἀσφαλέως*] *ἀσκελέως* Naber. || *ἧος* § 323] *ἕως* vel *εἵως* mss. multa, *ὄφρ' ἂν* Syr. alia (cf. *X* 192), *εἰς ὅ κεν ἔλϑῃ* Porphyr. ad *Λ* 269. Cf. *O* 23 *ψ* 151.

142 *ϝισόπεδον*] †; coniecimus **λειόπεδον*.

143 *τῆός* (*τεῖος*) Brandreth, cf. § 323] *εἵως* mss. || *ἀπείλεε* § 191] *-λει* mss.

144 *ῥεῖα δ' ἐλεύσεσϑαι*] *ῥέα διελεύσεσϑαι* Ar. Verba corrupta, neque enim in vulgata ferri potest particula *δέ*, neque in Ar. lectione Homericum est *ῥέα* (cf. § 8). Vitium redit *Y* 263; vHerwerden *ῥεῖ' ἐπιϝίσεσϑαι*, Nauck *ῥεῖα διίξεσϑαι* (quod tamen verbum ita a poeta adhibitum non reperitur).

145 *ἐνέκυρσε*] comp. †, cf. *συγκ.* *Ψ* 435.

148 *χασσάμενος 'πελεμίχϑη*] *χάσσατο πολλὸν ὀπίσσω* Zen.

149 *Τρώεσσι*] pap. Par. *Δαναοῖσι* aperto errore. || *γεγωνώς*] § 260.

151 *τοι*] *τι* mss. complura.

152 *πυργηδὸν*] cf. *Δ* 334.

154 *ὄχ' ἄριστος* PKnight] *ὤριστος* vel *ὥριστος* mss.; cf. § 9.

155 *ϑυμόν τε* Bentley] *καὶ ϑυμὸν* mss.

Δηίφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει 156^{b} = Λ 296
Πριαμίδης, πρὸ Ϝέθεν δὲ ἔχ' ἀσπίδα πάντοσ' ἐΐσην, 157 = 803
κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων. [sq.
Μηριόνης δ' αὐτοῖο 'τιτύσκετο δουρὶ φαεινῷ, 159^{b} sq.^{a} = 370
καὶ 'βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐΐσην 160^{a} = Λ 350
ταυρείην· τῆς δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐϜάγη δολιχὸν δόρυ· Δηίφοβος δὲ 162^{a} cf. *P* 607
ἀσπίδα ταυρείην 'σχέθ' ἀπὸ Ϝέο, 'δεῖσε δὲ θυμῷ
ἔγχος Μηριόναο δαΐφρονος. αὐτὰρ ὅ γ' ἥρως
ἂψ ἑτάρων εἰς Ϝέθνος ἐχάζετο, 'χώσατο δ' αἰνῶς 165^{a} cf. Γ 32
ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέϜαξε·
'βῆ δ' ἴμεναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν, 167 = Θ 220
οἰσόμενος δόρυ μακρὸν, ὅ Ϝοι κλισίηισ' ἐλέλειπτο.
οἱ δ' ἄλλοι 'μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει. 169 = 540, 169^{b} = Λ 500
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα, 170 cf. *M* 378
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν.
'ναῖε δὲ Πήδαιον, πρίν γ' ἐλθέμεν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην· [sqq.
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιϜέλισσαι, 174-176 = *O* 549
ἂψ εἰς Ϝίλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι;
'ναῖε δὲ πὰρ Πριάμῳ· ὃ δέ μιν 'τίε Ϝῖσα τέκεσσι.
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
'νύξ', 'ἐκ δ' ἔσπασεν ἔγχος· ὃ δ' αὖθ' ἔπεσεν μελίη ὥς, 178^{a} = *M* 395
ἥ τ' ὄρεος κορυφῇ Ϝέκαθεν περιφαινομένοιο
χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ·

---

157 **πρὸ Ϝέθεν*] *πρόσθεν* mss.; cf. *N* 803 *Ψ* 533. || **δὲ ἔχ'*] *δ' ἔχεν* mss.

158 *κοῦφα*] cf. *Θ* 201. || *ὑπασπίδια*] *ὑποσπίδια* pap. Par.; vid. ad *Λ* 754. || *προποδίζων*] verbum nonnisi vs. 806 redit; *προμαχίζων* criticus apud Nauckium.

159 *αὐτοῖο*] *ἐν τοῖσι* Apoll. lex.; Duentzer coniecit *αὖ τοῖο*, IMHoogvliet *ἄρα τοῖο*, item vs. 370. Cf. § 98.

162 *καυλῷ*] sic dicitur cuspidis pars quae ligno hastae est immissa; item *Π* 115 *P* 607. Vid. *Π* 338 et ad *Z* 320.

163 *'δεῖσε*] novicium pro *'δϜεῖσε*, neque aptum est *ἀπὸ Ϝέο* (cf. *Y* 278); male Ahrens *ἀπὸ Ϝεῦ δϜεῖσε*, vid. § 92. Fortasse vs. 162^{b}—164^{a} postmodo sunt inserti.

165 *ἂψ*] *ἂψ δ'* Syr.

166 *ξυνέϜαξε*] *ξυνέηξε* Zen.

167 *ἴμεναι* § 125] *ἰέναι* mss.

168 *ὅ*] *ἅ* l. a. in schol., a Duentzero commendata coll. *μ* 97. || **κλισίηισ' ἐλέλειπτο*] *-ηφι λέλειπτο* mss. Cf. *O* 478.

171 *πολυΐππου*] †.

172 *'ναῖε δὲ*] *ὃς ναῖε* Zen. C, cf. *Z* 34. || *πρίν γ'* § 18] *πρὶν* mss. || *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss.

177 *ῥ'*] *δ'* Syr.

178 **αὖθ'*] *αὖτ'* mss., l. a. *αἶψ'*.

179 *κορυφῇ ἕκαθεν*] sic Ar., *κορυφῆς ἕκαθεν* mss. multa; Nauck *κορυφῇσι ἑκὰς*. Cf. *B* 456 *Π* 634. || *περιφαινομένοιο*] cf. *ε* 476.

180 *ταμνομένη*] *τεμν.* Syr.

ὣς ἔπεσ', ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῷ. 181^{b} = Μ 396
Τεῦκρος δ' ὡρμήθη μεμαὼς ϝ' ἀπὸ τεύχεα δῦσαι, [sqq.
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ· 183^{b}-185^{a} = Ρ 304
ἀλλ' ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχος 183^{b} sq. = 403 sq. Ρ 525 sq.
τυτθόν, ὃ δ' Ἀμφίμαχον, Κτεάτοἰ υἱὸν Ἀκτορίωνος, 184 = 503 Π 610 cf. Χ 274
νισσόμενον πόλεμόνδε κατὰ στῆθος 'βάλε δουρί· 186 cf. Ο 577
'δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχἐ ἐπ' αὐτῷ. 186^{b} sq.^{a} = Ο 420 186^{b} = Λ 108 [sq.
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοισ' ἀραρυῖαν 187 = Λ 504
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο,
Αἴας δ' ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ' οὔ πη χρὼς 'ϝείσατο, πᾶς δ' ἄρα χαλκῷ
σμερδαλέῳ 'κεκάλυφθ'· ὃ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὃ δὲ 'χάσσατ' ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ' ἐξεϝέρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς,
ἀρχοὶ Ἀθηναίων, 'κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς.
ὥς τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήια πυκνά, 199^{b} cf. Ψ 122
ὑψόθ' ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
ὥς ῥα τὸν ὑψόθ' ἔχοντε δύω Αἴαντε κορυστὰ 201 cf. Σ 163
τεύχἐ ἐσυλήτην· κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
'κόψεν Ὀιλεΐδης, κεχολωμένος Ἀμφιμάχοιο,
σφαιρηδὸν δέ μιν ἧκε ϝελιξάμενος δι' ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν ἔπεσ' ἐν κονίῃσι.

181 ἔπεσ'] πέσεν mss.
182 *ϝ'] adiecimus.
185 Κτεάτοἰ § 59] -του mss. || *υἱὸν] υἷ' mss.; cf. vs. 792 et § 17.
190 ὀρέξατο] ἀκόντισε Z et l. a. in schol.
191 πη] πω C. || χρὼς Zen.] χρόος (nominativus) Ar. testibus Didymo Aristonico Tyrannione, χροὸς (genitivus) mss., quam lectionem Aristarcho tribuit Alexio, defendit Herodianus. Ellendt coniecit χροὸς ἄσατο coll. Λ 574, ingeniose sed parum probabiliter.
192 'κεκάλυφθ'· ὃ δ' ἄρ'] κεκάλυπτο (sic D). ὃ δ' LaRoche.
194 ἐξεϝέρυσσαν] ἐξείρυσσαν mss.
196 λαὸν] l. a. ἔθνος.
197 μεμαότε] vid. § 160.
198 sq.] vid. ad Γ 23.
198 αἶγα] αἶγε Zen. (absurde).
200 ὑψόθ' § 322] ὑψοῦ mss. || ἔχοντε] -ντες Syr.
201 ὑψόθ' § 322] ὑψοῦ mss.; vHerwerden ἁρπάξαντε (ut vs. 199) pro ὑψοῦ ἔχοντε.
202 τεύχἐ ἐσυλήτην] τεύχεα συλήτην mss. De termino -ήτην vid. § 195.
203 Ὀιλεΐδης Nauck] Ὀιλιάδης (vel ὁ Ἰλιάδης) mss., ἄρ' Ἰλιάδης Zen.; vid. ad Μ 365.
204 σφαιρηδὸν δέ μιν ἧκε Heyne] ἧκε δέ μιν σφαιρηδὸν mss.; praeterea malumus *δέ ϝ' ἕηκε. Male Bekker σφαιρηδά. || σφαιρηδὸν] †, cf. σφαῖρα ζ 100 etc. || ϝελιξάμενος] *converso corpore*. Doederlein transitivam h. l. esse medii vim, ut alias activi, contendit coll. ἐπιδινήσας Γ 378.
205 *ἔπεσ'] πέσεν mss.

καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηιοτῆτι,
'βῆ δ' ἴμεναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν   208 = Θ 220
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχε.
Ἰδομενεὺς δ' ἄρα ϝοι δουρὶ κλυτὸς ἀντεβόλησε,
ἐρχόμενος παρ' ἑταίρου, ὅ ϝοι νέον ἐκ πολέμοιο
ἦλθε κατ' ἰγνύην βεβλημένος ὀξέι χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖσ' ἐπιτείλας
ἤιεν εἰς κλισίην, ἔτι γὰρ πολέμοι' ἐμενοίνα
ἀντιάειν. τὸν δὲ προσέφη κρείων ἐνοσίχθων,
ϝεισάμενος φθογγὴν Ἀνδραίμονος υἷι Θόαντι,
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι   217ᵇ = Ξ 116
Αἰτωλοῖσ' ἐϝάνασσε, θεὸς δ' ὣς 'τίετο δήμῳ·   218ᵇ = E 78
„Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ   219ᵇ = Γ 83
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;"
τὸν δ' αὖτ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἀντίον ηὔδα·   221 = Δ 265
„ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἐγώ γε
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτε τινὰ δϝέος ἴσχει ἀκήριον οὔτε τις ὄκνῳ   224 cf. E 812, 817
ϝείκων ἀνδύεται πόλεμον κακόν· ἀλλά ποθ' οὕτως
μέλλει δὴ φίλον ἔμμεν' ὑπερμενέι Κρονίωνι,   226 cf. B 116
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.   227 = M 70
ἀλλά, Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήιος ἦσθα,
ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ϝίδηαι·   229ᵇ cf. Δ 516

---

207 *υἱωνοῖο*] sc. *Amphimachi.* Vid. tamen *B* 620 *N* 185. Cum non diserte addatur Cteatum Neptuni filium esse, Friedlaender post vs. 187 aut 205 unum pluresve versus excidisse suspicatur. || *ἐν αἰνῇ δηιοτῆτι*] *ἐνὶ κρατερῇ ὑσμίνῃ* Syr.

208 *ἴμεναι* § 125] *ἰέναι* mss.

211 *ἑταίρου*] est quod mireris nomen sodalis vulnerati non commemorari; nam non significari *Merionen* docet contextus; vid. vs. 246.

212 *ἰγνύην*] *poplitem*, † (legitur *ἰγνύσι* h. Merc. 152; cf. *γόνυ*.

214 *εἰς κλισίην*] *ἐκ κλισίης* DZ[1]. || *πολέμοι' ἐμενοίνα*] *-μοιο μεν.* mss.; cf. § 59.

215 *ἀντιάειν* § 191] *-ιάαν* mss.

218 *Αἰτωλοῖσ' ἐϝάνασσε*] *Αἰτωλοῖσιν ἄνασσε* mss. || Post hunc versum in mss. nonnullis sequitur *τῷ μιν ἐεισάμενος προσέφη κρείων ἐνοσίχθων* (cf. *B* 22 *Π* 720 *P* 585 etc.), in L *τῷ μιν ἐεισάμενος ἔπεα πτερόεντα προσηύδα.*

222 *Θόαν*] *πέπον* D. Vid. ad *O* 467. || *γ'* Ar.] om. mss., Aristoph. *δ'* (?, vid. Ludwich Arist. I p. 352).

223 *πτολεμίζειν*] *πολ.* mss. complura.

224 *οὔτε*] l. a. *οὐδὲ* ab Ar. commemorata.

225 *ἀνδύεται*] sic Ar., alii olim *ἀδδύεται*; vid. § 10. || *ποθ'* § 322] *που* mss.

226 *ἔμμεν'* § 125] *εἶναι* mss.

227 *ἐνθάδ' Ἀχαιούς*] *υἷας Ἀχαιῶν* A.

228 *ἦσθα*] *ἔσσι* Bentley.

229 *ὅθι μεθιέντα ϝίδηαι*] *ὅτις μεθίῃσι πόνοιο* Zen. || *ὅθι*] *ὅτε* mss. nonnulla.

τῷ νῦν μήτ' ἀπόληγε κέλευέ τε φωτὶ Ϝεκάστῳ."
 τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειε
ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο, 233b cf. *P* 255 *Σ* 179
ὅς τις ἐπ' ἤματι τῷδε Ϝεκὼν μεθέῃσι μάχεσθαι.
ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
σπευδέμεν', αἴ κ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλετ' ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶι δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι."
 ὣς Ϝειπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν· 239 = *Π* 726 *P* 82
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
'δύσετο τεύχεα καλὰ περὶ χροΐ, 'γέντο δὲ δοῦρε,
'βῆ δ' ἴμεν' ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου, 243b = *A* 532
δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ Ϝοι αὐγαί· 244b = *X* 27
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος. 245 = *X* 32
 Μηριόνης δ' ἄρα Ϝοι θεράπων ἐὺς ἀντεβόλησε
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἦε
οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
 „Μηριόνη, Μόλου υἱὲ πόδας ταχύ, φίλταθ' ἑταίρων,
τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηιοτῆτα;
ἠέ τι βέβλησαι, βέλεος δέ σε τείρει ἀκωκή;
ἠέ τιν' ἀγγελίην μετ' ἔμ' ἤλυθες; οὐδέ τοι αὐτὸς
ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι."
 τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα· [619
254 = 266 cf. *Π*

230 τε] δὲ Syr.
233 μέλπηθρα] i. e. παίγνια, *ludibrium*; vox nonnisi locis par. redit; vid. μέλπομαι (*H* 241 etc.) et ad *N* 291. Nauck coniecit ἕλκηθρα coll. *X* 336 et Eur. Herc. 568.
234 μεθέῃ(ι)σι Syr.] μεθίῃσι mss. cett.; cf. § 122 et *O* 359 *Ψ* 805 α 168.
236 σπευδέμεν' § 125] σπεύδειν mss.
237 συμφερτὴ] συμφερτὸς Zen. sec. schol. A, συμφερτὴν (-τῶν?) Zen. Aristoph. sec. schol. V; utrique fidem denegavit Duentzer. Aristarchum συμφερτῶν legisse efficit Ludwich ex eius interpretatione apud Apollon. in lex. „σφόδρα καὶ κακῶν ἀνθρώπων εἰς ταὐτὸν συνελθόντων γίγνεταί τις ἀρετή"; cf. Ludwich Arist. I p. 353. — Adi. verbale †, cf. συμφέρω *Θ* 400 *Λ* 736; vert. *etiam valde imbellium virorum coniuncta est virtus*, i. e. *eorum coniunctio virtutem efficit* (vis unita fortior). || δ' ἀρετὴ] δὲ βίη Zen. Aristoph. || *πέλετ' § 275] πέλει mss. || λυγρῶν] vid. ad vs. 119.
244 ἀρίζηλοι] adi. redit *Σ* 219, 221, 519 *X* 27 μ 453; vid. etiam v. l. *B* 318.
245 περὶ] ἐνὶ Zen. Aristoph. || στήθεσσι] -σφι G; vid. ad *M* 401.
246 θεράπων ἐὺς] sic Ar., θεραπωνεὺς olim quidam, δουρὶ κλυτὸς Zen. Aristoph.
247 ἦε § 308] ᾔει mss.; Nauck ἴκεν.
251 *βέβλησαι § 117] βέβληαι mss.
252 τιν' ἀγγελίην Bentley] τευ ἀγγελίης mss.; vid. ad *Γ* 206. Buttmann τευ (τε') ἀγγελίην.

256 „ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
οἰσόμενος· τό νυ γὰρ κατέϜαξ' ἐμὸν, ὃ πρὶν ἔχεσκον,
ἀσπίδα Δηιφόβοιο βαλὼν ὑπερηνορέοντος."
τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα· 259 = Δ 265
260 „δούρατα δ', αἴ κ' ἐθέλῃσθα, καὶ ἓν καὶ Ϝείκοσι δήεις
ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανάοντα, 261ᵇ = Θ 435
Τρώια, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυσμενέων Ϝεκὰς ἱστάμενος πολεμίζειν.
τῷ μοι δούρατά τ' ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι
265 καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανάοντες."
τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα· 266 = 254
„καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ 267 cf. Δ 329 Κ 74
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
270 ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270ᵇ = Ξ 155 cf. Δ 225
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρῃσι πτολέμοιο.
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ Ϝίδμεναι αὐτὸν ὀίω."
τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα· 274 = Δ 265
275 „Ϝοῖδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
277 εἰς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαϜείδεται ἀνδρῶν, — [φ 412 sq.ⁿ
279 τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ, 279 cf. 284 Ρ 733

255 Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
278 ἔνθ' ὅ τε δειλὸς ἀνὴρ ὅς τ' ἄλκιμος ἐξεφαένθη·

255] deest in multis mss., in scholio commemoratur.

256 τοι] που (ποθ') Herodianus.

257 κατέαξ' ἐμὸν Naber] κατεάξαμεν Ar. mss., κατεήξαμεν Zen.; fuere qui κατέαξα μὲν scriberent particula μὲν male abundante. Bentley κατέϜαξά μοι. Pluralem defendebat Curtius Verb. I² p. 87.

260 δ'] γ' C, τ' Syr. || καὶ ἓν καὶ Ϝείκοσι] *vel viginti et unam*? Malis *et unam et viginti*, sed καὶ … καὶ vix est epicum; vid. tamen vs. 636 et Ω 641.

261 ἐνώπια] vid. Θ 435. || παμφανάοντα § 191] -νόωντα mss.

265 γανάοντες § 191] -νόωντες mss.

267 παρά τε] πάρα τ' ἐν Doederlein, quod spolia non *prope* sed *in tentorio* servari consentaneum sit. Vera observatio, sic tamen τ' ferri nequit; *πάρ' ἐνὶ?

271 *ὀρώρῃσι πτολέμοιο § 284] ὀρώρηται πολ. mss.; cum perfecti forma quam dedimus cf. ἐρρίγῃσι Γ 353; vHerwerden ὀρίνηται, vid. τ 377.

275 οἷος] cf. § 17.

278] tanquam praecedentis interpretamentum delerunt Koeppen Heyne. || δειλὸς] novicium pro δϜειλὸς. Christ ὃς δϜειλὸς, Nauck ὅς τε δ(Ϝ)ειλὸς ὅς τ'; sed etiam vis adiectivi h. l. est insolita, alias enim *miserum* (Att. δείλαιος) significat apud Homerum. || ἐξεφαένθη § 280] -φάνθη mss.

279 ἄλλῃ]? vid. ad ε 369 λ 385.

οὐδέ ϝοι ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός, 280ᵇ cf. I 462
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ ϝοι κραδίη μεγάλα στέρνοισι πατάσσει 282ᵇ cf. H 216 Ψ 370
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίγνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῖ' οὔτ' ἂρ τρέπεται χρὼς οὔτε τι λίην 284 cf. 279
ταρβέει, αἴ κε πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀράεται δὲ τάχιστα μιγήμεναι ἐν δαΐ λυγρῇ· —
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο. 287ᵇ cf. Z 502
εἴ περ γάρ τε βλῆο πονεύμενος ἠὲ τυπείης,
οὔ κεν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος οὐδ' ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειε
πρόσσω ϝιεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς 292 = Γ 244
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ· 292ᵃ = ν 296
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἑλέ' ὄβριμον ἔγχος.“
ὣς 'φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι 295 = 328
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος, 295ᵇ = 528
'βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς. 297 = 469
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
τῷ δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς
ἕσπετο, ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· —
τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον,
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκάν· —

---

281 μετοκλάζει] † (verbi stirps in Homero non redit). || ἵζει] corporis statum insidiantis spectat.
284 ἀγαθοῖ' § 59] -θοῦ mss.
285 ταρβέει, αἴ κε Menrad] ταρβεῖ ἐπειδὰν mss., vid. § 191 et 326; adv. ἐπειδὰν †, Bekker ἐπεί κεν, Brandreth ἐπειδή. || πρῶτον] alias (τὰ) πρῶτα. || ἐσίζηται] comp. †.
286 ἀράεται § 191] ἀρᾶται mss. || τάχιστα] μάλιστα Gen.
287 οὐδέ κεν] *οὔ κέ τις? Vid. X 199 Aesch. Ag. 71. || γε] sic Ar., τε L.
288 τε Bekker] κε mss.; cf. B 123 H 387 Θ 205 β 246. || βλῆο Bekker Cobet] βλῆο C, βλεῖο mss. cett. || πονεύμενος] § 7 et 191.
289 οὔ κεν l. a. in schol.] οὐκ ἂν Ar. mss.
290 στέρνων] στέρνοι(ο) mss. nonnulla.
291 ὀαριστύν] vocabulum ironice adhibitum, ut μέλπεσθαι H 241, μέλπηθρα N 233.
292 ταῦτα λεγώμεθα] cf. B 435 ibique Zen.
294 ἑλέ' § 117] ἕλευ mss.
297 μεμηλώς] part. redit E 708 N 469, ibi quoque genitivo iunctum. Nauck negans de ipso curante adhiberi posse (apud Hes. Oper. 231 de re quae curae est usurpatur) coniecit μεμηώς (μεμαώς, cf. § 160).
298] sic Ar. (alii olim εἶσι πτόλεμόνδε?).
299 ἀταρβής] †, vid. tamen H 117 et l. a. γ 111; ἀτάρβητος dicitur Γ 63.
300 ταλάφρονα] † (ταλασίφρων saepius).
301] Thracia Martis regio dicitur etiam θ 361 et saepe apud posteros. || ἐκ Θρῄκης Ἐφύρους] εἰς Ἐφύρους πόλεμον Pausan. IX 36 § 2. || Θρῄκης] vid. § 17. || θωρήσσεσθον] -σσοντο Strab. IX p. 442 (cf. Π 218).
303 ἀμφοτέρων] -ροις L non male.

τοῖοι Μηριόνης τε καὶ Ἰδομενεύς, ἀγοὶ ἀνδρῶν,
ἤισαν εἰς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ. 305^b cf. Δ 495
τὸν καὶ Μηριόνης πρότερος· πρὸς μῦθον ἔϜειπε· 306 cf. E 632
„Δευκαλίδη, πῆ τ' ἂρ μέμονας καταδύμεν' ὅμιλον;
ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
ἢ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι Ϝέλπομαι οὕτως
δεύεσθαι πολέμοιο κάρη κομάοντας Ἀχαιούς."
τὸν δ' αὖτ' Ἰδομενεύς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα· 311 = Δ 265
„νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμυνέμεν' εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
οἵ μιν ἄδην ἐλάουσι καὶ ἐσσυμένον πολέμοιο. 315 cf. T 423
αἰπύ Ϝοι ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους 318^b = H 309
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσι.
ἀνδρὶ δέ κ' οὐ Ϝείξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτὴν, 322^b cf. Φ 76
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισι. 323^b = Δ 265
οὐδέ κ' Ἀχιλλῆι ῥηξήνορι χωρήσειε
ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔ πως ἔστιν ἐρίζειν.
νῶιν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
Ϝείδομεν ἤέ τιν' εὖχος ὀρέξομεν ἤέ τις ἡμῖν." 327 cf. M 328
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι 328 = 295

316 Ἕκτορα Πριαμίδην, εἰ καὶ μάλα καρτερός ἐστι. 316^b = E 410

307 καταδύμεν' § 125] -δῦναι mss.
309 ποθι] l. a. ποτε.
310 κομάοντας § 191] -μόωντας mss.
312 ἀμυνέμεν' § 125] -νειν mss.
314 τοξοσύνῃ] †.
315 ἄδην] vid. ad E 203. || ἐλάουσι § 191] ἐλόωσι Ar. mss.; l. a. ἑάσουσι (LaRoche ἅσουσι), i. e. *satiabunt*, ab Ar. reiecta, de qua cf. T 402, 423 (l. a. Ω 557) ε 290. Requiri tamen *satiandi* verbum observavit Cobet, ἑόωσι coniciens; sed ἑ- vel ἐ- explicari nequit. Ecquid *οἵ καὶ (vel περ) ἄδην Ϝ' ἄσουσι (ἑ ἄσουσι) fuit olim? Tyrtaeus ἐλάουσι legisse videtur, vid. fr. 11, 10 ἐς κόρον ἠλάσατε. || πολέμοιο] πολεμίζειν Zen., vid. Δ 717 δ 416.
316] om. mss. complura, manu recentiore in margine habent multa. || εἰ καὶ E 410] καὶ εἰ mss.; cf. § 17.
317 ἐσσεῖται] vid. § 302.
318 κείνων] sic Ar., κείνου olim alii. || ἀάπτους] sic Ar., ἀέπτους Aristoph.; cf. Δ 567.
320 δαλὸν] δα(Ϝ)ελὸν LMeyer alii; cf. § 176. Redit vox O 421 ε 488 τ 69 h. Cer. 240 Hes. Oper. 705.
321 οὐ] οὐκ mss.
323 ῥηκτὸς] adi. verb. † (ἄ(ρ)ρηκτος saepius).
324 οὐδέ κ' § 326] οὐδ' ἂν mss.
325 αὐτοσταδίῃ] †, cf. σταδίῃ H 241 N 314 etc., αὐτοσχεδίῃ O 510.
326 νῶιν] suspectum (dat. ethicus?).
327 τιν'(ι) § 99] τῳ mss.

ἦρχ' ἴμεν', ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ᾗ μιν ἄνωγε.
οἳ δ' ὡς Ἰδομενῆα Ϝίδον φλογὶ Ϝείκελον ἀλκήν, 330ᵇ cf. Σ 154
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισι, 331 cf. Π 279
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν. 332 = Λ 460
τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρυμνῇσι νέεσσι. 333ᵇ = Ξ 51 Ο 722 Τ 135
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῷ ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἳ δ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, 'μέμασαν δ' ἐνὶ θυμῷ
ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν' ὀξέι χαλκῷ.
ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι 339 cf. Η 62
μακρῇσ', ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδε
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κε θρασυκάρδιος εἴη, 343ᵇ cf. Κ 41
ὃς τότε γηθήσειε Ϝιδὼν πόνον οὐδ' ἀκάχοιτο.
τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι 'βούλετο νίκην, 347 cf. Η 21
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδ' ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιῶν Ϝιλιόθι πρό,
ἀλλὰ Θέτιν 'κύδαινε καὶ υἱέα καρτερόθυμον.

350 Ar. —

329 ἄνωγε § 225] ἀνώγει mss.

331 δαιδαλέοισι] μαρμαίροντας H Vrat. et l. a. in schol.; cf. Π 279.

332 αὐτῷ] αὐτὼ Bentley.

333 ὁμὸν] l. a. ὁμόσ' (vid. vs. 337), et sic Doederlein, quoniam adi. ὁμός alias apud H. valet *unus idemque*, quae huc non quadrat notio. An *ὁμοῦ?

334 ὅθ' ὑπὸ] ὅτε που vHerwerden coll. Ν 795 ε 292 sq. etc. et Λ 292. || σπέρχωσιν] de activo vid. Ψ 430 γ 283 ε 304 χ 451 h. XXXII 7.

336 δ' Heyne] τ' mss.; an inverso ordine collocandi sunt vs. 335 sq.? Alterum utrum spurium censet Friedlaender.

339 ἔφριξεν ... ἐγχείῃσι] vertit Verg. Aen. VII 526: *horrescit strictis ... ensibus.*

340 ἄμερδε] *caecabat*; redit θ 64 (?) τ 18, ab alia stirpe ductum est ἀμέρδω *privo* (Π 53 etc.).

342 νεοσμήκτων] †, cf. σμήχω ζ 226.

343 sq.] de optativis vid. ad Δ 223.

343 θρασυκάρδιος] cf. Κ 41.

345-360] postmodo inserti videntur; del. Hermann, PKnight damnarat vs. 352-357.

345 δύω] δύο D; cf. § 91.

346 ἡρώεσσιν ἐτεύχετον schol. h. l. et Κ 364] -σσι τετεύχετον (vel -χατον) mss. pleraque, -σσι τετεύχατο G Z. Vitiosa omnia; -τον pro -την vel serioris aevi rhapsodis tribui vix potest, vid. § 115. Tentavimus *ἔτευχον πήματα coll. l. a. γ 100.

347 ἄρα] ῥα Ar., mss. utrumque, γὰρ criticus apud Nauckium.

348 οὐδ' ὅ γε] sic Aristoph., cf. Μ 406; οὐδέ τι mss. nonnulla, cf. Ι 435.

349 ὀλέσθαι] ὀλέσσαι C H. Medium bene habet, cf. Μ 69 Τ 274 etc. || Ἀχαιῶν Bentley] Ἀχαικὸν mss.; cf. Λ 71.

350 υἱέα] *υἱὸν? cf. § 78.

Ἀργεΐους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα. 353 = 16
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος 'γεγόνει καὶ πλείον' ἐϝείδει. 355 cf. Τ 219 Φ 440
τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ϝεϝοικώς.
τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίοο πτολέμοιο 358^b = Ο 670 Σ [242
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισ' ἐτάνυσσαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσε. 360^b cf. Ε 176
ἔνθα, μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας
'Ιδομενεὺς Τρώεσσ' ἐπιάλμενος ἐν φόβον ὦρσε.
'πέφνε γὰρ 'Οθρυονῆα Καβησόθεν ἔνδον ἐόντα, 363^b cf. Ο 438
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,
ἤτεε δὲ Πριάμοιο θυγατρῶν ϝεῖδος ἀρίστην 365 sq.^{a} cf. Γ 124
Κασσάνδρην ἀνέϝεδνον, ὑπέσχετο δὲ μέγα ϝέργον,
ἐκ Τροίης ἀϝέκοντας ἀπωσέμεν' υἷας Ἀχαιῶν.
τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο καὶ κατένευσε 368^b sq.^{a} cf. δ 6 sq. 368^b cf. Β 112
δωσέμεναι· ὃ δ' ἐμάρναθ', ὑποσχεσίῃσι πιθήσας.
'Ιδομενεὺς δ' αὐτοῖο 'τιτύσκετο δουρὶ φαεινῷ, 370^b sq.^{a} = 159 sq.
καὶ 'βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ 371^b sq. = 397 sq.

---

351 ὀρόθυνε] ὤτρυνε Zen. Aristoph.

352 ὑπεξαναδὺς] comp. †. ‖ ἤχθετο γάρ ῥα] in parenthesi collocat Nicanor, soloecum ratus ἄχθομαι accusativo iunctum; vid. tamen *E* 361 et ad *Θ* 378.

355 πλείον' ἐϝείδει] πλείονα ᾔδει vel ᾔδη mss.

356 ἀμφαδίην] -ῃ mss. multa. ‖ ἀλεξέμεναι ἀλέεινε] -μεν ἐξαλέεινε Bentley; an *-μεναί σφ' ἀλέεινε?

358 τὼ Ar. (schol. Townl.) L] οἱ D (ει Syr.), τοι Aristoph. et mss. cett. ‖ ὁμοιίοο § 59] -ίου mss. De adi. vid. ad *Δ* 315. ‖ πτολέμοιο] πολ. mss. pleraque.

359 ἐπαλλάξαντες] † (simplex in H. non extat). ‖ ἀμφοτέροισ' ἐτάνυσσαν] -σι τάν. mss., sic et ἀλλήλοισι τάνυσσαν Ar.

361 μεσαιπόλιος] †, *semicanus*; de locativi forma μεσαι- cf. § 48; simplex πολιός legitur passim.

362 *Τρώεσσ' ἐπιάλμενος] -σσιν ἐπάλμενος Townl. et l. a. in schol., Τρώεσσι μετάλμενος mss. cett.

363 Καβησόθεν ἔνδον ἐόντα] ridicule liber Argolicus Ἑκάβης νόθον υἱὸν ἐόντα, alii ἐνδονέοντα uno verbo pro κεκινημένον accipiebant. Cf. *O* 438. Adv. ἔνδον h. l. significat *intra Troiae fines*.

364 μετὰ] vid. *Λ* 227; κατὰ Aristoph., cf. Pind. Pyth. IV 125.

365 ἀρίστην] ἀγητὴν Nauck.

366 ἀνέϝεδνον Bentley] ἀνάεδνον mss., cf. *I* 146.

367 ἀπωσέμεν'] ἀνωσέμεν Ar. (Zenodoti hanc fuisse lectionem suspicatus est Cobet). ‖ Post hunc versum quidam addebant φοιτῶν ἔνθα καὶ ἔνθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν.

368 δ' ὁ] δὲ?

369 ὑποσχεσίῃσι] †; cf. ὑπόσχεσις *B* 286 etc.

370 αὐτοῖο] vid. ad vs. 159.

371 βιβάντα] sic Ar.; cf. *H* 213.

χάλκεος ὃν 'φορέεσκε, μέση δ' ἐν γαστέρ' ἔπηξε.
'δούπησεν δὲ πεσών, ὃ δ' ἐπηύξατο 'φώνησέν τε· 373 cf. *Λ* 449
„Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων, 374 cf. *ϑ* 487
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὃ δ' ὑπέσχετο θυγατέρα Ϝήν.
καί κέ τοι ἧμες ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ' Ἀτρεΐδαο θυγατρῶν Ϝεῖδος ἀρίστην 378b = *Γ* 124
Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν', εἴ κε σὺν ἧμιν
Ϝιλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον. 380 cf. *Α* 164
ἀλλ' ἔπε', ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισι
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐϜεδνωταὶ κακοί εἰμεν.“
ὣς Ϝειπὼν ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην 383b = *Ρ* 289
ἥρως Ἰδομενεύς. τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ
πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὃ δ' ἐϜίετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὃ δέ μιν φθάμενος 'βάλε δουρὶ 387b cf. *τ* 449
λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. 388b = *Ο* 342 *Π* [309 etc.
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωὶς 389-393 = *Π* 482 sqq.
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·
ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου 'κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἐκ δέ Ϝοι ἡνίοχος 'πλήγη φρένας ἃς πάρος εἶχε·
οὐδ' ὅ γ' ἐτόλμησεν δηίων ὑπὸ χεῖρας ἀλύξας

---

372 *ἐν*] vid. ad vs. 398. || *γαστέρ' ἔπηξε*] *-ρι πῆξε* (*τύψεν* D) mss.

373 *δ' ἐπηύξατο 'φώνησέν τε*] l. a. *δὲ κερτομέων ἔπος ηὔδα.*

374 *αἰνίζομ'* § 295] *αἰνίσσομ'* Zen., *αἰνίξομ'* Paris. 2767, fortasse recte, *δειvίσσομ'* olim alii. Verbum versu par. redit (*αἶνος* saepius).

377 *ἧμες* § 92] *ἡμεῖς* mss.; praeterea verba malumus sic ordinata **καί χ' ἧμές τοι.*

378 *ἀρίστην*] *ἀγητὴν* Nauck.

379 *ἧμιν* § 92] *ἄμμι(ν)* mss.

380 *Ϝιλίου*] *Ϝίλιον* (sic Christ)? Cf. *Β* 133.

381 *ἔπε'* § 117] *ἔπευ* mss.; vid. ad *Κ* 146. || *συνώμεθα*] forma novicia, vid. § 122; Menrad Fick *συνηόμεθ' ὠκυπόροισι* coll. *Ν* 58, 110. Verbum idem valere h. l. quod *συνθώμεθα* docuit Ar. coll. voce *συνημοσύνη* *Χ* 261.

382 *ἐϜεδνωταὶ*] †, cf. *ἐϜεδνώσαιτο* *β* 53 et (ἔ)*Ϝεδνα* *Π* 178 etc.

383 *εἷλκε*] *ἕλκε* Ar. et mss. pauca. || *κατὰ*] *διὰ* A C, l. a. *κατὰ* (an *διὰ*?) *κρατερῆς ὑσμίνης.*

384 *ἦλθεν ἀμύντωρ*] vid. *Ξ* 449 *Ο* 540; *ἦλθ' ἐπαμύντωρ* Ar. Townl.; cf. *π* 263.

389 *ἀχερωίς*] hic et loco par.; *populus alba* significari videtur.

390 *βλωθρή*] pini epitheton incertae originis (*celsa*?) redit loco par. et *ω* 234.

391 *νεήκεσι*] hic et loco par.; cf. *τανυήκης* vel *ταναήκης* *Η* 77 *Ξ* 385 etc.

392 *δίφρου*] *δίφροο*? cf. § 59.

393 *δεδραγμένος*] hic et vs. par., vid. etiam *Ε* 309 *Λ* 355, *ἕλε γαῖαν ἀγοστῷ* *Λ* 425 etc. Cf. *δράγμα* *Λ* 69 *Σ* 552, *δραγμεύω* *Σ* 555.

395 *δηίων*] vid. § 17.

ἂψ ἵππους στρέψαι, τὸν δ' Ἀντίλοχος μενεχάρμης
δουρὶ μέσον 'περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ — 397ª = H 145
χάλκεος ὃν 'φορέεσκε, μέσῃ δ' ἐν γαστέρ' ἔπηξε. — 397ᵇ sq. = 371 sq.
αὐτὰρ ὅ γ' ἀσθμαίνων ἐυϜεργέος ἔκπεσε δίφρου, — 399 = E 585
ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός, — 400ᵇ = E 565
ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς. — 401 = E 324
Δηίφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ. — 403ᵇ sq. = 183 sq.
ἀλλ' ὃ μὲν ἄντα Ϝιδὼν ἠλεύατο χάλκεον ἔγχος
'Ιδομενεύς· 'κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐϜίσῃ,
τὴν ἄρ' ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
δινωτὴν 'φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
τῇ ὕπο πᾶς ἐϜάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος, — 408ᵇ = X 275
καρφαλέον δέ Ϝοι ἀσπὶς ἐπιθρέξαντος ἄυσε
ἔγχεος· οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκε, — 410ᵇ = Φ 590
ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν, — 411ᵇ sq. = Λ 578 sq.
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηίφοβος δ' ἔκπαγλον ἐπηύξατο, μακρὸν ἀύσας· — 413 sq. cf. Ξ 453 sq. 413 cf. 445 Ξ 478
„οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά Ϝέ φημι
εἰς ἌϜιδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά Ϝοι ὤπασα πομπόν."
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος 'γένετ' εὐξαμένοιο, — 417 = Ξ 458, 486
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· — 418 cf. Ξ 459, 487
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑϜοῖ' ἀμέλησεν ἑταίρου, — 418ᵇ = P 123
ἀλλὰ θέων περίβη καί Ϝοι σάκος ἀμφεκάλυψε. — 420 = Θ 331
424 'Ιδομενεὺς δ' οὐ 'λῆγε μένος μέγα, 'Ϝίετο δ' αἰεὶ — 424ª cf. Φ 305

---

421 *τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,* — 421-423 = Θ 332 sqq.
Μηκιστεύς, 'Εχίοιο πάις, καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς 'φερέτην βαρέα στενάχοντα.

---

398 *ἐν*] *ἐνὶ* G Mor. || *γαστέρ' ἔπηξε*] *-ρι πῆξε* mss.
399 *ὅ γ'*] *ὅ* Ar.; **ὅς?* cf. § 15.
406 *γε*] *γ' ἐν* mss. pleraque.
407 *δινωτὴν*] vid. Γ 391. || *κανόνεσσ'*] *-σσι* Ar. plene perscriptum. De re vid. ad Θ 193.
408 *τῇ*] *τὴν* D. || *ὑπέρπτατο*] vid. § 216.
409 *καρφαλέον ... ἄυσε*] cf. *αὖον ἀΰτευν* M 160, *αὖον ἄυσεν* N 441. || *ἐπιθρέξαντος*] nihili forma; cf. Σ 599. Probabiliter Naber coniecit *ἐπιγράψαντος* coll. Δ 139 N 553 Φ 166. Mirationem tamen facit hasta postquam Deiphobi clipeum strinxit alium virum necans.
415 *ἰόντα*] sic Ar., *ἐόντα* Z.
419 *ἑϜοῖ'* § 59] *ἑοῦ* mss.
421-423] versus e Θ desumtos, cum praecedentibus autem pugnantes, nam *mortuus* iam est Hypsenor, delevit PKnight, simul damnans vs. 418 sqq.
423 *στενάχοντα*] sic Zen., *-ντε* Ar. et mss. pauca, quod recipiendum foret, nisi spurius potius censendus esset locus.
424 *'Ιδομενεὺς*] *-νεῦς* A et olim alii, pro

ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι, 425ᵇ cf. *E* 659
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱόν,
ἥρω' Ἀλκάθοον — γαμβρὸς δ' ἦν Ἀγχίσαο· 428ᵇ cf. *Λ* 739
πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν, Ἱπποδάμειαν,
τὴν περὶ κῆρ' ἐφίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ, πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο 431ᵇ cf. *Π* 808 *β* 158
κάλλεϊ καὶ ϝέργοισιν ἰδὲ φρεσί· τούνεκα καί μιν
'γῆμεν ἀνὴρ ὄχ' ἄριστος ἐνὶ Τροίῃ εὐρείῃ —
τὸν τόθ' ὑπ' Ἰδομενῆι Ποσειδάων ἐδάμασσε
θέλξας ὄσσε φαεινά, 'πέδησε δὲ φαίδιμα γυῖα·
οὔτε γὰρ ἐξοπίσω φυγέμεν 'δύνατ' οὔτ' ἀλέασθαι,
ἀλλ' ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον 437ᵇ cf. *δ* 458ᵇ *λ* [588ᵃ
ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρὶ 438ᵇ = *O* 523 *Π* 597
ἥρως Ἰδομενεύς, 'ρῆξεν δέ ϝοι ἀμφὶ χιτῶνα
χάλκεον, ὅς ϝοι πρόσθεν ἀπὸ χροὸς ἦρκε' ὄλεθρον· 440 cf. *O* 534
δὴ τότε γ' αὖον ἄυσεν ἐρεικόμενος περὶ δουρί.
'δούπησεν δὲ πεσών, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά ϝοι ἀσπαίρουσα καὶ οὐρίαχον 'πελέμιζε 443ᵇ cf. *Π* 612 [*P* 528
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης. 444 = *Π* 613 *P* 529
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπηύξατο, μακρὸν ἀύσας· 445 cf. 413
„Δηίφοβ', ἦ ἄρα δή τι ϝεϝίσκομεν ἄξιον εἶναι
τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτως·
δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ' ἐμεῖο, 448ᵇ cf. *P* 31 *Y* 197

---

genitivo accipientes, quod suadet sane syntaxis, vetat tamen flexio; vid. § 76. || *'λῆγε*] *παῦε* Nauck, at cf. *Φ* 305 *χ* 63.

426 *Ἀχαιοῖς*] forma novicia, cf. § 60; *Ἀχαιῶν* Mor. Barocc. (cf. *Π* 75, 80 *Φ* 134) vix recte; olim fortasse fuit **ἀμύνων ϝοῖσι ϝέτῃσι* (cf. *Z* 262) vel eiusmodi aliquid.

427 *Αἰσυήταο*] *Αἰσυμνήταο* PKnight coll. *ϑ* 258.

428 *ἥρω'*] *ἥρων* quidam olim male. || *ἦν*] *ἔεν*? vid. § 302.

430 *κῆρ' ἐφίλησε*] *κῆρι φίλ.* mss.

433 *ὄχ' ἄριστος* PKnight] *ὤριστος* vel *ὥριστος* mss.; cf. § 9. || Versui quidam olim subiungebant *πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας | Πριαμίδας θ', οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισι, | ἕως* (leg. *ἦος*, cf. § 323) *ἔθ' ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος*, in quibus post *ἱπποδάμοισι* excidisse *αὐτόν τ' Αἰνείαν ἐπιείκελον ἀθανάτοισι* statuit Bekker.

435 *φαεινά*] suspectum pro *-νώ*; coniecimus **φαεινώ*, *ἔλυσε* aut *ἔδησε*. Vid. tamen *N* 617 et ad *M* 466 *Γ* 43.

436 *φυγέμεν* § 126] *φυγέειν* mss.

437 *ὑψιπέτηλον*] adi. nonnisi locis par. redit; de termino *-ηλον* (pro *-αλjον*) vid. § 6.

440 *ἦρκε'* § 191] *ἦρκει* mss.

441 *δὴ τότε*] vid. ad *ν* 92. || *αὖον ἄυσεν*] cf. *M* 160.

443 *οὐρίαχον*] vid. ad *K* 153. || *πελέμιζε(ν)* Aristoph. Ar.] sic aut *-ξεν* mss.

446 *τι*] l. a. *τί σ'* ab Ar. iure reiecta.

447 *οὕτως* Ar. et mss. pleraque] *αὔτως* Zen.; cf. *N* 810 *Φ* 106.

448 *ἐναντίον*] *-ος* mss. complura; cf. *Z* 54.

ὄφρα ϝίδης οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω·
ὃς πρῶτον Μίνωα 'τέκε Κρήτη ἐπίουρον,
Μίνως δ' αὖ 'τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἔμ' ἔτικτε, πολέσσ' ἄνδρεσσι ϝάνακτα — 452 cf. Φ 188
Κρήτῃ ἒν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν — 452^{a} = τ 181 cf. Z 206
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσι."
ὡς 'φάτο, Δηίφοβος δὲ διάνδιχα 'μερμήριξε, — 455^{b} = A 189
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσας ἢ πειρήσαιτο καὶ οἷος.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, — 458 = Ξ 23 Π 652 etc., cf. ε 474 κ 153
βήμεν' ἐπ' Αἰνείαν· τὸν δ' ὕστατον ηὗρεν ὁμίλου
ἑσταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι 'τίεσκε.
ἄγχι δέ ϝ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· — 462 = Δ 203
„Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ — 463^{a} = E 180
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.
ἀλλ' ἕπε', Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος γε
γαμβρὸς ἐὼν ἔθρεψε δόμοισ' ἔνι τυτθὸν ἐόντα· — 466^{b} = Δ 223
τὸν δέ τοι 'Ιδομενεὺς δουρὶ κλυτὸς ἐξενάριξε."
ὡς 'φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε, — 468 = Δ 208
'βῆ δὲ μετ' 'Ιδομενῆα μέγα πτολέμοιο μεμηλώς. — 469 = 297
ἀλλ' οὐκ 'Ιδομενῆα φόβος 'λάβε τηλύγετον ὥς,
ἀλλ' ἔμεν' ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθὼς,
ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρῳ ἒν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθε· — 473^{a} = P 54
ὀφθαλμὼ δ' ἄρα ϝοι πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας

449 ἴδῃς Zen. et mss. pleraque] ἴδῃ Ar. L, i. e. ϝίδη'(αι), vid. § 117. Cobet ϝιδέῃς, sed vid. § 160. Si *sciendi* verbum requiri putaremus, proponeremus ὡς ϝείδῃς.

450 Κρήτη] Κρήτης criticus apud Nauckium. || ἐπίουρον] una voce Zen. Ar. Trypho Herodianus, ἔπι οὖρον alii.

452 πολέσσ'] *πολύσσ'? Dativi forma suspecta redit P 236, 308. Cf. § 64 et 83.

456 ἤ] sic Ar., εἴ mss. complura. Cf. vs. 327. || ἑταρίσσαιτο] †, cf. act. intrans. ἑταιρίσσαι Ω 335, ἑταιρίζουσι h. Ven. 96.

458] cf. Verg. Aen. IV 287: *haec alternanti potior sententia visa est.*

459 βήμεν' § 125] βῆναι.

460 sq.] cf. Υ 180 sqq. et 306 sqq.

460 ἐπεμήνιε] comp. † (sed vid. l. a. B 772 etc.).

462 *ἄγχι δέ ϝ' § 318] ἀγχοῦ δ' mss.

464 γαμβρῷ] *leviro*, ut E 474.

465 ἕπε' § 117] ἕπευ mss. || ἐπαμύνομεν] ἐπαμῦναι l. a. metro repugnans (Nauck ἐπαμυνέμεν). || γε] περ? vid. O 256 P 270 X 302.

466 γαμβρὸς] vid. ad vs. 464.

469 μεμηλώς] vid. ad vs. 297.

470 τηλύγετον] vid. ad Γ 175.

473 οἰοπόλῳ] vid. ad P 54.

474 ὀφθαλμὼ] vid. ad I 503.

θήγει ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας·
ὣς ἔμεν' Ἰδομενεὺς δουρὶ κλυτὸς — οὐδ' ὑπεχώρει —
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους, 477^b = Λ 461
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηίπυρόν τε 478 cf. Ι 82 sq. 478^b-480 = 92 sqq.
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς·
τοὺς ὅ γ' ἐποτρύνων Ϝέπεα πτερόεντα προσηύδα·
„δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνετε· δέδϜια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισι,
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον. 484^b = Ι 39
εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ, 485 cf. π 99 485^b = ω 511
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην.“ 486 cf. Σ 308
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
πλησίοι ἔστησαν σάκε' ὤμοισι κλίναντες. 488 = Λ 593
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο Ϝοῖσ' ἑτάροισι, 489 cf. Ο 501
Δηίφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ Ϝοι ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν' ἐκ βοτάνης, γάνυται δ' ἄρα τε φρένα ποιμήν· 493^b cf. Θ 559
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσ' ἐγεγήθει,
ὡς 'Ϝίδε λαῶν Ϝέθνος ἐφεσπόμενον ἑϜοὶ αὐτῷ.
οἳ δ' ἀμφ' Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν 496 cf. 526 496^b cf. Ρ 530
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς 497^bsq.^{a} cf. Φ 254 sq.
σμερδαλέον 'κονάβιζε τιτυσκομένων καθ' ὅμιλον 498^a = Β 466
ἀλλήλων· δύο δ' ἄνδρες ἀρήιοι ἔξοχον ἄλλων, 499-501 cf. Γ 158 sqq.
Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηι,
'Ϝίεντ' ἀλλήλων ταμέμεν χρόα νηλέι χαλκῷ. 501 = Π 761

---

475 ἀλέξασθαι] ἀλεξέμεναι Bekker, item Ο 565 Π 562 σ 62; aor. ἠλεξάμην alibi non obvius.
476 *ἔμεν'] μένεν mss.
477 βοηθόον] βοῇ θοὸν D H Z. Vox nonnisi Ρ 481 redit (ubi vid.); cf. patronymicum Βοηθοΐδης δ 31 ο 95, 140. Dorica forma βοαθόος legitur Bacchyl. fr. 49 Pind. Nem. 7, 48; vid. praeterea Callim. Del. 27 Theocrit. XXII 23.
480] multi olim omittebant.
481 μ'(οι)] vid. § 13.
482 ὅς] ὥς Nauck; aut nihil mutandum videtur aut posterius ὅς (e. g. ἦ μάλα).
485 ὁμηλικίη] -ῃ mss. complura, -ην Zen. D. || ἐπὶ Ar.] sic aut ἐνὶ mss.; cf. π 99 ω 511.
486 ἠὲ] ἤ κε Syr.
490 Δηίφοβον] aliud nomen expectes, vid. vs. 455 sqq.
491 οἵ] τοί Syr.
492 κτίλον] cf. Γ 196.
494 *στήθεσσ' ἐγεγήθει] -σσι γεγ. mss.
495 ἐφεσπόμενον § 247] ἐπισπόμενον mss. || ἑϜοὶ] cf. § 93.
499 ἔξοχον] ἔξοχοι mss. complura.
501 ταμέμεν § 126] ταμέειν mss.

Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ' ὃ μὲν ἄντα Ϝιδὼν ἠλεύατο χάλκεον ἔγχος, 503 = 184
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης 504 sq. = Π 614 sq.
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσε.
Ἰδομενεὺς δ' ἄρα Ϝοινόμαον 'βάλε γαστέρα μέσσην,
'ρῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς 507 sq. = Ρ 314 [sq.
ἤφυσ'· ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 507b sq.a cf. Ξ 517 508b = Λ 425
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα 'δυνήσατο τεύχεα καλὰ 510 sq. = Ε 621 sq.
ὤμοιίν Ϝ' ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσι.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι, 512a = Ψ 627
οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑϜὸν βέλος οὔτ' ἀλέασθαι.
τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ, 514b = Λ 484
τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες 'φέρον ἐκ πολέμοιο. 515b = Ρ 700
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ 516b = Ξ 461
Δηίφοβος· δὴ γάρ Ϝοι ἔχεν κότον ἐμμενὲς αἰεί.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτεν, ὃ δ' Ἀσκάλαφον 'βάλε δουρί, 518a = Θ 311
υἱὸν Ἐνυαλίοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος 519b sq. = Ξ 451 [sq.
ἔσχεν· ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 520b = Λ 425
οὐδ' ἄρα πώ τι 'πέπυστο βριήπυος ὄβριμος Ἄρης 521-524 cf. h. Ap. 97 sq.
υἷος ἑϜοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ,
ἀλλ' ὅ γ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσι
ἧστο, Διὸς βουλῇσι ϜεϜελμένος, ἔνθα περ ἄλλοι
ἀθάνατοι θεοὶ ἧσαν ἐϜεργόμενοι πολέμοιο.
οἳ δ' ἀμφ' Ἀσκαλάφῳ αὐτοσχεδὸν ὡρμήθησαν· 526 cf. 496
Δηίφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
ἥρπασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι 528b = 295
δουρὶ βραχίον' ἔτυψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
αὐλῶπις τρυφάλεια χαμαὶ 'βόμβησε πεσοῦσα. 530b = σ 397 cf. Π 118
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὥς,

---

502 πρῶτος] πρόσθεν Aristoph.
508 ἀγοστῷ] vid. ad Λ 425.
510 ἄρ' ἔτ' ἄλλα] l. a. ἄρα τἄλλα; cf. § 9.
511 *Ϝ'] addidimus.
512 ἦν] ἔεν? vid. § 302.
516 βάδην] †.
518 ὃ δ'] vid. ad Λ 191.
520 ἀγοστῷ] vid. ad Λ 425.
521 βριήπυος] †, cf. βριαρός (Λ 375 etc.), Βριάρεως (Α 403), ἠπύω Ξ 399 etc. (ἠπύτα Η 384). De re vid. Ε 859 sqq.
523 γ' ἄρ'] γὰρ mss. multa. ‖ ὑπὸ] ἐπὶ Syr. ‖ χρυσέοισι] vid. § 18 et 61.
526 Ἀσκαλάφῳ] Ἀλκαθόῳ Syr.
529 βραχίον' ἔτυψεν] -να τύψεν mss.; an *ἔτυψ' ἐπιάλμενος?
531 ἐξαῦτις ἐπάλμενος] *αὖτίς Ϝ'(οι) ἐπιάλμενος? ‖ αἰγυπιὸς] vid. ad Η 59.

ἐκϜέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,
ἂψ δ' ἑτάρων εἰς Ϝέθνος ἐχάζετο. τὸν δὲ Πολίτης 533ᵃ = Γ 32
αὐτοκασίγνητος, περὶ μέσσῳ χεῖρε τιτήνας,
ἐξῆγεν πολέμου δυσϜηχέος, ὄφρ' ἵκεθ' ἵππους 535ᵇ-538 = Ξ 429 sqq.
ὠκέας, οἵ Ϝοι ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ Ϝάστυ 'φέρον βαρέα στενάχοντα,
τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρός.
οἳ δ' ἄλλοι 'μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει. 540 = 169
Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην ἐπορούσας
λαιμὸν ἔτυψ', ἐπὶ Ϝοὶ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη 543ᵃ = χ 17
καὶ κόρυς· ἀμφὶ δέ Ϝοι θάνατος 'χύτο θυμορραίστης. 543ᵇ cf. Ξ 419; 544 cf. Π 414, 580
Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
οὖτασ' ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσε,
ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὃ δ' ὕπτιος ἐν κονίῃσι 548ᵇ sq. = Δ 522 sq.
κάππεσεν, ἄμφω χεῖρε φίλοισ' ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ ἤνυτο τεύχε' ἀπ' ὤμων 550ᵇ = Λ 580
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον, οὐδ' ἐδύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῷ
Ἀντιλόχου· περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσι.
οὐ μὲν γάρ ποτ' ἄνευ δηίων ἦν, ἀλλὰ κατ' αὐτοὺς
ἐστρέφετ'· οὐδέ Ϝοι ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ

---

532 ἐκϜέρυσε] ἐξέρ. mss.
534 περὶ μέσσῳ] sc. βραχίονι? e contextu id elici vix potest. Grashof περὶ ὤμῳ χεῖρα.
535 πολέμου Bekker] -μοιο mss.
537 ποικίλ' ἔχοντες] ποικίλα χαλκῷ D, non male (incisa igitur sententia post ἕστασαν).
539 νεουτάτου] vid. ad Σ 536.
541 Αἰνείας δ' G et l. a. apud Didym.] ἔνθ' Αἰνέας Ar., sic aut ἔνθ' Αἰνείας (metro invito) mss. cett.; cf. E 390 et § 8.
542 ἔτυψ'] τύψ' mss.
543 ἑάφθη] sic Ar. Herodianus, ἐ- Ammonius, mss. utrumque. Verbum incertae originis Ξ 419 redit; cf. § 131. Nauck ἰάφθη.
544 Ϝοι] μιν locis parall. || θυμορραίστης Glaucus gramm.] θυμοραϊστής mss.; cf. Π 414, 580, 591 Σ 220. Verbi ῥαίειν diphthongus divelli nequit, et ρ 300 certe in κυνοραίστης non divellitur. De -ρ- et -ρρ- vid. § 27.
546 ἀπὸ Aristot. Hist. An. III 3 Ar. mss.] διὰ Zen. || φλέβα] †.
550 ἤνυτο] αἴνυτο mss.
551 περισταδὸν] †, παρασταδὸν Zen. Aristoph. Par. 2767.
556 δηίων] cf. § 17. || ἦν] ἔεν? vid. § 302.
557 ἐστρέφετ' Nauck coll. Ω 5] στρωφᾶτ' mss.; στρῡφάετ' Schulze coll. h. Cer. 48 et Hes. Op. 528 (cf. § 21), fortasse recte. De vocali ω vitiosa cf. § 191 et 248.

σειόμενον ’ϝεϝέλικτο· ’τιτύσκετο δὲ φρεσὶ ϝῆσι
ἤ τε’ ἀκοντίσσαι ἠὲ σχεδὸν ὁρμηθῆναι.
ἀλλ’ οὐ ’λῆθ’ Ἀδάμαντα τιτυσκόμενος καθ’ ὅμιλον
Ἀσιάδην, ὅ ϝοι οὖτα μέσον σάκος ὀξέι χαλκῷ
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ ϝοι αἰχμὴν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
καὶ τὸ μὲν αὐτόθ’ ἔμειν’, ὥς τε σκῶλος πυρὶ καυστὸς, 564[a] cf. δ 508
ἐν σάκε’ Ἀντιλόχοιο, τὸ δ’ ἥμισυ ’κεῖτ’ ἐπὶ γαίης·
ἂψ δ’ ἑτάρων εἰς ϝέθνος ἐχάζετο κῆρ’ ἀλεείνων. 566 = Γ 32
Μηριόνης δ’ ἀπιόντα μεθεσπόμενος ’βάλε δουρὶ
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
’γίγνετ’ Ἄρης ἀλεγεινὸς ὀιζυροῖσι βροτοῖσι.
ἔνθα ϝοι ἔγχος ἔπηξεν· ὃ δ’ ἑσπόμενος περὶ δουρὶ
ἤσπαιρ’ ὡς ὅτε βοῦς, τόν τ’ οὔρεσι βουκόλοι ἄνδρες
ϝιλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσι·
ὣς ὃ δαμεὶς ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δϝήν, 573[b] = Λ 416
ὄφρα ϝοι ἐκ χροὸς ἔγχος ἀνεσπάσατ’ ἐγγύθεν ἐλθὼν
ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσ’ ἐκάλυψε. 575[b] = Δ 461
Δηίπυρον δ’ Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην 576[b] cf. Ε 584
Θρηικίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξε.
ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ ’πέσε, καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
τὸν δὲ κατ’ ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε. 580 = Ε 659
Ἀτρεΐδην δ’ ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
’βῆ δ’ ἐπαπειλήσας Ἑλένῳ ἥρωι ϝάνακτι,

---

558 ’*ϝεϝέλικτο* § 41] *ἐλέλικτο* mss. || *φρεσὶ*] verbo *τιτύσκεσθαι* insolite additur.

559 *τε’* § 99] *τευ* mss.

561 *ὅ* Bentley] *ὅς* mss.; cf. *α* 300.

562 *ἀμενήνωσεν*] †, cf. *ἀμένηνος* *E* 887 etc.

563 *βιότοιο μεγήρας*] *vitam* (*Antilochi*) *ei non concedens*. Genitivus ut Aesch. Prom. 626, alias acc.

564 *αὐτόθ’ ἔμειν’*] *αὐτοῦ μεῖν’* mss.; cf. § 322. || *σκῶλος πυρὶ καυστὸς*] *sudis praeusta* (ne putrescat pars quae solo infigitur); subst. *σκῶλος* (et adi. verbale) †; *-λον* … *-τὸν* Apoll. lex.

565 *σάκε’* § 71] *σάκει* mss. || *γαίης*] *-ῃ* mss. complura.

566] post hunc versum subiungitur *πάντοσε παπταίνων μή τις χρόα καλὸν ἐπαύρῃ* (= *N* 649) in margine D et in textu Harl.

567 *μεθεσπόμενος* § 247] *μετασπόμενος* mss.

570 *ἑσπόμενος* § 247] *δὲ σχόμενος* Genev. et l. a. in schol.; cf. *M* 395.

572 *ϝιλλάσιν*] †. || *ἄγουσι*] *ἄγωσι* Vrat. Genev. fortasse recte.

573 *δαμεὶς* Lehrs Ar.[2] p. 54] *τυπεὶς* mss., quod propter vs. 567 vitiosum esse neque Aristarchum sic legisse ostendit Lehrs l. c.; parum apte coniecerit aliquis *ταθεὶς* coll. vs. 655; cuius loci dissimilis est ratio.

577 *Θρηικίῳ*] vid. *Ψ* 807 sq. et Helbig Hom. Epos[1] p. 5 sqq., 13.

580 **ὀφθαλμὼ*] *-μῶν* mss., cf. *E* 659.

582 *ἥρωι ϝάνακτι*] insolita est harum vocum iunctura.

ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἀνεῖλκε. 583ª = Γ 423
τὼ δ' ἄρ' ὁμαρτήδην ὃ μὲν ἔγχεϊ ὀξυόεντι 583ᵇ = Λ 375
'Ϝίετ' ἀκοντίσσαι, ὃ δ' ἀπὸ νευρῆφιν ὀιστῷ. 585ª = Π 359
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος 'βάλεν ἰῷ 585ᵇ = Φ 113 cf. Ο 313
θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀιστός. 586ᵇ = Θ 303; 587 cf. Ε 99
ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλῳὴν
θρῴσκωσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ, 590ª = Ψ 215
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς Ϝεκὰς ἔπτατο πικρὸς ὀιστός.
Ἀτρεΐδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
τὴν ἔβαλ' ᾗ ῥ' ἔχε τόξον ἐύξοον· ἐν δ' ἄρα τόξῳ
ἄντικρυς διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
ἂψ δ' ἑτάρων εἰς Ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων, 596 = Γ 32
χεῖρα παρακρεμάσας· τὸ δ' ἐφείλκετο μείλινον ἔγχος.
καὶ τὸ μὲν ἐκ χειρὸς 'Ϝέρυσεν μεγάθυμος Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐυστρεφέ' οἰὸς ἀώτῳ, 599ᵇ = 716
σφενδόνῃ, ἣν ἄρα Ϝοι θεράπων ἔχε ποιμένι λαῶν.
  Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
ἤιε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε, 602ᵇ = Ι 411
σοί, Μενέλαε, δαμήμεν' ἐν αἰνῇ δηιοτῆτι.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 604 sq. = Λ 232 sq.
Ἀτρεΐδης μὲν ἅμαρτε, παραὶ δέ Ϝοι ἐτράπετ' ἔγχος,
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
οὔτασεν, οὐδὲ διὰ πρὸ 'δυνήσατο χαλκὸν ἐλάσσαι· 607ᵇ = 647
ἔσχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
ἔγχος· ὃ δὲ φρεσὶ Ϝῇσ' ἐχάρη καὶ ἐϜέλπετο νίκην.

---

583 *πῆχυν*] vid. ad *Λ* 375. || *ἀνεῖλκε*] *ἄνελκε* mss. multa.

584 *ὁμαρτήδην* Ar.] *-την* (cf. § 195) mss.; adv. †, vid. § 322.

587 *ἔπτατο*] cf. § 216.

588-590] vid. comparatio *E* 499 sqq.

588 *πτυόφιν*] †.

589 *θρῴσκωσιν*] *-κουσιν* mss. nonnulla Athen. II p. 54*e*. || *κύαμοι ... ἐρέβινθοι*] †.

590 *λικμητῆρος*] †, cf. *E* 500.

592 *ἔπτατο*] cf. § 216.

594] *τὴν*] *τῇ* Nauck. || **ἔβαλ'*] *βάλεν* mss. || *ᾗ*] sic Ar., *ἧ* mss. nonnulla.

595 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.

597 *παρακρεμάσας*] comp. †. || *ἐφείλκετο*] *ἐφέλκ.* mss. Verbum sensu passivo adhibitum? Multi pro medio habent.

599 *ἐυστρεφέ'* § 73] *ἐυστρεφεῖ* Ar., *ἐυστρόφῳ* mss.; cf. *O* 463.

600 *σφενδόνῃ*] †; *fundae* alias apud Hom. non fit mentio nisi forte vs. 716.

603 *δαμήμεν'* § 125] *δαμῆναι* mss.

608 *ἔσχεθε*] *ἔσχετο* H L Z Eust. et l. a. in schol.

609 *Ϝῇσ' ἐχάρη*] *ᾗσι χάρη* mss. || *καὶ ἐϜέλπετο*] *καὶ ἔλπετο* mss. multa, *μέγα δ' ἤλπετο* Zen.

Ἀτρεΐδης δὲ Ϝερυσσάμενος ξίφος ἀργυρόηλον 610 = Γ 361
ἆλτ' ἔπι Πεισάνδρῳ· ὃ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
μακρῷ, ἐΰ ξεστῷ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
ἦ τοι ὃ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης 614 cf. Δ 459 Π 338
ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προσιόντα μέτωπον
ῥινὸς ὕπερ πυμάτης· 'λάκε δ' ὀστέα, τὼ δέ Ϝοι ὄσσε
πὰρ ποσὶν αἱματόεντε χαμαὶ 'πέσον ἐν κονίῃσι,
ἰδνώθη δὲ πεσών. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων 618ᵇ = Π 503
τεύχεά Ϝ' ἐξενάριξε καὶ εὐχόμενος Ϝέπος ηὔδα· 619 = Ρ 537 Φ 183
„λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δϜεινῆς ἀκόρητοι ἀυτῆς,
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἔμ' ἐλωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδϜείσατε μῆνιν
ξεινίου, ὅς τέ ποθ' ὖμι διαφθέρσει πόλιν αἰπήν.
οἵ μεο κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μὰψ ᾤχεσθ' ἀνάγοντες, ἐπεὶ 'φιλέεσθε παρ' αὐτῇ·
νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
πῦρ ὀλοὸν βαλέμεν, κτεῖναι δ' ἥρωας Ἀχαιούς· 629 cf. Θ 182 Ξ 47 Ο 702
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων, 631ᵇ = Γ 171
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.

---

610 ξίφος ἀργυρόηλον] χείρεσσι μάχαιραν Zen. *Cultro* cur M. utatur potius quam gladio nulla causa apparet; quamquam non tam graviter, quam putabat Ar., vituperanda videtur lectio Zen., cum et adversarius Menelai utatur telo insolito.

611 καλὴν] καλῆς Lehrs Ar.[2] p. 450 sq.; cf. Π 104 sq.

612 ἀξίνην] *bipennem*; vox nonnisi Ο 711 redit. || πελέκκῳ] *manubrio*, † (-κκῳ = -κϜῳ -κυῳ, vid. § 37); cf. ἡμιπέλεκκα Ψ 851 etc., πελέκκησεν ε 244.

613 ἐφίκοντο] sic Ar., ἐφικέσθην (ἀφικέσθην schol. A) Aristoph. — Comp. nonnisi ϑ 202 redit, ubi vid.

615 ὑπὸ] ὑπὲρ Apoll. lex.

616 πυμάτης] πρυμνῆς vHerwerden.

617 αἱματόεντε schol. B L et l. a. apud Eust.] -ντα mss. Cf. vs. 435. || πέσον] sic Ar., alii igitur olim πέσεν; vid. Ο 714 et ad Μ 466.

619 *Ϝ'] τ' mss.

622 ἐπιδευεῖς] cf. § 73 et Ι 225. Impeditior h. l. est oratio; Cauer punctum post ἐπιδευεῖς collocavit coll. Ε 481 Ι 225.

624 ἐριβρεμέτεω] vid. § 55; *-ταο κακὴν? Vox †.

625 ὖμι § 92] ὔμμι vel (ποτ') ὔμμι mss. || διαφθέρσει] cf. § 254. || αἰπήν] αὐτήν C Lips.; de syllaba -πήν pro -πεῖαν cf. § 75.

626 μεο § 92] μευ mss. || κτήματα πολλὰ] l. a. κτήμαθ' ἅμ' αὐτῇ.

627 ᾤχεσθ' ἀνάγοντες] οἴχεσθ' ἀνάγοντες mss., οἴχεσθον ἄγοντες Zen. noto errore, cf. § 52. || παρ'] sic et περ Ar. || αὐτῇ] αὐτῆς D (male), αὐτῷ (*me ipso*) vHerwerden.

629 βαλέμεν § 126] βαλέειν mss. || κτεῖναι] κτάμεναι?

631] cf. Γ 365.

οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι,
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέσασθαι ὁμοιίοο πτολέμοιο.
πάντων μὲν κόρος ἐστί, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο, 637 = Ψ 145
τῶν πέρ τις καὶ μᾶλλον ἐϜέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασι."
ὣς Ϝειπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
συλήσας ἑτάροισ' ἐδίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη. 642 cf. Ε 134
ἔνθ' υἱός Ϝ' ἐπιᾶλτο Πυλαιμένεος βασιλῆος,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίξων
εἰς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν· 645 cf. Ο 706
ὅς ῥα τότ' Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρὶ 646 cf. Η 258 Ο 528
ἐγγύθεν, οὐδὲ διὰ πρὸ 'δυνήσατο χαλκὸν ἐλάσσαι, 647[b] = 607
ἂψ δ' ἑτάρων εἰς Ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων, 648 = Γ 32
πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύροι. 649[a] = Ρ 674 cf. Χ 24, 380
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀιστὸν
καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀιστὸς
ἄντικρυς κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησε. 652 cf. Π 346
ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων 652[a] = Ε 67
θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ
'κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν 'ρέε, 'δεῦε δὲ γαῖαν. 655 = Φ 119
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
εἰς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ϝίλιον ἱρὴν 657[a] cf. ξ 280

657 Ar. —— (non ab Aristarcho sed ab alio notatum censet Ludwich)

635 ὁμοιίοο § 59] -ίου mss.; de adi. vid. ad Δ 315. || πτολέμοιο DH] πολ. mss. cett.
636 ὕπνου] ὕπνοο? cf. § 59.
637] male abundare quidam censebant, neque legisse videtur Pind. Nem. VII 76. || μολπῆς] *ludi*; vid. ad Σ 606.
638 εἶναι] *ἔσθαι? Vid. Ω 227.
641 -ροις ἐδίδου C] -ροισι δίδου mss. cett.
643 *ἔνθ' υἱός Ϝ'(οι) ἐπιᾶλτο] ἔνθα οἱ υἱὸς ἐπᾶλτο mss. || Πυλαιμένεος] Κυλαιμένεος Zen., ne vs. 658 cum E 576 pugnaret; Ar. statuebat aut spurios esse versus 658 sq. aut diversos utrobique sed ὁμωνύμους viros commemorari. Fatendum videtur potius locos inter se pugnare et aut unius poetae negligentiam aut plurium manus arguere.
644 πτολεμίξων Bentley] -ζων mss. Redit vitium Ο 179 Π 830 Υ 85, cf. Φ 463, 477.
649 ἐπαύροι GHermann] -ρῃ mss.
650 ἀπιόντος ἵει ... ὀιστὸν] locutio non redit; cf. tamen Δ 100, 335 Ξ 488 Φ 595.
651 ῥ'] *Ϝ'? item Φ 591; at vid. Ο 445 Π 586.
652 ἄντικρυς § 31] ἀντικρὺ mss. || κατὰ] διὰ A.
654 σκώληξ] †.
657 ἀνέσαντες] § 220; ecquid *δέ Ϝ' ἕσαντες? vid. v. l. ξ 280. Apoll. Rh. ἀναθέντες, ne mortuus sedere dicatur; sed ex Ξ 209 apparet *collocandi* vel *imponendi* vim huic verbo tribui potuisse.

ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ ’κίε δάκρυα λείβων,
ποινὴ δ’ οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.
τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοι’ ἐχολώθη· 660 cf. Δ 494
ξεῖνος γάρ ϝοι ἔην πολέσιν μετὰ Παφλαγόνεσσι·
τοῖ’ ὅ γε χωόμενος προΐει χαλκήρε’ ὀιστόν.
ἦν δέ τις Εὐχήνωρ, Πολυϝίδου μάντιος υἱός,
ἀφνειός τ’ ἀγαθός τε, Κορινθόθι ϝοικία ναίων, 664ᵃ = Ρ 576
ὅς ῥ’ εὖ ϝειδὼς κῆρ’ ὀλοὴν ἐπὶ νηὸς ἔβαινε.
πολλάκι γάρ ϝοι ἔϝειπε γέρων ἀγαθὸς Πολύϝιδος
νούσῳ ὕπ’ ἀργαλέῃ φθίσθαι ϝοῖσ’ ἐν μεγάροισι
ἢ μετ’ Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
τῷ ῥ’ ἅμα τ’ ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ. [sq.
τὸν ’βάλ’ ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς 671 sq. = Π 606 · 671ᵃ = Ρ 617
ᾤχετ’ ἀπὸ μελέων, στυγερὸς δ’ ἄρα μιν σκότος εἷλε. 672ᵇ = Ε 47
ὣς οἳ μὲν ’μάρναντο δέμας πυρὸς αἰθομένοιο· 673 = Λ 596
Ἕκτωρ δ’ οὐκ ἐπέπυστο Διὶ φίλος, οὐδέ τι ’ϝείδει
ὅττι ῥά ϝοι νηῶν ἐπ’ ἀριστερὰ ’δηιόοντο
λαοὶ ὑπ’ Ἀργείων· — τάχα κεν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος ἐνοσίγαιος
ὤτρυν’ Ἀργείους, πρὸς δὲ σθένε’ αὐτὸς ἄμυνε· —
ἀλλ’ ’ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων,
ἔνθ’ ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου
θῖν’ ἔφ’ ἁλὸς πολιῆς ϝεϝρυμέναι· αὐτὰρ ὕπερθε 682ᵃ = Λ 350
τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα

658 sq. Aristoph. —, Ar. dubitabat, vid. adnot. ad vs. 643

658 *δέ*] *δ’ οὐ* ridicule quidam, vid. ad vs. 643; simile remedium adhibebat rhetor aliquis *Ι* 453.
659 *τεθνηῶτος* § 160] *-ειῶτος* mss.
660 *-νοι’ ἐχολώθη*] *-νοιο χολ.* mss.; vid. § 59.
661 *ἔην*] *ἔεν*? vid. § 302.
662 *τοῖ’* § 59] *τοῦ* mss.
663 *ἦν δέ*] *ἦσκε*? Cf. *ι* 508, ad *Ε* 9, § 302.
667 sq. *φθίσθαι ... δαμῆναι*] expectatur futurum. Aoristus ita videtur explicandus ut vertatur *saepe ei praedixit interitum* (*τὸ φθίσθαι ... ἢ ... δαμῆναι*).
667 *ϝοῖσ’ ἐν*] **ϝοῖσιν*?
669 sq.] del. PKnight.
669 *θωήν*] vox redit *β* 192; de re cf. *Ψ* 297; vHerwerden *λώβην* coll. *Η* 97 *τ* 373 etc.
674 *’ϝείδει*] *ᾔδει* vel *ᾔδη* mss.; an **τ’ ἐϝείδει*? cf. *Β* 38.
675 *’δηιόοντο* § 191] *δηιόωντο* mss.
676 *κεν* § 326] *δ’ ἂν* mss.
677 *ἐνοσίγαιος* § 21] *ἐννοσ.* mss.
678 *σθένε’* § 71] *σθένει* mss.
679-724] damnat Koch, vs. 679-684 Naber, vs. 681-700 Heyne.
682 *ϝεϝρυμέναι* § 293] *εἰρυμέναι* mss.

ζαχραέες ᾽γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
ἔνθα δὲ Βοιωτοὶ καὶ ᾽Ιάονες ἑλκεχίτωνες 685ᵇ cf. h. Ap. 147
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες ᾽Επειοὶ
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδ᾽ ἐδύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ ϝείκελον ῞Εκτορα δῖον·
οἳ μὲν Ἀθηναίων προλελεγμένοι, ἐν δ᾽ ἄρα τοῖσι
ἦρχεν υἱὸς Πετεῷο Μενεσθεύς, οἳ δ᾽ ἅμ᾽ ἕποντο
Φείδας τε Στιχίος τε καὶ ῎Ιασος· αὐτὰρ ᾽Επειῶν
Φυλεΐδης τε Μέγης Ἀμφίων τε Δρακίος τε,
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε Ποδάρκης.
ἤ τοι ὃ μὲν νόθος υἱὸς ᾽Οιλῆος θείοιο 694-697 = *O* 333 sqq.
ἦσκε, Μέδων, Αἴαντος ἀδελφεός, — αὐτὰρ ἔναιε
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς
γνωτὸν μητρυιῆς ᾽Εριώπιδος, ἣν ἔχ᾽ ᾽Οιλεύς —
αὐτὰρ ὃ Ϝιφίκλοιο πάϊς τοῦ Φυλακίδαο.
οἳ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ᾽ οὐκέτι πάμπαν, ᾽Οιλῆος ταχὺς υἱός,
ἵστατ᾽ ἀπ᾽ Αἴαντος Τελαμωνίου, οὐδ᾽ ἠ̃ βαιόν·
ἀλλ᾽ ὥς τ᾽ ἐν νειῷ βόε ϝοίνοπε πηκτὸν ἄροτρον 703 cf. *K* 353 *ν* 32
ϝῖσον θυμὸν ἔχοντε τιταίνετον, ἀμφὶ δ᾽ ἄρα σφι 704ᵃ cf *P* 720
πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς· 705ᵇ cf. *Ψ* 507
τὼ μέν τε ζυγὸν οἶον ἐύξοον ἀμφὶς ἐϜέργει

---

684 *ζαχραέες* PKnight] *ζαχρηεῖς* mss., vid. ad *E* 525. || *μάχῃ*] *μάχης* Syr.

685 *᾽Ιάονες ἑλκεχίτωνες*] nomen gentile h. Ap. 147, 152 recurrit; epitheton autem, quo pingitur stola talaris hominum die festo pompam sollemnem obeuntium, nonnisi h. Ap. 147 redit, unde desumtum videtur, hic certe ineptum est (cf. quae ad *B* 653 sqq. observavimus), vid. ad vs. 679-724 et Helbig Hom. Epos[1] p. 115-121.

686 *φαιδιμόεντες*] † pro *φαίδιμοι*, cf. § 69.

689 *προλελεγμένοι*] *selecti* (vid. § 306). Mente suppl. *πρόμαχοι ἦσαν*; sententia abrupta interpolatorem prodit, vid. ad vs. 679-724.

690 *ἦρχεν* Nauck] *ἦρχ᾽* mss.; de syllaba *υἱ-* correpta cf. § 17. || *Πετεῷο* § 62] *-ῶο* mss.

691 *καὶ ῎Ιασος* Nauck] *τ᾽ ῎Ιασός τ᾽ ἐύς* MSchmidt, *Βίας τ᾽ ἐύς* mss.; vid. *O* 332.

692 *Μέγης* Ar. mss.] *Μέγης τ᾽* olim alii, in quibus fuit Zen., si quidem sibi constitit; vid. ad *T* 239.

693 *πρὸ Φθίων*] scil. *ἐμάχοντο*. Verbum omissum suspicionem interpolatonis movet, vid. ad vs. 679-724.

695 *ἦσκε*] *ἔσκε* mss.

696 *ἐν Φυλάκῃ*] *Θαυμακίῃ* (cf. *B* 716) Bergk Liter. I p. 609.

698 *τοῦ*] articulus molestus.

700 *Βοιωτῶν*] *-τοῖσ᾽*? cf. § 316.

702 *ἵστατ᾽*] *χάζετ᾽* Zen. || *ἠ̃ βαιόν* § 2] *ἠβαιόν* mss.

703 *πηκτὸν*] cf. *K* 353.

705 *ἀνακηκίει*] sic Ar. et mss. pleraque, *ἀνεκήκιεν* Syr. L Vrat., *δ᾽ ἀνεκήκιεν* H Z, *δ᾽ ἀνακηκίει* schol. V. Cf. *H* 262 *Ψ* 507.

ϝιεμένω κατὰ ϝόλκα ταμεῖν ἐπὶ τέλσον ἀρούρης·
ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιιν.
ἀλλ' ἦ τοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
αἰὲν ἕπονθ' ἕταροι, οἵ ϝοι σάκος ἐξεδέχοντο,
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀιλεΐδῃ μεγαλήτορι Λοκροὶ ἕποντο,
οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ 'μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,
ἀλλ' ἄρα τόξοισιν καὶ ἐυστρεφέ' οἰὸς ἀώτῳ 716ᵇ = 599
Ϝίλιον εἰς ἅμ' ἕποντο πεποιθότες, οἷσιν ἔπειτα 717ᵃ = λ 372 cf. ω 117
ταρφέα βάλλοντες Τρώων 'ρήγνυντο φάλαγγας.
δή ῥα τόθ' οἳ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισι
'μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ,
οἳ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον· οὐδ' ἔτι χάρμης
Τρῶες ἐμιμνήσκοντο· συνεκλόνεον γὰρ ὀιστοί.
ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ϝίλιον ἠνεμόεσσαν,
εἰ μὴ Πολυδάμας θρασὺν Ἕκτορα 'ϝεῖπε παραστάς· 725 cf. *M* 60
„Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι, 726ᵃ cf. *K* 167ᵇ
οὕνεκά τοι περὶ 'δῶκε θεὸς πολεμήια ϝέργα·
τούνεκα καὶ βουλῇ ἐθέλεις περιέμμεναι ἄλλων.
ἀλλ' οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.

---

707 *ϝόλκα* Fick] *ἰόλκα* (i. e. *ϝόλκα*) Hesychius, *ὦλκα* mss.; vox *sulcum* significans cum verbo *ἕλκειν* cohaeret; nonnisi *σ* 375 redit. || *ταμεῖν ἐπὶ* vHerwerden coll. *Σ* 547] *τέμ(ν)ει δέ τε* mss. sine sensu. Emendationem egregiam confirmat Apoll. Rhod. III 412; idem fere (*ταμέσθ' ἐπὶ*, cf. *σ* 375) coniecerat IHVoss, Barnes *τάμον δέ τε*.

708 *ἀλλήλοιιν*] *-λοισιν* mss. multa.

710 *αἰὲν* Vrat.] *ἄλλοι* H L, *λαοὶ* mss. cett. || *ἐξεδέχοντο*] comp. †. — Pedissequorum clipeum herois defessi excipientium alias non fit mentio.

712 *οὐδ' ἄρ' Ὀιλεΐδῃ* Nauck] *οὐδ' ἄρ' Ὀιλιάδῃ* (*ἄρα Νηλιάδῃ* D) mss., *ἀλλ' οὐκ Ἰλιάδῃ* Zen.; vid. ad *M* 365.

713 *σφι*] sic Ar., *σφιν* Aristoph. || *σταδίῃ — κῆρ*] *σταδίης ὑσμίνης ἔργα μέμηλε* Strab. X p. 449, collata autem l. a. in schol. commemorata *ἔργ' ἐμεμήλει*, vera lectio videtur esse *σταδίης ὑσμίνης ϝέργ' ἐμεμήλει*, vid. *B* 614. || *κῆρ*] Syr. *ἦτορ* (metro invito).

716 *ἐυστρεφέ'*] *ἐυστρόφῳ* mss.; vid. vs. 599.

722 *ἐμιμνήσκοντο*] *μιμν.* mss. || *συνεκλόνεον*] † (*κλονέω* saepius, *ὑποκλονέω* *Φ* 556).

724 *ἠνεμόεσσαν*] cf. § 21.

725 *Πολυδάμας* § 21] *Πουλ.* mss. || *Ἕκτορα*] vid. ad *M* 60.

726 *παραρρητοῖσι*] cf. *I* 526. Adiectivi verb. vis hic est activa, vert. *verbis ad persuadendum aptis*.

728 *περιέμμεναι* Mor. Barocc. et l. a. apud Eust.] *περιίδμεναι* mss. cett., cui lectioni favent *K* 247 *γ* 244 *ρ* 317.

729 *δυνήσεαι αὐτὸς ἑλέσθαι*] *θεοὶ δόσαν ἀνθρώποισι* Ariston. ad *Δ* 320.

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ϝέργα,
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύϝοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πολῦς ἐσάωσε, μάλιστα δέ τ' αὐτὸς ἀνέγνω. 734ᵇ cf. ζ 185
αὐτὰρ ἐγὼ ϝερέω ὥς μοι δοκεῖ ἔμμεν' ἄριστα. 735 = I 103
πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν, 737ᵃ = E 27
οἳ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἳ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλε' ἐνθάδε πάντας ἀρίστους·
ἔνθα δέ κεν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐνὶ νήεσσι πολυκλήισι πέσωμεν, 742 cf. B 175
αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
πὰρ νηῶν ἔλθωμεν ἀπήμονες. ἦ γὰρ ἐγώ γε
δέδϝια μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ
χρῆος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἄατος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀίω.“ 747ᵇ = I 655
ὣς φάτο Πολυδάμας, ϝάδε δ' Ἕκτορι μῦθος ἀμύμων, 748 = M 80
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„Πολυδάμαν, σὺ μὲν αὖθι ἐρύκακε πάντας ἀρίστους·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιάω πολέμοιο· 752 = M 368
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπεί κ' εὖ τοῖσ' ἐπιτείλω.“ 753 cf. M 369

---

731 ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.
749 αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, 749 = M 81

731] versum hunc importunum Zenodotus Mallotes adiecisse dicitur in schol., omittunt autem mss. pleraque et Aristonicus ad Δ 320.

732 τιθεῖ νόον] νόον τιθεῖ Aristoph., νόον τίθει Townl.

733 πολλοὶ] πολλὸν Aristoph.

734 πολῦς § 83] πολέας Ar. (cf. Φ 131), sic aut πολεῖς (πόλεις) mss. || τ' αὐτὸς GHermann, vid. ζ 185] κ' αὐτὸς Ar., sic vel καὐτὸς (vid. § 9) mss.

735 ἔμμεν' § 125] εἶναι mss.; sed vid. ad I 103.

736 στέφανος] vox nonnisi h. VI 42 XXXI 6 redit; vid. ad Λ 14 et 39.

738 σὺν τεύχεσιν] verba suspecta.

740 κάλε' § 191] κάλει mss.

741 *ἔνθα δέ κεν] ἔνθεν δ' ἂν mss.; vid. § 326.

742] vid. I 235.

744 ἔλθωμεν] -οιμεν mss. nonnulla.

745 δέδϝια § 168] δείδω mss. || ἀποστήσωνται] ὑποστήσονται Ammon. s. v. μετρεῖσθαι, ἀποτίσωνται (-ονται) mss. nonnulla; cf. X 350.

746 χρῆος § 190] χρεῖος mss. || ἄατος] ἆτος mss.

748 Πολυδάμας § 21] Πουλ. mss. || *ἀμύμων] ἀπήμων mss., cf. M 80.

749] versum e M insertum om. vel in margine habent mss. complura.

751 Πολυδάμαν § 21] Πουλυδάμα mss.; vid. ad Λ 86. || αὖθι § 322] αὐτοῦ mss.

752 ἀντιάω § 191] -ιόω mss.

753 ἐπεί κ' § 326] ἐπὴν mss.

ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ϝεϝοικὼς,
κεκληγὼς, διὰ δὲ Τρώων 'πέτετ' ἠδ' ἐπικούρων.
οἳ δ' εἰς Πανθοΐδην ἀγαπήνορα Πολυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὁ Δηίφοβόν τε βίην θ' Ἑλένοιο ϝάνακτος 758 sq. cf. 770 sq.
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱὸν 758 cf. 781
'φοίτα' ἀνὰ προμάχους διζήμενος, εἴ ποθ' ἐφεύροι. 760[b] cf. *Δ* 88
τοὺς δ' ηὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
ἀλλ' οἳ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
χερσὶν ὕπ' Ἀργεΐων 'κέατο ψυχὰς ὀλέσαντες, 763 = *Ω* 168
οἳ δ' ἐν τείχε' ἔσαν βεβλημένοι οὐτάμενοί τε. 763[a] = *Θ* 359
τὸν δὲ τάχ' ηὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠυκόμοιο, 766 cf. *Γ* 329
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι. 767 sq.[a] = *P* 683
ἄγχι δέ ϝ' ἱστάμενος προσέφη αἰσχροῖσι ϝέπεσσι· 767 = *P* 117 [sq.
„Δύσπαρι, ϝεῖδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ, 769 = *Γ* 39
ποῦ τοι Δηίφοβός τε βίη θ' Ἑλένοιο ϝάνακτος 770 sq. cf. 758 sq.
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ϝίλιος αἰπεινή· νῦν τοι σάος αἰπὺς ὄλεθρος.“ 773[b] = *χ* 28 cf. *ε* 305
τὸν δ' αὖτε προσέϝειπεν Ἀλέξανδρος θεοϝειδής·
„Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάεσθαι — 775[b] cf. *Λ* 654
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ... ἐπεί μ' οὐ πάμπαν ἀνάλκιδα 'γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι

---

754 *ὄρεϊ νιφόεντι*] mira comparatio herois in hostes irruentis cum monte nive obducto; vHerwerden tentavit *κίρκῳ ἴρηκι*, Naber *χειμαρρόῳ ἄντα* coll. *Ω* 630.

755 *κεκληγὼς*] *-γγὼς? vid. § 223.

756 *Πολυδάμαντα* § 21] *Πουλ.* mss.

760 *'φοίτα'* § 191] *φοίτα* mss. || *ποθ'* § 322] *που* mss.

761 *ἀνολέθρους*] †.

764 *τείχε'* § 71] *τείχει* mss.

768 **ἄγχι δέ ϝ'(οι)* § 318] *ἀγχοῦ δ'* mss. || *αἰσχροῖσι ϝέπεσσι*] *αἰσχροῖς ἐπέεσσι* mss.

772 sq. *νῦν — αἰπεινή*] imitatur Verg. Aen. II 290 *ruit alta a culmine Troia.* Cf. praeterea *O* 557[b] sq[a].

772 *κατ' ἄκρης*] l. a. *κατὰ κρῆς*; vid. § 82.

773 *σάος — ὄλεθρος*] notetur oxymoron, item locis par. || *σάος* § 62] *σῶς* mss.

775] similis est constructio *Γ* 59. || *αἰτιάεσθαι* § 191] *αἰτάασθαι* mss.

776 sq. *ἄλλοτε — μέλλω*] vert. *forsitan alias segnius pugnaverim*; cf. *Φ* 83 *δ* 377 *ξ* 133. Malo Harl. *ἐρωήσειν*. De gen. *πολέμοιο* cf. *P* 422 *T* 170 *Ξ* 101 h. Cer. 302.

777 **ἐπεί μ' οὐ*] *ἐπεὶ οὐδέ με* (vel *οὐδ' ἐμὲ*) mss.; cf. § 8. || *ἐπεί*] (*nunc autem segnis non sum*) *nam.*

πολεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.
οἴω Δηίφοβός τε βίη θ' Ἑλένοιο Ϝάνακτος — 781 cf. 758
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσι
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ' ὅππῃ σε κραδίη θυμός τε κελεύει·
ἧμες δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι — 785 sq. = ψ 127 sq.
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι.
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσυμένον πολεμίζειν."
ὣς Ϝειπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως. — 788 = Z 61
'βὰν δ' ἴμεν' ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πολυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμυν τ' Ἀσκάνιόν τε Μόρυν θ', υἱὸν Ἱπποτίωνος,
οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠόι τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
οἳ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἓν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
κυρτὰ φαληριάοντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγέετο βροτολοιγῷ Ϝῖσος Ἄρηι, — 802ᵇ = Λ 295
Πριαμίδης· πρὸ Ϝέθεν δὲ ἔχ' ἀσπίδα πάντοσ' ἐϜίσην, — 803 = 157
ῥινοῖσιν πυκινήν, πολλὸς δ' ἐπελήλατο χαλκός· — 804ᵇ cf. P 493

---

785 ἧμες § 92] ἡμεῖς mss. || δ' ἐμμεμαῶτες] sic Ar., δὲ μεμαῶτες mss. multa.

787 πὰρ] nonnisi hic et ξ 509 praepositio significat *praeter* (*supra*).

788 ἀδελφεόο § 59] -φειοῦ mss.

790 Πολυδάμαντα § 21] Πουλ. mss.

792 υἱὸν Z et Strab. XII p. 565] υἷ' mss. cett.; cf. § 17. Barnes Μόρυν τε καὶ Ἱπποτίωνα coll. Ξ 514, caesura vitiosa. || Post hunc versum Strabo l. l. addit Μυσῶν ἀγχεμάχων ἡγήτορα <καρτεροθύμων>, cf. N 5 et Ξ 512.

793 ἀμοιβοὶ] †. Vox suspecta; ingeniose Nauck ἀμορβοί, i. e. *comites* sive *pastores*, quam vocem adhibuit Antimachus in Thebaide (apud Steph. Byz. s. v. Δύμη), explicat Suidas; vid. etiam ἀμορβεύω apud Hesych.

794 ἠόι § 77] ἠοῖ mss.

797 δ'] sic Ar. (alii olim omisisse videntur). || ἓν δέ] ἔνθα Barocc. Mor.

798 παφλάζοντα] †.

799 φαληριάοντα § 191] -ιόωντα mss. Verbum †; vid. φάλαρα Π 106, τετραφάληρος E 743 Λ 41 et loci similes Δ 426 λ 243.

802 ἡγέετο § 191] ἡγεῖτο mss.

803 πρὸ ἔθεν] sic Herodianus, πρόσθεν mss. pleraque; cf. N 157 Ψ 533. || *δὲ ἔχ'] δ' ἔχεν mss.

ἀμφὶ δέ ϝοι κροτάφοισι φαεινὴ 'σείετο πήληξ.
πάντῃ δ' ἀμφὶ φάλαγγας ἐπειράετο προποδίζων,
εἴ πώς ϝοι ϝείξειαν ὑπασπίδια προβιβάντι· 807ᵇ cf. *Π* 609
ἀλλ' οὐ σύγχεε θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 808 cf. *I* 8
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων· 809ᵇ = *Ο* 676 *Π* 534
„δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δεδϝίσσεαι αὔτως
Ἀργεΐους; οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν,
ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί. 812 cf. *M* 37
ἦ θήν πού τοι θυμὸς ἐϝέλπεται ἐξαλαπάξειν
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμυνέμεν' εἰσὶ καὶ ἧμιν.
ἦ κε πολὺ φθαίη ἐὺ ναιομένη πόλις ὑμὴ
χερσὶν ὕφ' ἡμετέρῃσι ϝαλοῦσά τε περθομένη τε. 816 = *B* 374
σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσῃ Διὶ πατρὶ καὶ ἄλλοισ' ἀθανάτοισι 818 cf. *Z* 259
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
οἵ σε πόλινδ' οἴσουσι κονίοντες πεδίοιο."
ὣς ἄρα ϝοι ϝειπόντι ἐπέπτατο δεξιὸς ὄρνις, 821 = *ο* 160, 525
αἰετὸς ὑψιπέτης· λαὸς δ' ἐπεϝίϝαχ' Ἀχαιῶν 822ᵇ cf. 834
θάρσυνος οἰωνῷ· ὃ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
„Αἶαν ἁμαρτοϝεπὲς, βουγάιε, ποῖον ἔϝειπες.
αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάις αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, 827 sq. = *Θ* 540 sq.
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργεΐοισι
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς 829 cf. *χ* 217
μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα

---

806 *ἐπειράετο* § 191] *-ρᾶτο* mss. || *προποδίζων*] cf. vs. 158.

807 *προβιβάντι* Nauck] *-βῶντι* mss.; vid. ad *M* 277. || Post hunc versum Zen. addebat *λίην γάρ σφιν πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῷ.*

808 *σύγχεε* § 191] *σύγχει* mss.

809 *μακρὰ βιβάσθων*] *φώνησέν τε* Syr.

810 *αὔτως;*] *αὔτως;* Ar. Eust., *οὕτως;* mss. nonnulla; vid. ad vs. 447.

814 *ἄφαρ*] cf. *β* 169. || *ἀμυνέμεν'* § 125] *-νειν* mss.

818 *ἀρήσῃ*] novicium pro *-σεαι* (subi. aor.); vid. § 117.

820 *πεδίοιο*] vid. ad *B* 785.

821 *ἐπέπτατο*] cf. § 216.

822 **λαὸς δ' ἐπεϝίϝαχ'*] *ἐπὶ δ' ἴαχε λαὸς* mss.

824 *ἁμαρτοϝεπὲς*] †, cf. *ἀφαμαρτοϝεπής* (?) *Γ* 215. Barnes *ἀμετροϝεπὲς*, nos **ἀναρτοϝεπὲς* coll. *ἀρτιϝεπής* X 281 et *ἄρτια βάζειν* *Ξ* 92 *ϑ* 240. Vid. etiam ad *Θ* 209. || *βουγάιε*] sic Ar., *βουγήιε* Zen., alii olim *βουκάιε* (quam vocem sensu *bubulci* usurpavit Nicander Theriac. 5). Redit vox obscura *σ* 79; cf. § 175.

825 *αἲ*] *εἰ* mss. pleraque. || *οὕτω*] vid. ad *Θ* 538.

826 sq.] de optativi usu vid. ad *Δ* 314.

830 *λειριόεντα*] cf. *Γ* 152.

δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς 831 cf. Θ 379
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν." 832 = Θ 380
ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο 833 sq.[a] = M 251 sq.
ϝηχῇ θεσπεσίῃ, λαὸς δ' ἐπεϝίϝαχ' ὄπισθε. 834[b] cf. 822
Ἀργεῖοι δ' ἑτέρωθεν ἐϝίϝαχον, οὐδ' ἐλάθοντο 835[a] = H 419
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ϝηχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

---

832 ἐπὶ] l. a. παρὰ.
834 *λαὸς δ' ἐπεϝίϝαχ'] ἐπὶ δ' ἴαχε λαὸς mss.
835 ἐϝίϝαχον Heyne] ἐπίαχον mss.; Bentley ἑτέρωθ' ἐπεϝίϝαχον, sed vid. versus parall. et E 860 H 403 I 50 Ξ 148.
837 αὐγάς] non recte alii olim αὐλάς; αὐλήν certe dicendum fuisset, sed vid. ad δ 74.

ΙΛΙΑΔΟΣ Ξ.

Διὸς ἀπάτη.

Νέστορα δ' οὐκ ἔλαθεν ϝιϝαχὴ πίνοντά περ ἔμπης,
ἀλλ' Ἀσκληπιάδην ϝέπεα πτερόεντα προσηύδα·
„φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ϝέργα· 3 cf. Δ 14 3^b = Β 252
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα ϝοῖνον,
εἷς ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμος Ϝεκαμήδη
θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα ϝίσομαι εἰς περιωπήν.“ 8^b cf. Ψ 451 κ 146
ὣς ϝειπὼν σάκος εἷλε τετυγμένον υἷος ἑϝοῖο,
κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο,
χαλκῷ παμφαῖνον· ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑϝοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ, 12 = Κ 135
'στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσϝιδε ϝέργον ἀϝεικές, 13 cf. ν 197
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε, 14 = Ο 7
Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 17^b = Ο 620
αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε,

---

5 *πῖνε καθήμενος αἴθοπα ϝοῖνον*] l. a. *μίμνε καθήμενος ἐν κλισίῃσι.*

7 *καὶ λούσῃ*] *λούσηδ* (voluitne *λούσῃ δὲ*?) D; vHerwerden *λοέσῃ τε*, vid. § 295.

8 *ϝίσομαι* § 201] *εἴσομαι* mss.

9 *ἑϝοῖο*] *ἑῆος* Eust.

16 *πορφύρῃ* Ar.] *-ρει* Zen., mss. utrumque. || *κωφῷ*] sic Ar., alii olim *πηγῷ* (vid. ε 388). De adi. *κωφός* vid. ad Λ 390.

17 *ὀσσόμενον*] *portendens*, alias nonnisi de animantibus; vid. ad Α 105.

18 *τε ... οὐδετέρωσε*] *τῇ ... οὐδ' ἑτέρωσε* AScheindler. || *τε*] sic Ar. (alii olim *τοι*?). PKnight *τὸ* coll. Χ 221 ρ 525. || *προκυλίνδεται*]

πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,
ὣς ὁ γέρων ὥρμαινε δαϊζόμενος κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων
ἠὲ μετ' Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 23 = N 458
βήμεν' ἐπ' Ἀτρεΐδην. οἳ δ' ἀλλήλους ἐνάριζον
μαρνάμενοι· 'λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. 26 = Π 637 cf. N 147
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
πὰρ νηῶν ἀνιόντες, ὅσοι 'βεβλήατο χαλκῷ,
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων. 29 = 380
πολλὸν γὰρ ἀπάνευθε μάχης 'ϝεϝρύατο νῆες
θῖν' ἔφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε 31[a] = A 350
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέμεν, 'στείνοντο δὲ λαοί·
τῷ ῥα προκρόσσας 'ϝέρυσαν, καὶ 'πλῆσαν ἁπάσης
ἠιόνος στόμα μακρὸν, ὅσον συνεϝέργαθον ἄκραι.
τῷ ῥ' οἵ γ' ὀψείοντες ἀυτῆς καὶ πολέμοιο,
ἔγχε' ἐρειδόμενοι, 'κίον ἀθρόοι· ἤχνυτο δέ σφι 38[a] cf. T 49 κ 170
θυμὸς ἐνὶ στήθεσσιν. ὁ δὲ ξύμβλητο γεραιός.

40 Νέστωρ, 'πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν. 40 cf. I 8
40 Ar. —

comp. †, cf. προπροκ. X 221 ρ 525 (simplex non rarum).

21 διχθάδι', ἢ] sic Ar., alii olim διχθαδίη.

24 βήμεν' § 125] βῆναι mss.

26 νυσσομένων] genitivus abs. post dativum pronominis; vid. ad ζ 157.

27 ξύμβληντο] pro -βλήατο vix sanum, vid. § 119.

30 γὰρ] γάρ ῥ' mss. complura; vid. ad P 403. || 'ϝεϝρύατο § 293] εἰρύατο mss.

32 εἴρυσαν] ἔϝρυσαν? cf. § 293. || πρύμνησιν] πρυμνῇσιν (adi.) Crates.

34 χαδέμεν § 126] χαδέειν mss.

35 προκρόσσας] †, cf. κρόσσαι M 258 (ubi vid.), 444; redit adi. Herod. IV 152 VII 188. Intellege navium ordines aliquot per littus acclive gradatim assurgentes.

36 μακρὸν] πολλὸν Zen. Aristoph., Ar. utrumque.

37 τῷ ῥ'] spectat ad vs. 30. || ὀψείοντες] †, Zen. sec. Aristarchum habebat ὄψ' ἀίοντες (aut ὀψὰ ἰόντες), secundum Ptolemaeum Epitheten vero οὐ ψαύοντες. Vulgata propter formam desiderativam est notabilis (vid. § 144), *videndi* autem verbum hinc est alienum neque genitivum alias adsciscit. Itaque fortasse Zenodoti lectio ὄψ' ἀίοντες est recipienda; vHerwerden tentavit ἀντιάοντες.

38 ἔγχε' § 71] ἔγχει mss. || ἀθρόοι] sic Ar. Herodian., ἀθρ. mss. fere omnia. || ἤχνυτο] ἄχνυτο mss.

40 πτῆξε Aristoph. Ar.] πῆξε Zen. Dion.-Sidon. Herodian. et mss. pauca, alii olim πλῆξε. Insolitus est verbi πτῆξαι usus, vid. X 191 θ 190, neque aptum sensum praebet versus; quapropter Ar. damnavit. || Ἀχαιῶν] ἑταίρων Zen.

τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν, 42 = K 87
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ᾽ ἀφικάνεις;
δέδϜια, μὴ δή μοι τελέσῃ Ϝέπος ὄβριμος Ἕκτωρ,
ὅς ποτ᾽ ἐπηπείλησεν ἐνὶ Τρώεσσ᾽ ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ϝίλιον ἀπονέεσθαι, [O 702
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς. 47 cf. Θ 182 N 629
κεῖνος τῶς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται. 48 = B 330
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοὶ
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
οὐδ᾽ ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆσι νέεσσι.“ 51 cf. O 722
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γερήνιος ἱππότα Νέστωρ· 51^{b} = N 333
„ἦ δὴ ταῦτά γ᾽ ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι· 56 = 68 cf. H 338
οἳ δ᾽ ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
νωλεμές· οὐδέ κ᾽ ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀυτὴ δ᾽ οὐρανὸν ἵκει. 60^{b} cf. B 153
ἦμες δὲ φραζώμεθ᾽ ὅπως ἔσται τάδε Ϝέργα, 61 = Δ 14
εἴ τι νόος ῥέξει· πόλεμον δ᾽ οὐχ ὖμι κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι.“
τὸν δ᾽ αὖτε προσέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῆσι μάχονται,
τεῖχος δ᾽ οὐκ ἔχραισμε τετυγμένον οὐδέ τι τάφρος,
οἷσ᾽ ἔπι πόλλ᾽ ἔπαθον Δαναοί, ᾽Ϝέλποντο δὲ θυμῷ

44 *δέδϜια*] *δείδια* Aristoph. L, *δείδω* mss. cett.; vid. § 168.

45 *ὅς* Aristoph. C] *ὡς* mss. cett.; cf. *X* 236 *Ω* 388. || *ποτ᾽*] vid. *Θ* 181, 526.

47 *κτεῖναι*] *κτάμεναι*?

48 *τῶς*] *θ᾽ ὡς* mss. nonnulla, l. a. *γ᾽ ὡς*; vid. *B* 330.

49 *ὢ πόποι*] non in introitu positum suspicionem movet; vid. ad *ν* 200-208.

52 *γερήνιος*] vid. *B* 336.

53 *ἑτοῖμα τετεύχαται*] *re vera facta sunt.* Locutio redit *ϑ* 384; ceteris locis *ἑτοῖμος* = *paratus.*

56] del. Bentley.

58 sq.] cf. *E* 85.

58 *οὐδέ κ᾽* § 326] *οὐδ᾽ ἂν* mss. || *γνοίης*] *γνοίη* Aristoph. De optativo vid. ad *Δ* 223.

59 *ὁπποτέρωθεν*] †.

61 *ἦμες* § 92] *ἡμεῖς* mss.

62 *ῥέξει*] sic Ar., alii olim *γ᾽ ἔρξει* (sic L) vel *δ᾽ ἔρξει*; verum videtur *Ϝέρξει*, cf. § 224². || **οὐχ ὖμι*] *οὐκ ἄμμε* (*ἄμμι* C) mss., *nos ambos* (Nestorem et Agamemnonem). Secundam personam requiri vidit Naber, *οὐκ ὔμμε* coniciens, quod de *tribus* tamen regibus recte dici non potuit (vid. § 92). Dativum tuentur multi loci, e. g. *Z* 491 *ο* 93.

67 *οἷσ᾽*] *ᾗ* mss., Ar. utrumque. || *ἔπαθον*]

ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι, 68 = 56
οὕτω που Διὶ μέλλει ὑπερμενέι φίλον εἶναι, 69 = B 116
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς. 70 = M 70
'Ϝείδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνε,
Ϝοῖδα δὲ νῦν, ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησε. 73ᵇ cf. Z 502
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες. 74 = B 139
νῆες ὅσαι πρῶται ϜεϜρύαται ἄγχι θαλάσσης, 75ᵃ cf. O 654
ἕλκωμεν, πάσας δὲ Ϝερύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθῃ 77ᵃ cf. δ 785 ϑ 55
νὺξ ἀμβρότη, αἴ κεν τῇ ἀπόσχωνται πολέμοιο 78ᵇ sqᵃ cf. Λ 799 sq.
Τρῶες· ἔπειτα δέ κεν Ϝερυσαίμεθα νῆας ἁπάσας.
οὐ γάρ τις νέμεσις φυγέμεν κακὸν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ Ϝαλώῃ."
τὸν δ' ἄρ' ὑπόδρα Ϝιδὼν προσέφη πολύμητις Ὀδυσσεύς· 82 sq. = Δ 349 sq.
„Ἀτρεΐδη, ποῖόν σε Ϝέπος 'φύγεν ἕρκος ὀδόντων.
ὀλόμεν', αἴθ' ὤφειλες ἀϜεικελίῳ στρατῷ ἄλλῳ
σημαίνειν, μηδ' ἧμι Ϝανασσέμεν', οἷσιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ εἰς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα Ϝέκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείπειν, ἧς εἵνεκ' ὀιζύομεν κακὰ πολλά;
σίγαε, μή τις ἔτ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ 90 cf. ξ 493 / 90ᵃ cf. τ 486

---

*ἔκαμον (*quae magno labore extruxerunt*)? Cf. O 365.

70] om. mss. complura.

71-73] *neque pristina Iovis erga Argivos benevolentia me latuit neque recens eius odium.*

71 'Ϝείδεα] ᾔδεα mss. || ὅτε] sic Ar., alii olim ὅτι.

72 ὅτε Ar. L Townl.] ὅτι mss. cett.

73 κυδάνει] κυδαίνει G² H Vrat. metro invito. Praesens κυδᾰ́νω pro -αίνω †, ἐκύδανον autem Υ 42 aoristi potest esse forma (cf. π 370). Coniecimus *κυδαίνει, ἡμόν.

74 κεν § 326] ἂν mss.

75 νῆες] νῆας mss. multa. || ϜεϜρύαται § 293] εἰρύαται mss.

77 ὕψι] i. e. *in mari alto*, item ὑψόθι locis parallelis. || εὐνάων] vid. ad A 436.

78 ἀμβρότη § 28] ἀβρότη mss.; vox †. || *αἴ κεν § 326] ἢν καὶ mss.

80 οὐ...νέμεσις] cf. Γ 156. || φυγέμεν § 126] φυγέειν mss. || ἀνὰ νύκτα] ὑπαλύξαι Max. Tyr. XLI 3, quod verum ducit vHerwerden coll. Θ 243 M 327 δ 512 μ 216.

81] del. Friedlaender.

84 ὀλόμεν' § 21] οὐλ. mss. || ὤφειλες § 273] ὤφε(λ)λες mss. || ἀεικελίῳ στρατῷ ἄλλῳ Nauck] -λίου στρατοῦ ἄλλου mss.

85 σημαίνειν — Ϝανασσέμεν'] cf. A 288 sq. || ἧμι § 92] ἡμῖν aut ἄμμιν mss.

87 φθιόμεσθα] φθίμεσθα (opt., cf. § 120) Cobet.

88 οὕτω δὴ] cf. B 158.

89 *καλλείπειν] -ψειν mss., Zen. ἐκπέρσειν. Futurum vitiosum ducimus, vid. ad B 544, sed fortasse praestat aoristus: *καλλίπεμεν, τῆς.

90 σίγαε § 191] σίγα mss. || ἔτ' Vrat.] τ' mss. cett.

μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ὅς τις ἐπίσταιτο ϝῇσι φρεσὶν ἄρτια βάζειν — 92 = ϑ 240
σκηπτόοχός τ' εἴη, καί ϝοι πειθοίατο λαοὶ — 93^b = Μ 226
τοσσοίδ', ὅσσοισιν σὺ μετ' Ἀργείοισι ϝανάσσεις,
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀυτῆς
νῆας ἐυσσέλμους ἅλαδ' ἑλκέμεν', ὄφρ' ἔτι μᾶλλον — 97^a = 106 cf. Ι 683
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
ἧμιν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ. οὐ γὰρ Ἀχαιοὶ
σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."
τὸν δ' ἠμείβετ' ἔπειτα ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀϝέκοντας ἄνωγα
νῆας ἐυσσέλμους ἅλαδ' ἑλκέμεν' υἷας Ἀχαιῶν. — 106^a = 97
νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κε ϝασμένῳ εἴη."
τοῖσι δὲ καὶ μετέϝειπε βοὴν ἀγαθὸς Διομήδης·
„ἐγγὺς ἀνὴρ — οὐ δϝηθὰ ματεύσομεν — αἴ κ' ἐθέλητε
πείθεσθαι, καὶ μή τι κότῳ ἀγάσησθε ϝέκαστος,
οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὔμιν·
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι. — 113 cf. φ 335
Πορθέι γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, — 115 cf. Υ 231

---

95 νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔϝειπες. — 95 = Ρ 173
114 Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει. — 114^b cf. Ζ 464

95 Aristoph. Ar. — || 114 Zen. Ar. —, Aristoph. om. (De Aristarcho dubitat LaRoche, at cf. Ludwich Aristarch. I p. 57 et 369.)

---

91 *διὰ*] *ἀνὰ* Nauck coll. *Β* 250.
92 *ἐπίσταιτο*] sic Ar., alii olim *-στηται* (sic Bentley)?
93 *σκηπτόοχος*] *-οῦχος* mss.
95 *σε'* § 92] *σε* Zen., item *Ρ* 173; *σευ* mss.
96 *συνεσταότος*] comp. †.
97 *ἑλκέμεν'*] *ἕλκειν* Plat. Leg. IV p. 706*e*; cf. § 125.
98 sq. *γένηται ... ἐπιρρέπῃ*] *γένοιτο ... ἐπιρρέποι* C.
98 *εὐκτὰ*] adi. verb. †. || *ἐπικρατέουσι*] *ἐελδομένοισι* Plat. l. l.
99 *ἐπιρρέπῃ*] comp. †. Vid. ad *Θ* 72.
100 *πόλεμον*] *πολέμου* Plat. l. l.
101 *ἀποπαπτανέουσιν* L Hesych.] *ἀποπτανέουσιν* absurde mss. cett. || *ἐρωήσουσι... χάρμης*] vid. ad *Ν* 776 sq.
102 *κε*] *δὲ* Axt. || *σὴ*] *σ' ἡ* Naber. || *ὄρχαμε λαῶν*] *οἷ' ἀγορεύεις* Plat. l. l.
110 *ματεύσομεν*] †, cf. *ματῆσαι* *Ε* 233 *Π* 474 *Ψ* 510.
111 *πείθεσθαι*] *ἐξείπω* Apoll. lex. || *κότῳ*] *χόλῳ* l. a. apud Eust.
112 *νεώτατος*] sic (non *-τερος*) Ar.
113 *ἀγαθοῦ καὶ ἐγὼ γένος*] *ἀγαθοῖο καὶ αἵματος* Clem. Alex. Paed. I 127.
114 *καλύπτει*] *κάλυψε* mss. multa, quae Aristarchi videtur fuisse lectio.
115 *Πορθέι* § 76] *Πορθεῖ* mss. — Ceterum expectatur genitivus, ut *Υ* 231.

’ναῖον δ’ ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι, 116ᵇ = Ν 217
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ’ ἦν ἱππότα Ϝοινεύς,
πατρὸς ἐμοῖο πατήρ· ἀρετῇ δ’ ἦν ἔξοχος αὐτῶν. 118ᵃ = τ 180
ἀλλ’ ὃ μὲν αὐτόθ’ ἔμεινε, πατὴρ δ’ ἐμὸς Ἄργε’ ἐνάσθη
πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ’ ἔγημε θυγατρῶν, ’ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, Ϝάλις δέ Ϝοι ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,
πολλὰ δέ Ϝοι πρόβατ’ ἦσκε· ’κέκαστο δὲ πάντας Ἀχαιοὺς
ἐγχείῃ· τὰ δὲ μέλλετ’ ἀκουέμεν’, εἰ ἐτεόν περ. 125 cf. δ 94
τῷ οὔ κέν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
μῦθον ἀτιμάσσαιτε πεφασμένον, ὅν κ’ ἐὺ Ϝείπω.
δεῦτ’ ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκη·
ἔνθα δ’ ἔπειτ’ αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος
ἐκ βελέων, μή πού τις ἐφ’ ἕλκεϊ ἕλκος ἄρηται·
ἄλλους δ’ ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῷ Ϝῆρα φέροντες ἀφεστᾶσ’ οὐδὲ μάχονται.“
ὣς ἔφαθ’, οἳ δ’ ἄρα τοῦ μάλα μὲν ’κλύον ἠδ’ ἐπίθοντο· 133 = Η 379
’βὰν δ’ ἴμεν’, ἦρχε δ’ ἄρα σφι Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων. 134ᵃ cf. 384
οὐδ’ ἀλαὸς σκοπιὴν εἶχε κλυτὸς ἐνοσίγαιος, 135 cf. Κ 515
ἀλλὰ μετ’ αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ϜεϜοικώς,
δεξιτερὴν δ’ ἕλε χεῖρ’ Ἀγαμέμνονος Ἀτρεΐδαο,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·

---

116 *ναῖον δ’* Nauck] *ᾤκεον δ’* mss., *οἴκεον* (sine *δ’*) Anecd. Oxon. III 260. Vid. *Δ* 18 *Γ* 218 *ι* 200 et ad *ζ* 204 *ι* 400.

117 *ἦν*] *ἔεν*? vid. § 302.

118 *ἐμοῖο* Ar.] *ἐμεῖο* Zen. (male), cf. Apoll. Pron. 137 Synt. 164. Vid. *Τ* 105 *Ω* 486 *α* 413 *ζ* 256, 290 *λ* 458 *ρ* 111 *τ* 180 *υ* 339. || *ἦν*] *ἔεν*? vid. § 302. || *αὐτῶν*] suspectum, vid. § 98; IMHoogvliet *ἄλλων*.

119 *αὐτόθ’ ἔμεινε*] *αὐτόθι* (Townl. *αὐτοῦ*) *μ.* mss. || (*ἔ*)*μεινε*] *μίμνε* Townl. et l. a. in schol.; cf. *δ* 508. || *Ἄργε’ ἐνάσθη*] *Ἄργεϊ νάσθη* mss.; cf. § 71. || *ἐνάσθη*] sensu *sedem dandi* verbum *ναίω* recurrit *δ* 174 h. Ap. 298 (aor. act.).

120 *ὣς γάρ που*] **ὧδέ ποθι*? cf. § 322.

121 *θυγατρῶν*] genitivus (partitivus) defendi vix potest.

122 *ἀφνειὸν*] *ἀφνειὸς* H Vrat.

124 *πρόβατ’*] nonnisi *Ψ* 550 h. Merc. 571 redit. || *ἦσκε*] *ἔσκε* mss.

125 *ἀκουέμεν’*] vid. ad *δ* 94. || *εἰ* Ar.] *ὡς* mss.

126 *οὔ κέν* § 326] *οὐκ ἄν* mss.

127 *ἀτιμάσσαιτε* Nauck] *-μήσαιτε* mss.

131 *ἐνήσομεν*] l. a. *ἀνήσομεν*; cf. *Ε* 422. Bentley *ὀνήσομεν*.

132 *Ϝῆρα*] vid. ad *Α* 572. || *ἀφεστᾶσ’*] *-στασαν* Gene v.

133 *δ’ ἄρα*] *δέ γε* C (male).

134 *’βὰν δ’*] *βάν ῥ’* mss. pauca.

135 *ἀλαὸς σκοπιὴν*] *ἀλαοσκοπιὴν* mss. nonnulla, *ἀλαὸν σκοπιὴν* Zen.; vid. ad *Κ* 515. *ἐνοσίγαιος* § 21] *ἐννοσ.* mss.

136] alias is cui deus aliquis assimulatur nominatim solet indicari; Zen. addebat *ἀντιθέῳ Φοίνικι ὀπάονι Πηλείωνος* (cf. *Ψ* 360).

„Ἀτρεΐδη, νῦν δή ποθ' Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθέει ἐν στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένοι', ἐπεὶ οὔ Ϝοι ἔνι φρένες οὐδ' ἢ βαιαί. 141 cf. σ 355 φ 288
ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ Ϝε σιφλώσειε·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσι,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες 144ᵇ = Κ 301
εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ Ϝάστυ νεῶν ἄπο καὶ κλισιάων.“ 146 cf. Λ 803
ὣς Ϝειπὼν μέγ' ἄυσεν, ἐπεσσυμένος πεδίοιο,
ὅσσον τ' ἐννεάχιλοι ἐϜίϜαχον ἢ δεκάχιλοι 148 sq. = Ε 860 sq.
ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος·
τόσσην ἐκ στήθεσφι Ϝόπα κρείων ἐνοσίχθων
ἧκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένος ὦρσε Ϝεκάστῳ 151ᵇ sq. = Λ 11 sq.
καρδίῃ, ἄλληκτον πολεμιζέμεν' ἠδὲ μάχεσθαι.

Ἥρη δ' εἰσέϜιδε χρυσόθρονος ὀφθαλμοῖσι
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν, 155ᵇ = Ν 270
αὐτοκασίγνητον καὶ δαέρα, 'χαῖρε δὲ θυμῷ·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσέϜιδε, στυγερὸς δέ Ϝοι ἔπλετο θυμῷ.
'μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
ἥδε δέ Ϝοι κατὰ θυμὸν ἀρίστη 'φαίνετο βουλή, 161 = Β 5
ἐλθέμεν' εἰς Ἴδην εὖ ἐντύνασαν ἕϜ' αὐτήν,

142 Ar. —? || 158 Ar. —?

139 *ποθ'* § 322] *που* mss.
140 *γηθέει ἐν* Barnes] *γηθεῖ ἐνὶ* mss.; cf. § 191.
141 *δερκομένοι'*] *-νου* Eust. G, *-νῳ* mss. cett.; vid. § 59 et ad *Ι* 635 sq. ζ 157. || *ἢ βαιαί* § 2] *ἠβαιαί* mss.
142 *ὣς*] *ὡς* A G H (ut Σ 107), male. || *σιφλώσειε*] †; recentioris aetatis esse verbum, versum autem abundare, in schol. V (ex Ar. opinione?) observatur; sed obsoletum potius videtur fuisse et ab Alexandrinis (Lycophr. 1134 Apoll. Rh. I 204) recoctum.
143 *σοὶ δ' οὔ πω*] l. a. *σοῦ δ' οὔποι*(?— Nauck *σοὶ δ' οὔ τοι*).
145 *αὐτὸς*] l. a. *αὐτοὺς* (male).
147 *πεδίοιο*] vid. ad *Β* 785.
148 *τ'* Ar.] *δ'* Aristoph.; mss. utrumque; vid. ad *Ε* 860. || *ἐννεάχιλοι ... δεκάχιλοι*] vid. ad *Ε* 860. || *ἐϜίϜαχον* Bentley] *ἐπίαχον* mss.
149 *ἔριδα — Ἄρηος*] vid. ad *Β* 381.
151 *ὦρσε* Bentley] *ἔμβαλ'* mss.; vid. *Λ* 11.
152 *πολεμιζέμεν'* § 125] *-ζειν* mss.
157 sq.] om. Syr., vs. 158 autem abundare dicitur in schol. V (ex Ar. opinione?); vid. ad vs. 142.
157 *πολυπίδακος*] sic Ar., alii olim *πολυπιδάκου*, cf. *Ξ* 307 *Υ* 59 *Ψ* 117.
158 *ἔπλετο θυμῷ*] l. a. *ἔπλετ' ἰδούσῃ, ἔπλετο θυμός*.
162 *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss. || *εὖ ἐντύνα-*

εἴ πως ἱμείραιτο παραδραθέμεν φιλότητι [266
Ϝῇ χροΐῃ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε 164b = ε 268 η
χεῦαι ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι. 165b cf. Θ 366
'βῆ δ' ἴμεν' εἰς θάλαμον, τόν Ϝοι φίλος υἱὸς ἔτευξε 166b cf. 338
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε 167 = 339
κληῖδι κρυπτῇ, τὰς δ' οὐ θεὸς ἄλλος ἄνοιγε.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς. 169 = h. Ven. 60
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος 169b cf. φ 45
λύματα πάντ' ἐκάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ
ἀμβροσίῳ Ϝεδανῷ, τό ῥά Ϝοι τεθυωμένον ἦεν· 172 = h. Ven. 63
τοῦ καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ 173b cf. Α 426
ἔμπης εἰς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.
τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο. 177b cf. Α 530a
ἀμφὶ δ' ἄρ' ἀμβρόσιον Ϝεανὸν 'Ϝέσαθ', ὅν Ϝοι Ἀθήνη
ἔξυσ' ἀσκήσασα, 'τίθει δ' ἐνὶ δαίδαλα πολλά·
χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος 'περονᾶτο.
'ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοισ' ἀραρυῖαν,
ἐν δ' ἄρα ἕρμαθ' ἕηκεν ἐὺ τρητοῖσι λοβοῖσι

σαν] notetur hiatus. || ἕϜ' αὐτὴν PKnight] ἓ αὐτὴν Genev. Apoll. Pron. 102, ἑαυτὴν mss. cett., ἑωυτὴν Zen.; male Bentley ἐντύνασά Ϝε αὐτὴν (cf. P 551). De forma disyllaba ἑϜέ vid. § 93.

163 εἴ πως] Paris. 2767 ὅππως, Apoll. lex. ᾗ πως. || παραδραθέμεν § 126] -θέειν mss.

164 χροΐῃ] † pro χροΐ, vix Homericum; vHerwerden Ϝῷ χροΐ, ἠδέ Ϝοι ὕπνον, sed ipsum vocabulum χρώς hic displicet; coniecimus *Ϝῇ ὄαρι.

165 χεῦαι vHerwerden] χεύῃ mss.; Naber χεύαι (cf. § 113), Leaf mavult χεύειε βλεφάροισιν. || πευκαλίμῃσι] vid. ad Θ 366.

166 δ'] ῥ' Syr.

168 τὰς schol. BLV] τὸν Genev., τὴν mss. cett. || ἄνοιγε] ἀνοῖγεν L, ἀνῷγεν mss. cett.; de syllaba -οι- vid. § 241.

169 ἐπέθηκε] ἐπιθεῖσα Zen.

170 ἱμερόεντος] ἀθανάτοιο Plut. Mor. p. 693 *b*.

171 πάντ' ἐκάθηρεν Lips.] πάντα κάθηρεν Ar. et mss. cett. || λίπ' ἐλαίῳ] χρόα λευκὸν Athen. XV p. 688 *d*. De voce λίπ' vid. § 13.

172 Ϝεδανῷ] nonnisi l. par. redit; cohaerere videntur Ϝαδεῖν et Ϝηδύς. Athen. XV p. 688 *e* ἑανῷ (Ϝεανῷ) non recte, nam adiectivi Ϝεανός *ductilis* paenultima producitur. || τεθυωμένον] redit h. Ap. 184 (?) Ven. 63; vert. *fragrans*.

173 κινυμένοιο] κιδναμένοιο Naber. || κατὰ Ar. L] ποτὶ mss. cett.

176 πεξαμένη] i. e. κτενισαμένη (Apoll. lex.); cf. πείκετε σ 316 et lat. *pecto*. || πλοκάμους] redit h. XXIII 3; cf. πλοχμοί P 52 et adi. frequentia ἐυπλόκαμος, καλλιπλόκαμος.

177 ἀμβροσίους] καὶ μεγάλους Zen. Aristoph. || κράατος] cf. § 82.

179 πολλά] πάντα mss. pauca.

180 χρυσείῃς] pro -ῃσι novicium, vid. § 57; neque praestat χρυσέῃσιν, vid. § 8 et 61. || ἐνετῇσι] ἐνετοῖσι C[1]. Vox † (ἐνίημι passim). Cf. Helbig Epos[1] p. 145. Vocem hinc mutuatus est Callimachus fr. 149.

181 ζώνην ... ἀραρυῖαν] -νῃ ... -ρυίῃ Ar.; vid. ad E 857.

182 δ' ἄρα] δέ οἱ Syr. || ἕρμαθ' ἕηκεν

τρίγληνα μορόεντα· χάρις δ᾽ ἀπελάμπετο πολλή. 183 = σ 298
κρηδέμνῳ δ᾽ ἐφύπερθε ᾽καλύψατο δῖα θεάων
καλῷ νηγατέῳ· λευκὸν δ᾽ ἦν ἠέλιος ὥς·
ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα. 186 = B 44
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροΐ ᾽θήκατο κόσμον, 187 cf. H 207
᾽βῆ ῥ᾽ ἴμεν᾽ ἐκ θαλάμοιο, καλεσσαμένη δ᾽ Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔϝειπε·
„ἦ ῥά κέ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κε ϝείπω; 190ª = Δ 93
ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῷ,
οὕνεκ᾽ ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;“
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
„Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο, 194 = 243 cf. E [721
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἀνώγει, 195 sq. = Σ 426 sq. ε 89 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί.“
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 197 cf. 300
„δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
δάμνασαι ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους·
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, 200ᵇ-202 = 301 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ᾽ ἐν σφοῖσι δόμοισιν ἐὺ ᾽τρέφον ἠδ᾽ ἀτίταλλον, 202ᵇ cf. Π 191 τ 354
δεξάμενοι Ῥείης, ὅτε τε Κρόνον εὐρύϝοπα Ζεὺς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
τοὺς εἶμ᾽ ὀψομένη, καί σφ᾽ ἄκριτα νείκεα λύσω· 205-207 = 304 sqq.
ἤδη γὰρ δϝηρὸν χρόνον ἀλλήλων ἀπέχονται

185 Ar. ——?

PKnight] ἕρματα ἧκεν mss. hiatu vitioso. Alterum vero hiatum ἄρα ἕρμαθ᾽ (vid § 15) excusare videtur littera initialis σ radicis σερ (§ 277); vid. § 44. Heyne coniecit δέ τ᾽ ἄρ᾽ ἕρματα. Vox ἕρματα *inaures* nonnisi loco parallelo σ 297 redit. || λοβοῖσι] *auriculis*; nonnisi h. V 8 redit vox.

183 τρίγληνα μορόεντα] sic Ar., alii olim τρίγλην᾽ ἀμορόεντα. Epitheta nonnisi loco par. redeunt; de priore vid. ad Θ 164. Bene Lobeck aliique interpretati sunt *inaures* veluti *tribaccas*, vid. Helbig Epos[1] p. 185-187.

185 νηγατέῳ] vid. B 43. || λευκὸν] l. a. λαμπρὸν. || ἦν] ἔεν? cf. § 302.

190 κέ] νύ mss.; vid. ad Δ 93.

195 αὔδα] αὔδα᾽? vid. § 191. || ἀνώγει L[1] et l. a. in schol.] -γεν mss. cett.; vid. § 225.

196 εἰ τετελεσμένον ἐστί] Cant. ἔσται; cf. ε 90. Vulgata si sana est, vertatur *si effici potest*. Bentley τελέσαι. τὸ δὲ καὶ τετελεσμένον ἔσται.

197 προσηύδα] -δαε? vid. § 191.

198 δὸς νῦν μοι] δός μοι νῦν mss. nonnulla, νῦν δός μοι Eust.

199 δάμνασαι Bentley] δαμνᾷς D, δαμνᾷ (sic Ar.?) mss. cetera vitio metrico (vid. § 14); cf. λ 221 et § 296. Christ δάμνης mavult. || ἠδὲ] τε ἰδὲ Nauck.

201 γένεσιν] nonnisi vs. 246, 302 redit.

202 μ᾽ ἐν Ar.] με mss. complura. Vid. ad Θ 337.

203 Ῥείης] Ῥείας Aristoph. Ar., cf. § 5.

εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ. 207ᵇ = *Ι* 436
εἰ κείνω γε Ϝέπεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.“
τὴν δ' αὖτε προσέϜειπε φιλομμειδὴς Ἀφροδίτη·
„οὐκ ἔστ' οὐδὲ ϜέϜοικε τεὸν Ϝέπος ἀρνήσασθαι· 212 = *Θ* 358
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.“ 213 cf. *λ* 261
ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον, ἔνθα τέ Ϝοι θελκτήρια πάντα τέτυκται·
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων. 217ᵇ = *Ι* 554
τόν ῥά Ϝοι ἔμβαλε χερσί, Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„τῆ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ 219 cf. *ε* 346
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι 219ᵇ cf. 223 h. Cer. 287
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς.“
ὣς 'φάτ', ἐμείδησεν δὲ βοῶπις πότνια Ἥρη, 222 cf. *Α* 595
μειδήσασα δ' ἔπειτα ἑϜῷ Ϝ' ἐγκάτθετο κόλπῳ. 223ᵇ cf. 219 h. Cer. 287
ἣ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀΐξασα 'λίπε ῥίον Οὐλύμποιο, 225 = *Τ* 114
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν 226ᵃ cf. *ε* 50
'σεύατ' ἐφ' ἱπποπόλων Θρηίκων ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς, οὐδὲ χθόνα 'μάρπτε ποδοῖιν·
ἐκ δ' Ἀθόῳ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,

---

213 Aristoph. Ar. —

---

208 *κείνω* Ar.] *κείνων* Zen. Aristoph., mss. utrumque. || *γε Ϝέπεσσι*] *γ' ἐπέεσσι* mss.; Eust. om. *γ'* vix recte, vid. *Ζ* 284.

209 *ἀνέσαιμι*] cf. § 220. || *ὁμωθῆναι*] verbum †, recte *ὁμόσε ἐλθεῖν* interpretatus est Ar.; cf. *ὁμὸν λέχος εἰσαναβαίνειν* *Θ* 291.

213] Ar. observabat doni gratiam minuere Venerem dicentem se mariti, non ipsius Iunonis causa officium praestare. Leve crimen.

214 *κεστὸν*] adi. verb. †, cf. *πολύκεστος* *Γ* 371, *ἤκεστος* *Ζ* 94, 275, 309, *κένσαι* *Ψ* 337, § 211[3].

215 *τέ*] *δέ* mss. multa. Cf. *Θ* 48. || *τέτυκται* Lips. et schol. V ad *Ο* 322] *τέτυκτο* mss. cett. Vid. ad *Ε* 729.

216 *ἐν δ'*] cf. *Σ* 535; in nonnullis Ar. commentariis legebatur *ἠδ'* teste Didymo.

217 *πάρφασις*] †, cf. *παραίφασις* *Λ* 793 *Ο* 404. || *τ' ἔκλεψε νόον*] *τε νόον κλέπτει* Naber, sed aor. gnomicus bene habet; vid. e. g. *Δ* 442 sq. || *φρονεόντων*] *-έοντος* L[1] et Aristot. Ethic. Nicom. VII 7, *-έοντα* Et. M. 546, 54.

221 *γε νέεσθαι*] sic Ar.; male Demetrius una voce (= *γενήσεσθαι*) legebat; *γενέσθαι* absurde G Z Apoll. lex.

222 *'φάτ', ἐμείδησεν*] *φάτο, μείδ.* mss.

223 *ἑῷ* Ar.] *μέσῳ* Zen., mss. utrumque; Aristarcho *μέσῳ* per errorem tribuitur in schol. A. || **Ϝ'*] adiecimus.

227 *'σεύατ'*] l. a. *ἔσσυτ'*. Cf. *Ζ* 505 *Η* 208. || *ἱπποπόλων*] l. a. *-νόμων*, *-κόμων*. Cf. *Ν* 4. || *Θρηίκων*] vid. § 17.

229 *ἐκ δ' Ἀθόῳ'* Menrad] *ἐξ Ἀθόω(ι) δ'* mss., cf. § 62. || *ἐπὶ*] *ἐς* Zen. Aristoph.

Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 232 = Z 253
„Ὕπνε, Ϝάναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν Ϝέπος ἔκλυες ἠδ' ἔτι καὶ νῦν
πείθε'· ἐγὼ δέ κέ τοι Ϝείδω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεὶ,
χρύσεον· Ἥφαιστος δὲ ἐμὸς πάις ἀμφιγυήεις
τεύξει Ϝ' ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.“ 241ᵇ = ρ 410
τὴν δ' ἀπαμειβόμενος προσεφώνεε Ϝήδυμος Ὕπνος·
„Ἥρη, πρέσβα θεὰ, θύγατερ μεγάλοιο Κρόνοιο, 243 = 194
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμ', ἢ καὶ ποταμοῖο ῥέεθρα
Ὠκεανοῖ', ὅς περ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὔ κεν ἐγώ γε Κρονίονος ἆσσον ἱκοίμην,
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλοτ' ἐφετμῇ σῇ ἐπίνυσσας 249ᵃ = Α 590

231] olim subiungebant quidam *ἐρχομένῳ κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν.*

235 *πείθε'* § 117] *πείθευ* mss. || *Ϝείδω χάριν* § 160] *ἰδέω χάριν* mss.; Ar. *χάριν εἰδέω* (male), alii olim *εἰδέω χάριν.*

236 *ὑπ'* Aristoph. Ar. mss.] *ἐπ'* Zen.

237 *κεν*] **κέ Ϝ'(οι)*?

239 *δὲ* vHerwerden] *δέ κ'* mss., quod ferri potest si *τεύξει* (-ῃ) pro subiunctivo habetur (cf. § 121). Futurum tamen suadet versus 240 pars posterior.

240 *Ϝ'] adiecimus; cf. § 14.

241 *ἐπισχοίης* § 114] *ἐπισχοίας* Syr., *ἐπίσχοιες* A C et Herodian., quem errorem e vetusta litteratura natum esse vidit Alexander Cotyaeensis. An *subiunctivi* forma hic latitat? || Quidam olim addebant *αὐτὰρ ἐπὴν δὴ νῶι κατευνηθέντε ἴδηαι, | ἀγγεῖλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι* (cf. vs. 354 sqq.), quae cum *O* 41 pugnare observatur in schol. V.

242 *Ϝήδυμος* § 41] *νήδυμος* mss.

245 **κατευνήσαιμ', ἢ καὶ*] *-σαιμι* (Syr. *-σαιμ'*), *καὶ ἂν* mss.

246] cf. Verg. Georg. IV 382 *Oceanumque patrem rerum.* || *Ὠκεανοῖ'* § 59] *-νοῦ* mss. || *γένεσις*] vid. ad vs. 201. || Post hunc versum Crates addebat *ἀνδράσιν ἠδὲ θεοῖς, πλείστην δ' ἐπὶ γαῖαν ἵησιν* sec. Plut. Mor. 938 *d.*

247 *οὔ κεν* § 326] *οὐκ ἂν* mss. || *Κρονίονος*] *-ῑο-* etiam λ 620, alias *-ίω-*.

249 *ἄλλοτ' ἐφετμῇ σῇ ἐπίνυσσας*] *ἄλλο τεῇ ἐπίνυσσεν ἐφετμῇ* Zen., *ἄλλοτε ᾗ* (leg. *ἄλλοθ' ἑϜῇ*) *ἐπίνυσσεν ἐφετμῇ* Parmeniscus, *ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ* Ar., mss. haec omnia (*ἐπίνυσκεν* Hesych., cf. *O* 10). Loci vexati transposuimus verba, recepta Nauckii correctione *ἐπίνυσσας*. Requiritur aoristus (cf. *Α* 591), minus autem placet *ἐφετμὴ σὴ ἐπίνυσσε.* — Verbum *πινύσσειν* † a *πινυτός prudens* (α 229 etc.) ductum significat *prudentem* (*cautiorem*) *reddere*; cf. *ἀπινύσσειν* *O* 10 etc. In lectione Aristarchi ferri nequit *ἄλλο* pro *ἄλλοτε* (frustra *X* 232 *Ψ* 454 confert LaRoche), ut legitur *Α* 590 *Γ* 90; in Parmenisci lectione vox *ἐφετμή* Iovis *minas* vix apte indicat; lectio autem Zenodotea omni sensu caret. Brugman Ze-

ἤματι τῷ ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεε Fιλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας. 251ᵇ cf. γ 85
ἦ τοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο,
Fήδυμος ἀμφιχυθείς· σὺ δέ Fοι κακὰ 'μήσαο θυμῷ, 253ᵃ = Ψ 63
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας, 254 cf. λ 400, 407 ω 110
καί μιν ἔπειτα Κόονδ' ἐὺ ναιομένην ἀπένεικας, 255 = Ο 28
νόσφι φίλων πάντων. ὃ δ' ἐπεγρόμενος 'χαλέπαινε,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων 257ᵇ = Ω 113
'ζήτεε· καί κέ μ' ἄFιστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·
τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύσατο χωόμενός περ.
262 νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι."
τὸν δ' αὖτε προσέFειπε βοῶπις πότνια Ἥρη·
„Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
ἦ φῂς ὣς Τρώεσσιν ἀρηξέμεν' εὐρύFοπα Ζῆν
ὡς Ἡρακλέεος πέρι 'χώσατο, παιδὸς ἑFοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων 267ᵇ = 275
268 δώω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν."
ὣς 'φάτ', ἐχήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
271 „ἄγρεε νῦν μοι ὄμοσσον ἀνάαστον Στυγὸς ὕδωρ,

261 ἥζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια Fέρδοι.
269 Πασιθέην, ἧς αἰὲν ἐFέλδεαι ἤματα πάντα. 269 cf. 276 ε 210

nodoto tribuit ἄλλοθ' ἑῇ ἐπίνυσσες ἐφετμῇ, idque verum ducit, ἑῇ pro σῇ dictum accipiens.

252 ἔθελξα L] ἔλεξα mss. cett. (cf. § 232).

253 Fήδυμος § 41] νήδυμος mss.

255 *Κόονδ'* Callistratus alii] *Κόωνδ'* mss. multa; cf. *B* 677.

257 ῥιπτάζων] redit forma producta h. Merc. 279.

258 'ζήτεε § 191] ζήτει mss. Verbum redit h. Merc. 22, cf. ζητεύειν h. Ap. 215 Merc. 392 Hes. Op. 400; vHerwerden coniecit δίζετο, vid. § 200.

259 δμήτειρα θεῶν ἐσάωσε] numerosius vHerwerden ἐσάωσε θεῶν δμήτειρα. || δμήτειρα] †, μήτειρα pessime Zen. Aristoph.; cf. Δμήτωρ ρ 443, δμητήρ h. XXI 5.

261] damnavimus. || ἥζετο] ἅζετο mss., αἴδετο l. a. apud Eust.; post utrumvis verbum insolitum est μή. || θοῇ] l. a. φίλῃ. || ἀποθύμια] †; vid. ad *A* 562.

263] l. a. ὣς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη, | χειρί τέ μιν κατέρεξεν <ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν supplevit Nauck>.

265 Ζῆν] Ζῆν' mss.; vid. § 80.

266 Ἡρακλέεος § 73] -κλῆος mss.

267 sq.] imitatur Verg. Aen. I 72 sq.

267] *Gratias iuniores* quas velit poeta ignoramus. Positivi sensu vocem ὁπλότερος potuisse usurpari (quod apud Suidam perhibetur, cf. § 88) propter superlativum -τατος *I* 58 sqq. non est credibile.

268 δώω vHerwerden] δώσω mss.; Nauck ἐγὼ δὲ τεῒν ... δώσω.

269] om. mss. multa. || ἐFέλδεαι] ἱμείρεαι mss. complura.

270 'φάτ', ἐχήρατο] φάτο, χῆρ. mss. — Aor. med. †, vid. § 282; Nauck ἥσατο coll. ι 353.

271 ἄγρεε § 191] ἄγρει mss. || ἀνάαστον] ἀάατον mss.; Dawes ἀάαστον, Goebel ἀνάατον. Simili vitio ἀάσχετος pro ἀνάνσχετος traditum est *E* 892 (ubi vid.) *Ω* 708. In Odyssea legitur ἀνάᾰτος (mss. ἀάατος) φ 91 χ 5.

ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων, 275ᵇ = 267
Πασιθέην, ἧς τ' αὐτὸς ἐϝέλδομαι ἤματα πάντα." 276 cf. 269
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη, 277 = Ε 767
ὄμνυε δ' ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας
τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε 'τελεύτησέν τε τὸν ὅρκον, 280 = β 378 κ 346 h. Ap. 89 cf. μ 304
τὼ 'βήτην Λήμνου τε καὶ Ἴμβρου ϝάστυ λιπόντε,
ἠέρα ϝεσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον. 282ᵇ = Ψ 501
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν, 283 = Θ 47
Λεκτόν, ὅθι πρῶτον 'λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
'βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο 'σείετο ὕλη.
ἔνθ' Ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ϝιδέσθαι,
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανε·
ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος ἐλατίνοισι,
ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· 'ϝίδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἔϝιδ', ὥς μιν ἔρος πυκινὰς φρένας ἀμφεκάλυψε, 294ᵃ cf. Τ 16 Γ 424
οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι,

272 χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶιν ἅπαντες
μάρτυροι ὦσ' οἳ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες, 274 cf. Ο 225

272-274] damnavit Nauck; fortasse simul delendi sunt vs. 278 sq.

272 *πολυβότειραν* § 21] *πουλ.* mss.

273 *ἅλα μαρμαρέην*] imitatur Verg. Aen. VI 729: *marmoreo ... aequore.*

274] de re vid. *Ε* 898. || *μάρτυροι* Ar. mss.] *-ρες* Zen.; cf. § 63. || *ὦσ'*] novicium pro *ἔωσ'*, vid. § 302. Versus nisi spurius videretur, tentari posset *μαρτυρέωσ'*, quo tamen verbo poeta alibi non utitur. || *ἀμφὶς*] pro *ἀμφὶ* hic et *Ο* 225 vitiosum; vid. § 316. *Κρόνου ἀμφὶς* Z male.

276 *τ'*] om. Zen. Aristoph.; cf. *ε* 210.

277 *θεὰ λευκώλενος*] *βοῶπις πότνια* Syr.; cf. *Ο* 92.

278 *ὄμνυε*] vid. § 145.

279] quidam olim addebant *ὄμνυε δ' ἐκ πέτρης κατ<αλ>ειβόμενον Στυγὸς ὕδωρ* (cf. *Ο* 37).

281 *Λήμνου τε καὶ Ἴμβρου*] quidam (e coniectura?) *Λήμνοιο κατὰ μέγα.*

282 *πρήσσοντε*] vid. ad *Α* 483.

285 *ὕπο σείετο* Zen. Aristoph. Ar.] *ὑπεσείετο* mss. || *ὕλη*] l. a. *Ἴδη.* Hiatus molestus; cf. *ε* 257. Spirantis *σ* vestigia utrobique agnoscere sibi videbatur Ahrens.

286 *ὄσσε ϝιδέσθαι*] *ἆσσον ἱκέσθαι* Z Cant. Vrat.

287 *περιμήκετον*] adi. redit *ζ* 103; Nauck *περιμήκεα,* cf. (*Ν* 63) *ι* 487 etc.; vid. tamen ad *θ* 187.

289 *ἐλατίνοισι* § 21] *εἰλ.* mss.

291 *χαλκίδα ... κύμινδιν*] †; de duplici nomine cf. *Α* 403 sq.; quaenam avis significetur non constat.

294 *δ' ἔϝιδ'* PKnight] *δ' ἴδεν* mss. || *ἔρος* Eust.] *ἔρως* mss.; cf. § 63.

295 *οἷον*] *οἷος* L. || *πρῶτόν περ* Ar.] sic

εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
'στῆ δ' αὐτῆς προπάροιθε, Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 297 cf. Ω 286
„Ἥρη, πῇ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις; 298ᵇ cf. 309
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.“ 299 cf. Ε 192
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 300 = 329 Τ 106 cf. Ξ 197
„ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης, 301ᵇ-303 = 200 sqq.
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐὺ 'τρέφον ἠδ' ἀτίταλλον·
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω. 304-306 = 205 sqq.
ἤδη γὰρ δϜηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
ἵπποι δ' ἐν πρυμνωρεΐῃ πολυπίδακος Ἴδης [Cer. 43
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν. 308ᵇ = υ 98 h.
νῦν δὲ σέ' εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω, 309ᵇ cf. 298
μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.“
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶι δ' ἄγ' ἐν φιλότητι τραπήομεν εὐνηθέντε. 314 sq. cf. Γ 441 sq.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε,

οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ 'τέκε Πειρίθοον θεόφιν μήστωρ' ἀτάλαντον· 318ᵇ cf. Η 366
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ 'τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ 'τέκε μοι Μίνωα καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,

304—306 Zen. Ar. — (librariorum errore, ut vidit EHiller, in schol. BL non hi versus sed 301—303 ἀθετεῖσθαι dicuntur). || 317—327 Aristoph. Ar. —

---

aut *πρώτιστον* mss., Ahrens *πρώτιστα*. Vid. ad δ 577.

299 *κ'*] om. Zen. Aristoph.

300 *προσηύδα*] *-δαε*? vid. § 191.

302 *γένεσιν*] vid. ad vs. 201.

303 *μ' ἐν* Ar.] *με* mss. nonnulla; cf. vs. 202.

306] post hunc versum Syr. habet *εἰ κείνω — φιλότητι* (= vs. 208 sq.).

307 *πρυμνωρεΐῃ*] †. || *πολυπίδακος*] *-δάκου* mss. multa; cf. vs. 157.

308 *τραφερήν*] adi. nonnisi locis par. redit.

309 *σέ'* § 92] *σευ* mss.

310 *μετέπειτα*] *μετόπισθε* Zen. Aristoph. et mss. pauca, fortasse recte.

314 *τραπήομεν*] *-είομεν* mss.; cf. § 122 et 250. || *εὐνηθέντε*] *-ντες* mss. multa.

315 *ἔρος*] *ἔρως* mss. complura metro invito.

316 *περιπροχυθεὶς*] *περιπλεχθεὶς* Ixio. Compositum †.

317-327] interpolatoris frigidae eruditioni deberi intellexerunt veteres grammatici.

320 *ἀριδείκετον*] l. a. *πολὺ φίλτατον*.

322 *Μίνωα* Syr.] *Μίνων τε* Ar. et mss. pauca, *Μίνω τε* Zen. et mss. pleraque.

ὥς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.“ 328 = Γ 446
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 329 = 300
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες; 330 = Α 552
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα,
πῶς κ' ἔοι, εἴ τις νῶι θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι; οὔ κεν ἐγώ γε τεὸν πρὸς δῶμα νεοίμην
ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη. 336[b] = Γ 410
ἀλλ' εἰ δή ῥ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ, 337 sq.[a] cf. Ψ 548 [sq.
ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξε 337[b] = ν 145 σ 113; 338[b] cf. 166
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε· 339 = 167
ἔνθ' ἴομεν κείοντε, ἐπεί νύ τοι ἔϝϝαδεν εὐνή.“
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„Ἥρη, μήτε θεῶν τό γε δέδϝιθι μήτε τιν' ἀνδρῶν 342 cf. Ε 827
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
χρύσεον· οὐδέ κε νῶι διαδράκοι Ἠέλιός περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράεσθαι.“
ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ϝὴν παράκοιτιν·
τοῖσι δ' ὑπὸ χθὼν δῖα 'φύεν νεοθηλέα ποίην,
λωτὸν ἐϝερσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔϝεργε.
τῷ ἔν ἐλεξάσθην, ἐπὶ δὲ νεφέλην ἐϝέσαντο

ἣ ῥ' Ἡρακλέεα κρατερόφρονα 'γείνατο παῖδα,
ἣ δὲ Διώνυσον Σεμέλη 'τέκε, χάρμα βροτοῖσι·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ϝανάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,

---

324 Ἡρακλέεα § 73] -κλῆα mss.
325] de Baccho vid. ad Ζ 130—141.
327 Λητοῦς] novicium pro -όος, cf. § 77. || σέ' § 92] σεῦ mss.
329 προσηύδα] -δαε? vid. § 191.
331 εἰ] *ἦ malumus cum signo interrogandi post κορυφῇσι.
335 οὔ κεν § 326] οὐκ ἂν mss.
340 κείοντε Ahrens] -ντες mss. || ἔϝϝαδεν § 40] εὔαδεν mss. || εὐνή] εὐνήν Zen. Aristoph. (cum ἴομεν iungentes).
342 θεῶν] θεὸν mss. complura. || δέδϝιθι] nonnisi h. l. et χ 39 sq. accusativum cum infinitivo adsciscit verbum *timendi*.
342 sq. ἀνδρῶν | ὄψεσθαι] ἄλλον | ἀθάνατον Syr.
344 οὐδέ κε § 326] οὐδ' ἂν mss.
345 πέλεται] πέλει metro invito C D. || εἰσοράεσθαι § 191] -ράσθαι mss.
347 νεοθηλέα] redit adi. h. Merc. 82 h. XXIX 13.
348 ἐϝερσήεντα Brandreth] θ' ἐρσήεντα mss. et omisso θ' Apoll. lex.; cf. Ξ 351 Ω 419. || κρόκον] redit vox h. Cer. 6, 427, [429] h. XVIII 25 (κροκήιος h. Cer. 178, κροκόπεπλος saepius).
349 ἔεργε Ar. mss.] ἵκανε liber Chius, ἄειρε et ἔερπε (?) l. a. apud Didymum; ἵν' ἀπὸ χθονὸς ἀγκαζέσθην Zen.
350 ἔν ἐλεξάσθην] ἐνὶ λ. mss. || ἐϝέσαντο] ἕσσαντο mss.

καλὴν χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔϝερσαι.

ὣς ὃ μὲν ἀτρέμας ηὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ 352ᵇ = O 152
ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν·
'βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν ϝήδυμος Ὕπνος 354ᵃ = ξ 501 cf. Λ 805
ἀγγελίην ϝερέων γαιηόχῳ ἐνοσιγαίῳ.
ἄγχι δέ ϝ' ἱστάμενος ϝέπεα πτερόεντα προσηύδα· 356 = Δ 203
„πρόφρων νῦν Δαναοῖσι, Ποσειδάων, ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμ' ἐκάλυψα, 359ᵇ cf. σ 201
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι."
ὣς ϝειπὼν ὃ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσι.
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσε·
„Ἀργέιοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται;
ἀλλ' ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἧμές γ' ὀτρυνώμεθ' ἀμυνέμεν' ἀλλήλοισι.
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντες. 370 = B 139
ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
ϝεσσάμενοι, κεφαλὰς δὲ παναίθησιν κορύθεσσι
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα." 375 cf. O 604

351 στιλπναὶ] † (στίλβω Γ 392 etc.). || ἀπέπιπτον] ἀνέπιπτον Zen. conferens Pind. Ol. I 41. || Post hunc versum olim addebant quidam δή ῥα τότ' ὀφθαλμοῖσι Διὸς χύτο νήδυμος ὕπνος.

354 ϝήδυμος § 41] νήδυμος Ar. mss.

355 ἐνοσιγαίῳ § 21] ἐννοσ. mss.

356 *ἄγχι δέ ϝ'(οι) § 318] ἀγχοῦ δ' mss.

357 Ποσειδάων] -ον mss. nonnulla. || ἐπάμυνε] -νον mss. multa.

358 περ] τι C. || ἔτι εὕδει] hiatus hic vix est ferendus, cf. H 217 P 354; in versu autem sequenti novicium est αὐτῷ pro ϝοι; coniecimus *ἧος ἔτι Ζεὺς | εὕδει, ἐπεί ϝοι etc.

359 κῶμ' ἐκάλυψα D] κῶμα κάλ. mss. cett.

364 μεθίεμεν] mss. nonnulla μεθίετε, D μεθείομεν (subi.).

366 εὔχεται] ἔλπεται Zen. (male pro ϝέλπεται).

369 *ἧμές γ' § 92] ἡμεῖς mss.

370 κεν § 326] ἂν mss.

371 sqq.] mirum profecto consilium! Non soli versus 376 sq., quos damnarunt veteres, sed etiam vicini (vs. 370-387) spurii videntur.

371 ἀσπίδες] -δας mss. multa.

372 παναίθησιν] † (cf. αἰθόμενος).

373 τὰ] relativum (ut ὅσσαι vs. 371); suppl. ἔασι.

ὣς ἔφαθ᾽, οἳ δ᾽ ἄρα τοῦ μάλα μὲν ᾽κλύον ἠδ᾽ ἐπίθοντο· 378 = Η 379
τοὺς δ᾽ αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ,
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων· 380 = 29
οἰχόμενοι δ᾽ ἐπὶ πάντας ἀρήια τεύχε᾽ ἄμειβον.
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηι δὲ χείρον᾽ ἔδοσκε.
αὐτὰρ ἐπεί ῥ᾽ ἐϝέσαντο περὶ χροῒ νώροπα χαλκὸν, 383 = ω 467, 500
᾽βάν ῥ᾽ ἴμεν᾽· ἦρχε δ᾽ ἄρα σφι Ποσειδάων ἐνοσίχθων, 384ª cf. 134
δϝεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ
ϝείκελον ἀστεροπῇ· τῷ δ᾽ οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δϝέος ἰσχάνει ἄνδρας.
Τρῶας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκόσμεε φαίδιμος Ἕκτωρ.
δή ῥα τότ᾽ αἰνοτάτην ἔριδα πτολέμοι᾽ ἐτάνυσσαν
κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἦ τοι ὃ μὲν Τρώεσσιν, ὃ δ᾽ Ἀργεΐοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε 392ª = ι 484, 541
Ἀργεΐων· οἳ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάει ποτὶ χέρσον,
ποντόθεν ὀρνύμενον πνοιῇ Βορέα᾽ ἀλεγεινῇ·
οὔτε πυρὸς τόσσος πέλεται βρόμος αἰθομένοιο
οὔρεος ἐν βήσσῃσ᾽, ὅτε τ᾽ ὤρετο καιέμεν᾽ ὕλην· 397ª = Γ 34
οὔτ᾽ ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισι

376 ὃς δέ κ᾽ ἀνὴρ μενέχαρμος, ἔχῃ δ᾽ ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὃ δ᾽ ἐν ἀσπίδι μείζονι δύτω.
376 sq. Zen. om., Aristoph. Ar. —

376 μενέχαρμος] †, alias μενεχάρμης. Insolite deinde omissus est subiunctivus ἔῃσι. || ἔχῃ] ἔχει Ar.

377 ὃ δ᾽] vid. ad Α 191. || ἀσπίδι μείζονι] dativus ut Κ 254 alibi.

381 sq.] del. Bekker.

382 χέρηι L] χέρηα vel χέρεια (cf. § 87) mss. cett. || χείρον᾽ ἔδοσκε] -να δόσκεν L, -νι δόσκεν mss. cett.; Ar. scribebat δόσκον; praeterea ex eius commentariis affertur δῶκε, sed interpretamentum hoc fuisse, non lectionem, docuit Ludwich Arist. I p. 378 sq.

383 ἐϝέσαντο] ἕ(σ)σαντο mss.; ἐπεὶ ἕσσαντο Bentley fortasse recte.

388 ἐκόσμεε G] -μει mss. cett.; cf. § 191.

389 πτολέμοι᾽ ἐτάνυσσαν] -μοιο τάν. (Ar.) mss.; l. a. -σσεν. Cf. § 59.

392 sq.] conferri possunt Ν 29 et Φ 387 sq.; spurios tamen esse e versibus proximis efficimus. Graecis perincommodum foret maris naves et tentoria alluentis auxilium.

393 ἀλαλητῷ] vid. ad Β 149.

394 sq.] post vs. 399 collocavit Zen.

394] cf. Verg. Georg. IV 262. || βοάει § 191] βοάᾳ mss.

395 Βορέα᾽ § 55] Βορέα Z, ἀνέμου C, ἀνέμων Lips., Βορέω mss. cett.

396 *πέλεται § 275] γε πέλει Et. M. 214,36, γε ποτὶ (ποθὶ) mss., τόσσος γὰρ πέλεται βρόμος schol. Ap. Rh. III 861.

397 βήσσῃσ᾽ ὅτε τ᾽] βήσσῃσιν ὅτ᾽ Nauck. || ὤρετο] ὦρορε l. a. in Ar. commentariis, quae tamen forma usurpari solet transitive (vid. ad ω 62); non recte Didymus confert Β 146.

398 τόσσον Ar.] τόσσος Zen., mss. utrumque. || ποτὶ] περὶ mss. complura. || ὑψικό-

ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
δϝεινὸν ἀυσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν. 401ᵇ = *Π* 430
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
ἔγχε', ἐπεὶ 'τέτραπτο πρὸς ἰθύ ϝοι, οὐδ' ἀφάμαρτε,
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσ' ἐτετάσθην,
ἤ τοι ὃ μὲν σάκεος, ὃ δὲ φασγάνου ἀργυροήλου·
τώ ϝοι ἐρυσάσθην τέρενα χρόα. 'χώσατο δ' Ἕκτωρ, 406ᵇ sq. = *Χ* 291 sq.
ὅττι ῥά ϝοι βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρὸς,
ἂψ δ' ἑτάρων εἰς ϝέθνος ἐχάζετο κῆρ' ἀλεείνων. 408 = *Γ* 32
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
χερμαδίῳ, τά ῥα πολλὰ, θοάων ἔχματα νηῶν,
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρας
στῆθος ἐβεβλήκειν ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
στρόμβον δ' ὥς ϝ' ἔσσευε βαλὼν, περὶ δ' ἔδραμε πάντῃ. 413ᵃ cf. *Λ* 147
ὡς δ' ὅθ' ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
πρόρριζος, δϝεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆς· τὸν δ' οὔ περ ἔχει θράσος ὅς κε ϝίδηται
ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι.
χειρὸς δ' ἐξέβαλ' ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη 419ᵇ cf. *Ν* 543
καὶ κόρυς, ἀμφὶ δέ ϝοι 'βράχε τεύχεα ποικίλα χαλκῷ. 420ᵇ = *Μ* 396
οἳ δὲ μέγα ϝιϝάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
ϝελπόμενοι ϝερύεσθαι, ἀκόντιζον δὲ θαμείας 422ᵇ cf. *Μ* 44

μοισι] ridicule Agathocles *ἰξοφόροισι* (*viscosis*), quo epitheto Sophoclem in Meleagro usum esse dicit Hesych.

400 *ὅσση* Zen. Aristoph. Ar.] *τόσση* mss. multa.

403 *ἔγχε'* § 71] *ἔγχει* mss. || *ἰθύ ϝοι*] *ἰθὺν* Monro.

404 *στήθεσσ' ἐτετάσθην*] *-σσι τετ.* mss. An *-σφι 'τετάσθην*? vid. ad *Μ* 401.

406 *ἐρυσάσθην* Syr.] *ῥυσάσθην* mss. cett.; cf. § 132.

412 *ἐβεβλήκειν*] *βεβλήκειν* Zen. Aristoph., *βεβλήκει* Ar. mss., *ἐβεβλήκει* l. a. apud Didym. || *ἀγχόθι*] **ἐγγύθι*? vid. § 318.

413 *στρόμβον*] †, *turbinem* (*βέμβικα* schol.); cf. Verg. Aen. VII 378. || **ϝ'*] adiecimus. Vid. l. parall. || *περὶ — πάντῃ*] *totus conversus est* (*περιεστράφη*). Hectorne significatur an lapis? Scholia dubitant, item hodierni.

414 *ὑπὸ*] *ὑπαὶ* C. || *πληγῆς*] *ῥιπῆς* mss. multa.

415 *πρόρριζος*] vid. ad *Ι* 541 *Λ* 157. || *θεείου*] *-οο*? cf. § 59.

416 *τὸν δ' οὔ περ … κε*] *τὸν* (? — *τῶν* Nauck) *δ' οὔ τιν' … τις* Aristoph.

418 *ἔπεσ'*] *πέσεν* Ambr. || *ὦκα*] sic olim libri Massil. et Chius, *ὠκὺ* Ar.

419 sq.] del. Duentzer, Hectorem enim hastam suam modo in Aiacem torsisse (vs. 403); at a comitibus alia ei statim potuit porrigi.

419 *ἐξέβαλ'*] *ἔκβαλεν* mss. || *ἑάφθη*] *ἐάφθη* mss. nonnulla; de verbo obscuro vid. ad *Ν* 543.

420] om. Ambr. A.

422 *ϝερύεσθαι*] Ambr. *-σασθαι*. De futuri forma vid. § 147.

αἰχμάς· ἀλλ' οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πολυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ
Σαρπηδών τ' ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων. 426 cf. *B* 876
τῶν δ' ἄλλων οὔ τίς Ϝε' ἀκήδεεν, ἀλλὰ πάροιθε
ἀσπίδας εὐκύκλους 'σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες 'φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους 429 cf. *P* 718
ὠκέας, οἵ Ϝοι ὄπισθε μάχης ἠδὲ πτολέμοιο 429^b-432 = *N* 535 sqq.
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ Ϝάστυ 'φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐυρρεέος ποταμοῖο, 433 sq. = *Φ* 1 sq. *Ω* 692 sq.
Ξάνθου δινήεντος, ὃν ἀθάνατος 'τέκετο Ζεύς, 434^b cf. *B* 741
ἔνθα μιν ἐξ ἵππων 'πέλασαν χθονί, κὰδ δέ Ϝοι ὕδωρ
'χεῦαν· ὃ δ' ἀμπνύθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσι,
ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσε.
αὖτις δ' ἐξοπίσω 'πλῆτο χθονί, κὰδ δέ Ϝοι ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργέιοι δ' ὡς οὖν 'Ϝίδον Ἕκτορα νόσφι κιόντα, 440 cf. *Λ* 284
μᾶλλον ἐπὶ Τρώεσσ' ἔθορον, 'μνήσαντο δὲ χάρμης. 441 = *Θ* 252
ἔνθα πολὺ πρώτιστος 'Οιλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε δούρ' ἐπιάλμενος ὀξυόεντι
Ϝηνοπίδην, ὃν ἄρα νύμφη 'τέκε νηὶς ἀμύμων
Ϝήνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
τὸν μὲν 'Οιλεΐδης δουρὶ κλυτὸς ἐγγύθεν ἐλθὼν 446^b = *E* 72
οὖτα κατὰ λαπάρην· ὃ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ 447^a = *Z* 64

423 *τις ἐδυνήσατο*] *τίς Ϝε δυνήσατο* GHermann; at vid. § 19.
424 *ἄριστοι*] l. a. *ἅπαντες*.
425 *Πολυδάμας* § 21] *Πουλ.* mss.
427 *δ'*] *τ'* Zen. || *Ϝε'* § 92] *εὑ* mss. || *ἀκήδεει* Nauck] *ἀκήδεσεν* et *-σατο* Ar., *ἀκήδεσεν* vel *ἀκήδησ(εν)* mss.; Christ dubitanter *ἀκηδής*, cf. *Ψ* 70.
428 *αὐτοῦ*] *αὐτόο*? cf. § 59; pronomen languet (vid. § 98); **αὐτόθι*? an **αὐτίκα*?
433 *ἐυρρεέος* § 73] *-ρρεῖος* mss.
436 *ἀμπνύθη* vHerwerden, cf. § 186] *ἀμπνύνθη* mss.; cf. *E* 697. || *ἀνέδρακεν*] comp. †.
437 *ἀπέμεσσε* Ar.] *ἀπέμασσε* Zen. (cf. *E* 798), mss. utrumque, l. a. *ἀπέσεισεν*. Verbum *ἀπεμέω* †, vid. ad *O* 11.
438 *κὰδ*] *τὼ* Ar. et mss. multa. Vid. *Π* 325 et ad *E* 659.
439 *βέλος*] cf. *Θ* 513. || *ἐδάμνα*] cf. § 195.
440 *νόσφι κιόντα*] *νόσφιν ἐόντα* (Ar.?) mss. pauca. Cf. *β* 260 *κ* 546.
441 *Τρώεσσ' ἔθορον*] *-σσι θόρον* mss.
442 *'Οιλῆος*] vid. ad *B* 527.
443 **δούρ' ἐπιάλμενος*] *δουρὶ μετ.* mss.
444 sq. *Ϝηνοπ.*] *Οἰνοπ.* (Barocc.) Mor. Strab. XIII p. 605 et 619; cf. *Π* 401 *Ψ* 634.
445 *ὄχθας*] *ὄχθης* (? — Heyne *-ῃς*) Zen. || *Σατνιόεντος*] quidam olim *Σαγγαρίοιο*, cf. *Γ* 187.
446 *'Οιλεΐδης* Nauck] *-λιάδης* mss.; vid. ad *M* 365.
447 *οὖτα κατὰ λαπ.*] *οὔτασε καλλαπ.* mss. pleraque; vid. *Z* 64 *Ξ* 517.

Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην. 448 = Π 764
τῷ δ' ἐπὶ Πολυδάμας ἐγχεσπάλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης, 'βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηιλύκοιο· διὰ ὤμου δ' ὄβριμον ἔγχος 451ᵇ sq. = Ν 519 sq.
ἔσχεν, ὃ δ' ἐν κονίησι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Πολυδάμας δ' ἔκπαγλον ἐπηύξατο μακρὸν ἀύσας· 453 sq. cf. Ν 413 sq.
„οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργεΐων 'κόμισε χροΐ, καί μιν οἴω
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϝιδος εἴσω.“
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος 'γένετ' εὐξαμένοιο, 458 = Ν 417
459 Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· 459 cf. Ν 418
461 καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ. 461ᵇ = Ν 516
Πολυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν 462ᵇ = Γ 360
λικριφὶς ἀίξας, 'κόμισεν δ' Ἀντήνορος υἱὸς 463ᵃ = τ 451
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ 'βούλευσαν ὄλεθρον.
τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω 'κέρσε τένοντε· 466ᵇ = Κ 456
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδεϊ 'πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πολυδάμαντι·
„φράζεο, Πολυδάμαν, καί μοι νημερτὲς ἐνίσπε, 470ᵇ = γ 101 δ 331 χ 166
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο

---

460 τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ 'πέσεν ἄγχι μάλιστα.

---

448 σύναγον κρ. ὑσμ.] vid. ad. *B* 381.
449 Πολυδάμας § 21] Πουλ. mss. || ἦλθεν] l. a. ἦεν; cf. *N* 384.
452 ἀγοστῷ] vid. ad *Λ* 425.
453 Πολυδάμας § 21] Πουλυδάμας mss. || ἔκπαγλον] l. a. ἔκπαγλος. || μακρὸν ἀύσας] μακρὰ βιβάσθων mss. nonnulla (ut *N* 809 alibi).
457 αὐτῷ] suspectum, cf. § 98; *αὖθι? || κατίμεν] cf. § 126; *ἴμεναι?
460] del. Heyne. || τῷ] molestum; cf. Plut. Mor. 1010 *d*.
462 Πολυδάμας § 21] Πουλ. mss.
463 λικριφὶς] redit *τ* 451.
464 Ἀρχέλοχος] sic (non Ἀρχίλ., quod praebet Z) Ar.
465 συνεοχμῷ]†; vid. ad. *B* 218.
468] displicet 'πλῆντ' pro 'πλῆατ' (vid. § 119 et ad *Θ* 63) et syllaba ante πλ correpta (cf. § 25); *οὖδας ἵκοντ'? vid. *Τ* 406.
469 ἀμύμονι Πολυδάμαντι] ἀμύμονα Πουλυδάμαντα Zen. || Πολυδάμαντι § 21] Πουλ. mss.
470 Πολυδάμαν § 21] Πουλυδάμαν Zen., Πουλυδάμα mss.; vid. ad *Λ* 86. || ἐνίσπε § 246] ἔνισπε aut ἐνίσπες mss.
472 εἴδεται] sine ϝ; Bentley οὔ τι κακός μοι caesura neglecta; Cobet οὔ τι κακός μοι ἐϝείδεται (dubia forma).

ἢ πάις· αὐτῷ γάρ ῥα φυὴν ἄγχιστα ϝέϝοικε.“
ἦ ῥ' ἐὺ γιγνώσκων, Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὃ δ' ὑφεῖλκε ποδοῖιν.
τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπηύξατο μακρὸν ἀύσας· 478 cf. Ν 413
„Ἀργέιοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀιζὺς
ἥμισιν, ἀλλά ποθ' ὧδε κατακτενέεσθε καὶ ὗμες.
φράζεσθ' ὡς ὗμιν Πρόμαχος δεδμημένος εὕδει
ἔγχε' ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δϝηρὸν ἔῃ ἄτιτος. τῷ καί τέ τις εὔχεται ἀνὴρ
γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι.“
ὣς ἔφατ', Ἀργεΐοισι δ' ἄχος 'γένετ' εὐξαμένοιο· 486 = Ν 417
Πηνελέῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε· 487 cf. Ν 418
ὡρμήθη δ' Ἀκάμαντος· ὃ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ϝάνακτος· ὃ δ' οὔτασε Ϝιλιονῆα,
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσε·
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον 'τέκε Ϝιλιονῆα·
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ
καὶ διὰ ϝινίου ἦλθεν, ὃ δ' ἕζετο χεῖρε πετάσσας 495ᵇ = Φ 115 cf. ι 417
ἄμφω. Πηνέλεος δὲ ϝερυσσάμενος ξίφος ὀξὺ 496ᵇ = Μ 190
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε 497ᵃ cf. Κ 455ᵇ
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ· ὃ δὲ φὴ κώδειαν ἀνασχὼν

474 *πάις* L] *παῖς* mss. cett. || *ῥα φυὴν … ἔοικε* Aristoph.] *γενεὴν … ἐοίκει* mss.

477 *ὑφεῖλκε*] *ὕφελκε* mss.

479 *ἰόμωροι*] cf. Δ 242.

481 *ἥμισιν* § 93] *ἡμῖν* mss. || *κατακτενέεσθε* Cobet] *-κτανέεσθε* mss.; vid. § 269 et ad Ζ 409. || *ὗμες* § 92] *ὕμμες* vel *ὔμμες* mss.

482 *ὗμιν* § 92] *ὑμῖν, ὕμμιν, ὔμμιν* mss. || *εὕδει*] de mortuo dictum †, sed cf. Λ 241.

483 *ἔγχε'* § 71] *ἔγχει* mss. || *ἵνα μή*] l. a. *μή τοι*.

484 *ἔῃ ἄτιτος* Clarke] *ἄτιτος ἔῃ* mss. metro invito; cf. Ν 414 et GHermann ad Aesch. Ag. 72. || *τέ* H Vrat.] omittit Lips., *κέ* mss. cett.; cf. § 122. Monro mavult *καί τίς τ'*.

485 *-ροισιν ἀρῆς* Zen.] *-ροισ(ιν) ἄρεως* mss., *-ροισιν Ἄρεω* Ar.? (Ludwich), cf. Σ 100, 213. || *λιπέσθαι*] *γενέσθαι* Z Eust. Et. Gud. 603,29.

488 *ὡρμήθη … Ἀκάμαντος*] genitivus Φ 595 adiungitur medio et Δ 335 activo.

489 *Πηνελέοιο*] *-ωο* A, *-ῳο* Cobet. Vid. § 62 et ad Β 494.

490 *πολυμήλου*] *-λοο*? cf. § 59.

491 *Ἑρμείας*] deus pastorum, cf. ξ 435 ο 139 sq.

494 *γλήνην*] vid. ad Θ 164.

496 *Πηνέλεος* Eust. Vrat.] *-ως* mss. cett.; Vid. § 62 et ad Β 494.

499 *φὴ* Zen.] *φῆ* (i. e. *ἔφη*) Ar. mss. male,

'πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ϝέπος ηὔδα·
„ϝειπέμεναί μοι, Τρῶες, ἀγανοῦ Ϝιλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισι·
οὐδὲ γὰρ ἥ, Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.“
ὣς 'φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,
'πάπτηνεν δὲ ϝέκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.

ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
ἤρετ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς ἐνοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Ἀτρεΐδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
δηώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
πλείστους δ' Αἴας εἷλεν, Ὀιλῆος ταχὺς υἱός·
οὐ γάρ ϝοί τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.

506 cf. σ 88 ω 450
506[b] cf. Γ 34
507 = Π 283 χ 43
508 sq.[a] = Λ 218
508 = Β 484 [sq.
511[a] cf. Ζ 5
516 sq. cf. Ρ 24 sq.
517[a] = Ζ 64 [sq.[a]
517[b] cf. Ν 507[b]
518[b] = Ρ 86
519[b] = Δ 461

500 Ar. —— || 509 (an 508—510?) critici quidam ——, non Ar.

nam *κώδεια* † (*papaveris caput* interpretantur, cf. *Θ* 306) de capite humano nonnisi per imaginem dici potuit, sine causa autem Ar. Homero abiudicabat voculam *φή* = *ὡς ceu*; vid. *Β* 144 et h. Merc. 241 (ex GHermanni emendatione).

502 *γοήμεναι*] cf. § 195.

503 *δάμαρ*] redit nominativus *δ* 126, utrobique autem ictu producitur *-αρ*; cf. § 19.

504 *γανύσσεται*] cf. § 175.

505 *σὺν*] *ἐν* Zen. Aristoph. (cf. *Γ* 159).

506 *τρόμος ἔλλαβε γυῖα*] *χλωρὸν δέος εἷλεν* mss. nonnulla.

509 *ἀνδράγρι'*] †; vocem, propter quam olim fuere qui versum damnarent, defendit Ar. collatis vocabulis *ζωάγρια* (*Σ* 407 *ϑ* 462) *βοάγρια* (*Μ* 22 *π* 296) *μοιχάγρια* (*ϑ* 332).

510 *ἤρετ'* Eust.] *ἤ(ι)ρατ'* mss. cett.; cf. § 284. || *ἐνοσίγαιος* § 21] *ἐνν.* mss.

511 *ῥα*] *μὲν* C.

512 *καρτεροθύμων*] l. a. *βαρβαροφώνων*, cf. *Β* 867.

514] vid. ad *Ν* 792.

515 *Περιφήτην*] *Πολυφήτην* LaRoche coll. *Ν* 191.

517 *οὖτα κατὰ λαπάρην*] *οὔτασε καλλαπάρην* mss. multa; cf. vs. 447.

518 *ὠτειλὴν*] vid. ad *Δ* 140.

522 *τε Ζεὺς*] l. a. *δὴ θεός*. || *ὄρσῃ*] *ὦρσε* mss. nonnulla.

ΙΛΙΑΔΟΣ Ο.

Παλίωξις παρὰ τῶν νεῶν.

αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν — 1 = Θ 343
φεύγοντες, πολλοὶ δὲ ’δάμεν Δαναῶν ὑπὸ χερσὶ, — 2 sq. cf. Θ 344 sq.
οἳ μὲν δὴ παρ’ ὄχεσφιν ἐρητύοντο μένοντες,
χλωροὶ ὑπὸ δϜέεος, πεφοβημένοι, ἤγρετο δὲ Ζεὺς — 4[a] cf. Κ 376
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης.
’στῆ δ’ ἄρ’ ἀναΐξας, ’Ϝίδε δὲ Τρῶας καὶ Ἀχαιοὺς, — 6[a] = ν 197
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε — 7 = Ξ 14
Ἀργεΐους, μετὰ δέ σφι Ποσειδάωνα Ϝάνακτα.
Ἕκτορα δ’ ἐν πεδίῳ ’Ϝίδε κείμενον, ἀμφὶ δ’ ἑταῖροι
ἥαθ’· ὃ δ’ ἀργαλέῳ ἔχετ’ ἄσθματι κῆρ ἀπινύσσων, — 10[a] cf. Π 109
αἷμ’ ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος ’βάλ’ Ἀχαιῶν.
τὸν δὲ Ϝιδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε, — 12[a] cf. Θ 350
δϜεινὰ δ’ ὑπόδρα Ϝιδὼν Ἥρην πρὸς μῦθον ἔϜειπε·
„ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
οὐ μὰν Ϝοῖδ’ εἰ αὖτε κακορραφίης ἀλεγεινῆς — 16[b] cf. μ 26

---

4 *ὑπὸ*] *ὑπαὶ* Ar. et mss. pleràque; cf. § 315. || *δϜέεος* § 71] *δείους* mss. || *ἤγρετο*] *ἔγρετο* mss.

5] quidam olim addebant *ἕζετο δ’ ὀρθωθείς, μαλακὸν δ’ ἔνδυνε χίτωνα* (= *Β* 42).

10 *ἥαθ’* § 220] *εἵαθ’* mss., *εἴαθ’* Ar., miro errore ad *εἰμί* referens; vid. *Ω* 84 *υ* 106 et ad *δ* 705. || *κῆρ ἀπινύσσων* Ar. mss.] *-σκων* Aristoph., *κῆρα πινύσσων* olim alii; cf. *Ξ* 249.

11 *ἐμέων*] simplex † (*ἀπεμ.* *Ξ* 437, *ἐξεμ.* *μ* 237, 437).

14 *κακότεχνος*] † (*κλυτοτέχνης* saepius).

15 *δὲ λαούς*] l. a. *δ’ Ἀχαιούς*.

16 *εἰ αὖτε*] hiatus vitiosus, item *ξ* 67; cf. § 14. Burney apud PKnight *εἴ κ’*. || *κα-*

πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἱμάσσω.
οὐ μέμνησ', ὅτε σε 'κρέμασ' ὑψόθεν, ἐκ δὲ ποδοῖιν 18ᵃ = Υ 188 Φ 396 ω 115
ἄκμον' ἕηκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσι
ἐκρέμασ'· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
'ρίψασκον τεταγὼν ἀπὸ βηλοῖ', ὄφρ' ἀφίκοιτο 23 cf. Α 591
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει
ἀζηχὴς ὀδύνη Ἡρακλέεος θείοιο,
τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
'πέμψας ἐπ' ἀτρύγετον πόντον κακὰ μητιάουσα,
καί μιν ἔπειτα Κόονδ' ἐὺ ναιομένην ἀπένεικας. 28 = Ξ 255
τὸν μὲν ἐγὼν ἔνθεν 'ρύμην καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων,
ὄφρα Ϝίδῃς εἴ τοι 'χραῖσμεν φιλότης τε καὶ εὐνή,
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησας."
ὣς 'φάτο, 'ρίγησεν δὲ βοῶπις πότνια Ἥρη, 34ᵃ = Γ 259
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·

18—31 Zen. om. || 33 Zen. Aristoph. om.

κορραφίης] redit vox β 236 μ 26. Cf. Σ 367 γ 118 π 423.

17 ἐπαύρηαι] sic Ar., ἐπαυρῇαι Tyrannio. || πληγῇσιν ἱμάσσω] *fulmine* scilicet; cf. Θ 12 (ubi vid.) Β 782.

18 οὐ Brandreth] ἦ οὐ mss.; cf. § 8. || μέμνησ' Choeroboscus in Rhet. Spengel III p. 244] μέμνῃ mss.; cf. § 117 et Υ 188 Φ 396 ω 115. || σε κρέμασ'(α) Naber] τ' ἐκρέμω mss.; cf. § 117. In vulgata oblitterata est caesura (τε κρέμω Bentley), cf. Lehrs Arist.[2] p. 395. An deleto adv. ὑψόθεν legendum *ἦ οὐ μέμνησαι, ὅτε σ' ἐκρέμασ' etc.? cf. Θ 140.

19 *ἄκμον'(ε) ἕηκα] -νας ἧκα mss.

21 ἐκρέμασ'(ο) Naber] ἐκρέμω mss.; cf. § 117. || ἠλάστεον] cf. Μ 163; forma propter synizesin suspecta; vid. § 8. || Olim addebant quidam πρίν γ' ὅτε δή σ' ἀπέλυσα πεδῶν (sic Heyne pro ποδῶν), μύδρους δ' ἐνὶ Τροίῃ | κάββαλον, ὄφρα πέλοιτο καὶ ἐσσομένοισι πυθέσθαι.

22 ὃν] in his Vulcanum, vid. Α 590 sqq.

23 'ρίψασκον § 146] ῥίπτασκον mss. || τεταγὼν] vid. ad Α 591. || βηλοῖ' § 59] βηλοῦ mss.; an βηλόο? || *ὄφρ' ἀφίκοιτο] ὄφρ' ἂν ἵκηται mss., ὄφρ' ἂν ἵκοιτο Naber. Redit vitium ψ 151; cf. η 319 κ 65 ρ 298 ω 430. Fortasse fuit olim *ἧος ἵκοιτο, vid. v. l. ψ 151.

24 γῆν] vid. § 58. || θυμὸν Ar.] sic aut θυμὸς mss.

25 Ἡρακλέεος § 73] -κλῆος mss.

27 μητιάουσα § 191] μητιόωσα mss.

28 Κόονδ'] Κόωνδ' mss.; cf. Ξ 255.

29 ῥύμην Heyne] ῥυσάμην mss. vitio metrico (ῠ pro ῡ); cf. § 164. || ἀνήγαγον] l. a. ἀπήγαγον.

30 ἀθλήσαντα] novicium pro ἀεθλ., vid. ad Η 453. Coniecimus *ἀλγήσαντα. De re vid. Apollodor. II 7 § 1.

31 ἀπολλήξῃς] ἀπολήξῃς Ar. et mss. nonnulla; vid. § 27.

32 Ϝίδῃς] ἴδῃ Ar. et mss. pauca, quod Ϝίδη'(αι) esset scribendum (cf. § 117). || *εἴ τοι 'χραῖσμεν] ἤν τοι χραίσμῃ mss.; cf. § 326.

35 ἔπεα] neglecto Ϝ. Bentley καί μιν φωνήσασα Ϝέπεα non recte, vid. § 8. Menrad

„Ϝίστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε 36-38 = ε 184 sqq.
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
δϜεινότατός θ᾽ ὅρκος πέλεται μακάρεσσι θεοῖσι,
σή θ᾽ ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχος αὐτῶν
κουρίδιον, τὸ μὲν οὔ κεν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
μὴ δι᾽ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ᾽ ἀρήγει,
ἀλλά ποθ᾽ αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει, 43ᵇ = Ζ 439
τειρομένους δ᾽ ἐπὶ νηυσὶ Ϝιδὼν ἐλέησεν Ἀχαιούς.
αὐτάρ τοι κείνῳ κεν ἐγὼ παραμυθησαίμην
τῇ ἴμεν᾽ ᾗ κεν δὴ σύ, κελαινεφές, ἡγεμονεύῃς."
ὣς ᾽φάτ᾽, ἐμείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, 47 = Ε 426
καί μιν ἀμειβόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„εἰ μὲν δὴ σύ γ᾽ ἔπειτα, βοῶπις πότνια Ἥρη, 49 cf. Σ 357
Ϝῖσον ἐμοὶ φρονέουσα μετ᾽ ἀθανάτοισι καθίζοις,
τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ᾽ εἰ δή ῥ᾽ ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ϝῖρίν τ᾽ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
ὄφρ᾽ ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ Ϝείπῃσι Ποσειδάωνι Ϝάνακτι
παυσάμενον πολέμοιο ἑϜὰ πρὸς δώμαθ᾽ ἱκέσθαι,
Ἕκτορα δ᾽ ὀτρύνῃσι μάχην εἰς Φοῖβος Ἀπόλλων,

56—77 Aristoph. Ar. —

φωνήσασα δέ μιν, at vid. vs. 145. Christ καί μιν ἀμειβομένη, vid. vs. 48; at obstat vs. 89. Vitium redit vs. 89, 145 β 269 ε 117 η 236 θ 442, 460 ν 290 ψ 34; vid. etiam Χ 81.

37 Στυγὸς ὕδωρ] cf. Θ 369 Hes. Theog. 785 Herod. VI 74.

37 sq. ὅς — θεοῖσι] vertit Verg. Aen. XII 817 *una superstitio superis quae reddita divis.*

38 *δϜεινότατός θ᾽ ὅρκος πέλεται] ὅρκος δεινότατός τε πέλει mss.; cf. § 275.

39 νωίτερον] redit μ 185; cf. § 95.

40 οὔ κεν § 326] οὐκ ἄν mss.

41 μή] vid. ad Κ 330.

43 ποθ᾽ § 322] που mss.

44 τειρομένους] κτεινομένους Aristoph. cum libris Massil. et Argol.

45 κείνῳ κεν Nauck] καὶ κείνῳ Ar., sic aut κἀκείνῳ (cf. § 9 et 97) mss.

47 ᾽φάτ᾽, ἐμείδησεν] φάτο, μείδ. mss.

48 ἀμειβόμενος] φωνήσας Vrat.

49 βοῶπις] sic Aristoph., -πι mss. pauca metro invito; cf. Σ 357.

50 μετ᾽] l. a. ἐν. || καθίζοις] l. a. θεοῖσι sine sensu, nisi pro φρονέουσα legatur verbum finitum (φρονέοισθα).

53 γε] sic Aristoph. Ar.; alii olim τε legisse videntur.

54 κάλεσσον] l. a. κέλευσον.

55 Ϝῖριν] Ϝῖριδα? vid. § 66. || κλυτότοξον] χρυσότοξον C[1], l. a. κλυτὸν αὐδήν.

58 παυσάμενον] -μένῳ Eust. || ἑϜὰ PKnight] τὰ ἃ mss.; vid. Θ 430.

αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων,
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας,
63 *φεύγοντες δ' ἐν νηυσὶ πολυκλήισι πέσωσι.*
72 *τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύσω χόλον οὔτε τιν' ἄλλον*
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν' ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλεΐδαο τελευτηθήμεν' ἐϝέλδωρ, [Cer. 467
ὥς ϝοι ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι, 75b cf. *Α* 528 h.
ἤματι τῷ ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων 76 cf. *Α* 512
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.“ 77 = *Θ* 372
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη, 78 = *Ε* 767
'βῆ δ' ἐξ Ἰδαίων ὀρέων εἰς μακρὸν Ὄλυμπον. 79 = *Θ* 410
ὡς δ' ὅτε κ' ἀίξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν

64 *Πηλεΐδα' Ἀχιλῆος· ὁ δ' ἀνστήσει ϝὸν ἑταῖρον*
Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ϝιλίοο προπάροιθε, πολῦς ὀλέσαντ' αἰζηοὺς 66a = *Χ* 6 cf. *Φ* 104
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ κέν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχωμι διαμπερὲς, εἰς ὅ κ' Ἀχαιοὶ
Ϝίλιον αἰπὺ ϝέλωσιν Ἀθηναίης διὰ βουλάς.

64—77 Zen. om., Aristoph. Ar. — (vid. ad vs. 56—77).

63 *ἐν...πέσωσι]* *ἐμπίπτειν* de *fugientibus* apud Homerum dici posse sine causa negabat Ar.; vid. *Β* 175 et ad *Ι* 235.

64-71] veteres critici iure expunxerunt, observantes versum 64 „*ψεῦδος εἶναι*“, neque enim ad Achillis naves mox confugient Graeci neque Achilles ipse sodalem suum excitabit; — vs. 69 *παλίωξιν* non suo sensu (cf. *Μ* 71 *Ο* 601) esse adhibitum; — vs. 71 vocem *Ϝίλιον* contra constantem poetae usum neutro genere usurpatam esse (cf. *Σ* 174); — adde *κτενεῖ* pro *κτενέει* vs. 65 et 68, cf. § 147. Sed versus 72-77, quos item damnarunt Zen. Aristoph. Ar., videntur servari posse.

64 *Πηλεΐδα'* § 55] *-δεω* mss. || *ἀνστήσει ὅν]* sic Ar., *-σειεν* Z et l. a. in schol., *-σῃ ὅν* Eust.

65 *κτενεῖ]* forma contracta manum poetae recentioris prodit, item vs. 68; reicimus coniecturam *κτενέει δὲ τόν.*

66 *Ϝιλίοο* § 59] *-ίου* mss. || *πολῦς* § 83] *πολεῖς* (*πολοὺς*) mss. || *ὀλέσαντ']* *-σοντ'* A.

68 *κτενεῖ]* vid. ad vs. 65.

69 **κέν* § 326] *δ' ἄν* mss.

70 *τεύχωμι* Cobet] *-χοιμι* mss.; cf. § 112.

71 *αἰπὺ ἕλωσιν* Ar.] sic aut *αἰπὺ ἕλοιεν* mss.; *ἐκπέρσωσιν* Aristoph.; quae praeferenda esset lectio, si genuinus esset locus. — Vitiosum esse *αἰπὺ* pro *αἰπεῖαν* observavit Ar. (vid. ad vs. 64-71), incommodus autem aut hiatus est post *αἰπὺ* aut digamma verbo *ϝελεῖν* tributum loco recenti (vid. § 41[22]); Harl. Mor. habent *αἰπὺν* (vid. § 53). Redit vitium in l. a. *Σ* 174. || *Ἀθηναίης διὰ βουλάς]* cf. Verg. Aen. II 15: *divina Palladis arte.*

72 *παύσω]* · *παύω* Ar. Herodian. et mss. complura, Cobet *οὔτ' ἂν* (leg. *οὔτε κ'*) *ἐγὼ παύω.* || *ἄλλον]* *ἄλλων* D.

74 *τελευτηθήμεν'* § 125] *-θῆναι* mss.

75 *πρῶτον]* *πρώτῳ* C[1]. || *κάρητι]* cf. § 82.

77 *πτολίπορθον]* *Ulixis* non *Achillis* esse epitheton contendit Ar.; at vid. *Θ* 372 *Φ* 550 *Ω* 108.

78] quidam olim addebant *Ζῆν' ὑποταρβήσασα· νόος δέ οἱ ἄλλα μενοίνα.*

79 *δ' ἐξ* Zen. (?)] *δὲ κατ'* mss. male; cf. *Θ* 410 *Ο* 169.

80 *ὅτε κ'* § 326] *ὅτ' ἂν* mss.

γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ
„ἔνθ' εἴην ἢ' ἔνθα", μενοινάῃσί τε πολλὰ,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη. 83 cf. 172
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθε
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἳ δὲ Ϝιδόντες
πάντες ἀνήιξαν καὶ ἐδεικανάοντο δέπασσι.
ἣ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήῳ
'δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα, 88[b] = Ζ 394
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Ἥρη, τίπτε βέβηκας; ἀτυζομένῃ δὲ ϜέϜοικας·
ἦ μάλα δή σ' ἐφόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης."
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
„μή με, θεὰ Θέμι, ταῦτα διείρεο· Ϝοῖσθα καὶ αὐτὴ,
οἷος κείνοο θυμὸς ὑπερφίαλος καὶ ἀπηνής. 94[a] cf. Σ 262 ο 212
ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοισ' ἔνι δαιτὸς ἐϜίσης· 94[b] = Ψ 611
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισι,
οἷα Ζεὺς κακὰ Ϝέργα πιφαύσκεται· οὐδέ τί φημι
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν', οὔτε βροτοῖσι
οὔτε θεοῖσ', εἴ πέρ τις ἔτι νῦν δαίνυτ' εὔφρων."
ἣ μὲν ἄρ' ὣς Ϝειποῦσα καθέζετο πότνια Ἥρη,
ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἣ δ' ἐγέλασσε 101[a] = Α 570
χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσι
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
„νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες.
ἦ ἔτι μιν μέμαμεν καταπαυέμεν' ἆσσον ἰόντες 105 cf. Α 567

81 ἐληλουθὼς] -λευθὼς H, vid. § 160[4]. || πευκαλίμῃσι] vid. ad Θ 366.

82 εἴην] sic Ar.; l. a. εἴη. || μενοινάῃσι § 190 et 191] -νήῃσι Ar., -νήσειε mss., Nauck μενοινήσῃσι.

83 διέπτατο] cf. § 216.

86[b]] sic Ar., alii olim κάλεόν τέ μιν εἰς ἓ ἕκαστος (cf. Ψ 203). || ἐδεικανάοντο § 191] (ἐ)δεικανόωντο mss.; δῑκανάοντο Schulze (cf. § 21). || δέπασσι Ar. mss.] ἐπέεσσι Zen.

87 Θέμιστι ... καλλιπαρήῳ] vid. ad Α 596.

88 θέουσα] φέρουσα mss. nonnulla.

89 ἔπεα] vid. ad vs. 35.

92 θεὰ λευκώλενος] βοῶπις πότνια Z et l. a. in schol.; cf. Ξ 277.

94 κείνοο § 59] κείνου Ar., ἐκείνου mss.; cf. § 97.

97 τί] ἕ H et l. a. in schol.

98 κεχαρησέμεν'] cf. § 282.

99 δαίνυτ' εὔφρων LaRoche] δαίνυται εὔφρων mss.

102 κυανέῃσι] vid. ad Α 528.

104 μενεαίνομεν ἀφρονέοντες] μ. ἀφραδέοντες mss. pauca, μ. ἀφρονέοντι l. a. in quibusdam exemplaribus commentariorum Aristarchi, μ. ἰσοφαρίζειν Heracl. Alleg. Hom. 2 (vid. ad Z 101), ἐριδαίνομεν ἀφρονέοντι olim alii. — Verbum ἀφρονέω †, ἀφραίνω legitur B 258 H 109 υ 360.

105 *καταπαυέμεν'] -σέμεν mss.; vid. B 544.

ἢ Ϝέπε᾽ ἠὲ βίῃ· ὃ δ᾽ ἀφήμενος οὐκ ἀλεγίζει 106^{b} sq.^{a} cf. Α 180 sq.
οὐδ᾽ ὄθεται, φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
κάρτεΐ τε σθένεΐ τε διακριδὸν ἔμμεν᾽ ἄριστος. [P 322 108^{a} = P 329 cf.
τῷ ἔχεθ᾽ ὅττι κεν ὖμι κακὸν πέμπῃσι Ϝεκάστῳ· 108^{b} cf. Μ 103
ἤδη γὰρ νῦν Ϝέλπομ᾽ Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ Ϝοι ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τόν φησι Ϝὸν ἔμμεναι ὄβριμος Ἄρης.“
ὣς ἔφατ᾽, αὐτὰρ Ἄρης θαλερὼ ᾿πεπλήγετο μηρὼ 113^{b} sq. = 397 sq. ν 198 sq.
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενος δὲ προσηύδα·
„μὴ νῦν μοι νεμεσήσετ᾽, Ὀλύμπια δώματ᾽ ἔχοντες,
τίσασθαι φόνον υἷος ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ 117^{b} cf. μ 416 ξ 306
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ᾽ αἵματι καὶ κονίῃσι.“
ὣς ᾿φάτο, καὶ ῥ᾽ ἵππους ᾿κέλετο ΔϜεῖμόν τε Φόβον τε 119^{b} cf. Δ 37
ζευγνύμεν᾽, αὐτὸς δ᾽ ἔντε᾽ ἐδύσετο παμφανάοντα. 120^{b} = Ι 596
ἔνθα κ᾽ ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδϜείσασα θεοῖσι
ὦρτο δι᾽ ἐκ προθύροι᾽, ᾿λίπε δὲ θρόνον ἔνθ᾽ ἐθάασσε· 124^{b} cf. Ι 194
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλῆς κόρυθ᾽ εἵλετο καὶ σάκος ὤμων,
ἔγχος δ᾽ ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα 126^{a} cf. α 127 ρ 29
χάλκεον· ἣ δὲ Ϝέπεσσι καθήπτετο θοῦρον Ἄρηα·
„μαινόμενε, φρένας ἠλὲ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ᾽ ἀκουέμεν᾽ ἐστὶ, νόος δ᾽ ἀπόλωλε καὶ αἰδώς.
οὐκ ἀΐεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθε;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ

---

106 Ϝέπε᾽ § 71] ἔπει mss. || ἀφήμενος] comp. †.

108 ἔμμεν᾽ § 125] εἶναι mss.

109 ὖμι § 92] ὔμμι vel ὔμμι mss.

114 καταπρηνέσσ᾽] *-νὲς? vid. Π 792. || δὲ προσηύδα] deest obiectum (θεούς); δ᾽ ἔπος ηὔδα Ar. et mss. nonnulla (neglecto Ϝ); cf. Ο 398 ν 199.

120 ἐδύσετο] ἐδύσατο mss. multa; cf. § 152. || παμφανάοντα § 191] -νόωντα (-νόεντα Barocc.) mss.

121 κ᾽ ἔτι] κέ τις mss. nonnulla.

124 προθύροι᾽ § 59] -ρου mss.; fortasse olim fuit *προθύροιο· θρόνον δ᾽ ἔλιπ᾽. || ἔνθ᾽ ἐθάασσε] ἔνθα θάασσε mss.

126 ἀπὸ] ἐκ mss. pauca.

127 ἣ δὲ Ϝέπεσσι] ἣ δ᾽ ἐπέεσσι Ar., sic aut ἠδ᾽ ἐπέεσσι mss. — De pron. ἣ δὲ vid. ad Α 191. || καθήπτετο Townl.[2]] καθάπτετο mss. cett.

128 μαινόμενε] δαιμόνιε Et. M. 68,46. || φρένας ἠλὲ] cf. β 243. || διέφθορας] perf. † (fut. Ν 625, simplex φθείρειν Φ 128 ρ 246); quod cum alias *perdidisti* significet, non *periisti*, quidam olim iungebant φρένας διέφθορας, fortasse recte. An *vocativus* aliqui latitat in διέφθορας? vid. β 243.

ἂψ ἴμεν' Οὔλυμπόνδε, καὶ ἀχνύμενός περ, ἀνάγκῃ, 133[b] cf. Μ 178
αὐτὰρ τοῖσ' ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὃ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
ἢ πέφατ' ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
πάντων ἀθανάτων ῥῦσθαι γενεήν τε τόκον τε." 141[b] = Η 128
ὣς ϝειποῦσ' ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα 'καλέσσατο δώματος ἐκτὸς
ϝῖρίν θ', ἥ τε θεοῖσι μέτ' ἄγγελος ἀθανάτοισι·
καί σφας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
„Ζεὺς σφῶ' εἰς Ἴδην κέλετ' ἐλθέμεν' ὅττι τάχιστα·
αὐτὰρ ἐπεί κ' ἔλθητε Διός τ' εἰς ὦπα ϝίδησθε,
ϝερδέμεν' ὅττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ."
ἢ μὲν ἄρ' ὣς ϝειποῦσα πάλιν 'κίε πότνια Ἥρη,
ἕζετο δ' ἐν θώκῳ· τὼ δ' ἀίξαντ' ἐπετέσθην. 150[a] cf. Θ 199
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν, 151 cf. Θ 47 [Δ 498
ηὗρον δ' εὐρύϝοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ 152[a] = Ω 98 cf.
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο. 152[b] = Ξ 352
'τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο
ἐστήτην· οὐδέ σφε ϝιδὼν ἐχολώσατο θυμῷ,
ὅττι ϝοι ὦκα ϝέπεσσι φίλης ἀλόχοι' ἐπιθέσθην.

147 sq. Aristoph. Ar. —

134 κακὸν μέγα πᾶσι] sic Aristoph., θεοῖς μέγα πῆμα (cf. § 60) Zen.
136 ὃ δ'] vid. ad Α 191.
138 ἑῆος] ἑῆος mss., ἑοῖο Zen.; vid. ad Α 393.
139 τοῦ γε Ar.] τοῦδε Zen. Aristoph., mss. utrumque.
141 *ἀθανάτων] ἀνθρώπων mss. — Non de cunctis mortalibus sed de solis *deorum* filiis sermonem esse docet contextus; correctioni fidem faciunt Π 449 Φ 187. || γενεήν τε τόκον τε] ad *sobolem* indicandam hae voces etiam ο 175 iunguntur, et sensu nonnihil diverso Η 128; praeterea sola vox γενεή eo sensu adhibita est Φ 191 δ 27.
144 ϝῖριν] ϝίριδα? vid. § 66. || μέτ' ἄγγελος] una voce Ar. et mss. nonnulla; cf. Ψ 199.
145 σφας § 92] σφεας mss. || ἔπεα] vid. ad vs. 35.
146 σφῶ' PKnight] σφὼ mss.; cf. Λ 574. Malumus *ὗμ(ε); cf. § 92.
147 ἐπεί κ' § 326] ἐπὴν mss.
148 ϝερδέμεν' § 125] ἔρδειν mss.
150 *ἐν θώκῳ] εἰνὶ θρόνῳ mss.; vid. ad Θ 199.
153 θυόεν] redit adi. h. Cer. 97, 319, 491, alias θυήεις (Θ 48 etc.) vel θυώδης (δ 121 etc.).
155 *ἐστήτην· οὐδέ σφε] στήτην· οὐδέ σφωιν mss. vitiose et immodulate; Heyne στήτην· οὐδέ σφωε. || θυμῷ] -μὸν D.
156 ὦκα ϝέπεσσι] ὦκ' ἐπέεσσι mss. || ἀλόχοι' ἐπιθέσθην] -χοιο π. mss.; cf. § 59.

Ϝῖριν δὲ προτέρην Ϝέπεα πτερόεντα προσηύδα·
„βάσκ' ἴθι, Ϝῖρι ταχεῖα· Ποσειδάωνι Ϝάνακτι 158ª = *Θ* 399
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο 160 cf. 176
ἔρχεσθαι μετα φῦλα θεῶν ἤ' εἰς ἅλα δῖαν. 161 = 177
εἰ δέ μοι οὐ Ϝεπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει, 162 cf. 178
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν, 163 cf. *α* 294
μή μ' οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ
μεῖναι, ἐπεὶ Ϝέο φημὶ βίῃ πολὺ φέρτερος εἶναι 165-167 cf. 181 sqq.
καὶ γενεῇ πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
Ϝῖσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.“ 167ª = *Λ* 187; 167ᵇ = *Η* 112
ὣς ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ϝῖρις, 168 sq. = *Λ* 195 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ϝίλιον ἱρήν.
ὡς δ' ὅτε κ' ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα
ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο, 171 cf. *Τ* 358
ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ϝῖρις. 172 cf. 83
ἄγχι δέ Ϝ' ἱσταμένη προσέφη κλυτὸν ἐνοσίγαιον·
„ἀγγελίην τινά τοι, γαιήοχε κυανοχαῖτα,
ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο.
παυσάμενόν σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο 176 cf. 160
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἤ' εἰς ἅλα δῖαν. 177 = 161
εἰ δέ Ϝοι οὐ Ϝεπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις, 178 cf. 162
ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίξων 179ᵇ cf. *Κ* 451 *Υ* 85 *Φ* 477

166 sq. Ar. —

157 *Ϝῖριν*] *Ϝίριδα*? vid. § 66.
159 *ψευδάγγελος*] †.
161 *ἔρχεσθαι*] *ἔρχεσθ' ἤ* mss. pauca.
162 *μοι*] l. a. *μου* ab Ammonio commemorata. ‖ *οὐ*] vid. ad *Γ* 289. ‖ *ἀλογήσει*] hic et vs. 178. Nauck *ἀπιθήσει* et *-σεις*, quoniam *λόγος* non est vox Homerica (vid. ad *O* 393).
163 *δὴ ἔπειτα*] *δήπειτα* mss. fere omnia; cf. § 9.
164 *ταλάσσῃ*] l. a. *θελήσῃ*.
165 *Ϝέο*] *εὑ* vel *εὗ* mss. pauca; cf. § 92.
169 *δὲ κατ'*] *δ' ἐξ* Zen.; cf. vs. 79.
170 *ὅτε κ'* § 326] *ὅτ' ἂν* mss. ‖ *πτῆται*] **πτάεται* (coll. *Λ* 348 etc.)? vid. § 216 et *Δ* 126.
171 *ὑπὸ*] *ὑπαὶ* mss. pleraque. ‖ *αἰθρηγενέος Βορέαο*] adi. nonnisi *Τ* 358 redit; coll. *ε* 296 coniecimus **Βορέα' αἰθρηγενέταο*, *clari Aquilonis*, qui dispulsis nebulis coelum serenat.
172 *διέπτατο*] cf. § 216.
173 **ἄγχι δέ Ϝ'(οι)*] *ἀγχοῦ δ'* mss.; cf. § 318. ‖ *ἐνοσίγαιον* § 21] *ἐννοσ.* mss.
176 *σ' ἐκέλευσε*] *σε κέλεται* A C Lips., unde Heyne *κέλεταί σε*.
177 *ἔρχεσθαι*] *ἔρχεσθ' ἤ* GZ.
178 *οὐ*] vid. ad *Γ* 289.
179 *καὶ κεῖνος*] sic Ar. Zen., *κἀκεῖνος* mss. pauca, cf. § 9. ‖ *πολεμίξων* Ar.] *πολεμίζων* Zen., mss. *π(τ)ολεμίξων* vel *π(τ)ολεμίζων*. Cf. *Ν* 644.

ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει
χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι 181-183 cf. 165 sqq.
καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
Ϝῖσόν Ϝοι φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς ἐνοσίγαιος· 184 cf. Θ 208
„ὢ πόποι, ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔϜειπε, 184ª = Λ 517
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀϜέκοντα καθέξει.
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓς 'τέκε 'Ρείη,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' ἈϜίδης, ἐνέροισι Ϝανάσσων·
τριχθὰ δέδασται πάντα, Ϝέκαστος δ' ἔμμορε τιμῆς·
ἤ τοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, ἈϜίδης δὲ 'λάχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τῷ ῥα καὶ οὔ τι Διὸς βίομαι φρεσὶν, ἀλλὰ Ϝέκηλος,
καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δεδϜισσέσθω.
θυγατέρεσσί τε γάρ Ϝε καὶ υἱάσι βέλτερον ἦεν
ἐκπάγλοισι Ϝέπεσσιν ἐνισσέμεν', οὓς ἔτεκ' αὐτὸς,
οἵ Ϝεθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ."
τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ϝῖρις·
„οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,

180 ὑπεξαλέασθαι] comp. † (ὑπαλ. ο 275, ἐξαλ. non obvium). || ἀνώγει] ἄνωγε (imperf., vid. § 225) mss. nonnulla non recte.

183 Ϝοι] ἐμοὶ Syr. vitio aperto; ἑοῖ Barnes non recte, nam *reflexiva* haec est forma, hinc autem aliena; cf. § 93. || τε] τοι C.

184 ἐνοσίγαιος § 21] ἐννοσ. mss.

186 ὁμότιμον] †.

187 τ' ἐκ] sic Ar., ἐκ vel τε mss. nonnulla. || τέκε 'Ρείη l. a. apud Eust.] τέκε 'Ρήη G, τέκε 'Ρέα Mosc. Vrat., τέκε 'Ρεία Pseudoplut. Vit. Hom. c. 97, τέκετο (τέτοκε Genev.) 'Ρέα mss. cett.; cf. Ξ 203 et § 8.

189 *δέδασται πάντα] δὲ πάντα δέδασται mss.; Bentley δέ πάντα δέδαστο non recte, requiritur enim perfectum (cf. ἔμμορε, § 271). Vulgatam imitatur Choerilus fr. 1 (apud Aristot. Rhetor. III 14 § 4).

192 εὐρὺν] sic Ar., αἰπὺν Zen. || ἐν] ἄμ' vHerwerden, quoniam coelum non in aethere est sed supra aethera (cf. Β 458 Π 364 sq.).

194 βίομαι § 194] βέομαι mss. — Sed *vivendi* verbum hinc alienum rati coniecimus *(γ') ὄθομαι coll. Α 180 Ο 107, 166, 182.

197 θυγατέρεσσί τε Fick] θυγατέρεσσιν mss. || *Ϝε … ἦεν] τε … εἴη mss., Nauck κε … εἴη. Indicativum scripsimus collato versu υ 331. || υἱάσι] l. a. υἱέσι. || βέλτερον Ar.] κάλλιον Aristoph., κέρδιον mss.; cf. Ο 226 Χ 108.

198 ἐκπάγλοισι Ϝέπεσσιν § 60] -οις ἐπέεσσιν mss. || ἔτεκ' PKnight] τέκεν mss.

201 οὕτω … δή] cf. Β 158. || γὰρ] τ' ἄρ Duentzer; vid. § 328^{2}.

ἤ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν. 203b cf. Ν 115
ϝοῖσθ᾽ ὡς πρεσβυτέροισιν ἐρινύες αἰὲν ἕπονται.“
205 τὴν δ᾽ αὖτε προσέϝειπε Ποσειδάων ἐνοσίχθων· 205 cf. ϑ 354
„ϝῖρι θεά, μάλα τοῦτο ϝέπος κατὰ μοῖραν ἔϝειπες· 206b = ϑ 141
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ᾽ ἄγγελος αἴσιμα ϝείδῃ.
ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, 208 = Θ 147
ὁππότε ϝισόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ 209b = Π 441 Χ 179
210 νεικείειν ἐθέλῃσι χολωτοῖσιν ϝεπέεσσι. 210 cf. Δ 241 χ 26, 225
211 ἀλλ᾽ ἦ τοι νῦν μέν γε νεμεσσηθεὶς ὑποϝείξω.“
218 ὣς ϝειπὼν ᾽λίπε λαὸν Ἀχαιικὸν ἐνοσίγαιος,
᾽δῦνε δὲ πόντον ἰών, ᾽πόθεσαν δ᾽ ἥρωες Ἀχαιοί.
220 καὶ τότ᾽ Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς· 220 = Π 666
„ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ᾽ Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος ἐνοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
224 ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι.
226 ἀλλὰ τόδ᾽ ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ ϝοι αὐτῷ
227 ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπέϝειξε.
229 ἀλλὰ σύ γ᾽ ἐν χείρεσσι λάβ᾽ αἰγίδα θυσανόεσσαν, 229b cf. Ε 738

212 ἄλλο δέ τοι ϝερέω, καὶ ἀπειλήσω τό γε θυμῷ·
εἰ μὲν ἄνευθ᾽ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης
Ἥρης θ᾽ Ἡφαίστου τε καὶ Ἑρμείαο ϝάνακτος
215 ϝιλίου αἰπεινῆς πεφιδήσεται, οὐδ᾽ ἐθελήσει
ἐκπέρσαι, δόμεναι δὲ μέγα κράτος Ἀργεΐοισι,
ϝίστω τοῦθ᾽, ὅτι νῶιν ἀνήκεστος χόλος ἔσται.
225 οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες. 225 cf. Ξ 274
228 χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γ᾽ ἐτελέσθη.
212—217 Ar. —

203 τι] τε Syr.
207 ϝείδῃ] Zen. εἴπῃ. — Cum sententia conferantur Pind. Pyth. IV 495 Aesch. Choeph. 773.
209 ὁππότε Bentley] ὁππότ᾽ ἂν mss.; vid. Π 53 et § 326. || ϝισόμορον] †.
211 νῦν μὲν] μὲν νῦν PKnight. || γε Ar. mss.] l. a. κε.
213 εἰ μὲν Thiersch] αἴ κεν mss. || ἄνευθ᾽ Nauck] ἄνευ mss.
214 θ᾽ Syr.] mss. cett. om. || Ἡφαίστου τε καὶ Ἑρμείαο l. a. in schol.] Ἑρμείω τε καὶ Ἡφαίστοιο mss.; cf. § 55.
216 δόμεναι § 125] δοῦναι mss.
218 ἐνοσίγαιος § 21] ἐννοσ. mss.
222 ἐνοσίγαιος § 21] ἐννοσ. mss.
223 αἰπὺν] αἰνὸν Nauck.
224 κε] τε mss. multa.
225] versum spurium, de quo vid. ad Ξ 274, eiecimus, quamvis conferri possit Υ 61-66. || ἐνέρτεροι] (ἐν)έρτατοι Zen.; νέρτεροι Herodian. et mss. complura; cf. Υ 57.
226 κέρδιον] κάλλιον Apoll. Pron. 54; cf. vs. 197.
227 ὑπέϝειξε] ὑπόειξεν mss.
228] del. Heyne. || κεν] τι D. || ἀνιδρωτί] †.
229 θυσανόεσσαν] θυσσ. mss. nonnulla minus recte; vid. § 21 et ad Β 448.

τὴν μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς·
σοὶ δ' αὐτῷ μελέτω, Ϝεκατηβόλε, φαίδιμος Ἕκτωρ· 231ᵃ = α 305
τόφρα γὰρ οὖν Ϝοι ἔγειρε μένος μέγα, ὄφρα κ' Ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται. 233 cf. Σ 150 Ψ 2
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι Ϝέργον τε Ϝέπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.“ 235ᵇ cf. Τ 227
ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων, 236 sq.ᵃ = Π 676 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἴρηκι ϜεϜοικὼς 237ᵃ = Λ 196
ὠκέι φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν. 237ᵇ = Π 582
ηὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, 239 = Λ 197
ἥμενον, οὐδ' ἔτ' ἔκειτο, νέον δ' ἐσαγείρετο θυμὸν, 240ᵇ cf. Φ 417
ἀμφὶ Ϝὲ γιγνώσκων ἑτάρους, ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
'παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο. 242ᵇ = ω 164
ἄγχι δέ Ϝ' ἱστάμενος προσέφη ϜεκάϜεργος Ἀπόλλων·
„Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
ἧσ' ἀλλοφρονέων; ἦ πού τί σε κῆδος ἱκάνει;“
τὸν δ' ὀλιγοδρανέων προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 246 = Χ 337
„τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην; 246ᵃ cf. Π 843
οὐκ ἀΐεις, ὅ με νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν 247ᵃ = Ζ 123
Ϝοὺς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς 'βάλεν Αἴας
χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἐγὼ γ' ἐφάμην νέκυας καὶ δῶμ' ἈϜίδαο
ἤματι τῷδ' ἵξεσθαι, ἐπεὶ φίλον ἦτορ ἄϊσθον.“

231—235 Aristoph. Ar. —

230 *τὴν*] *τῇ* mss. multa.

232 *ὄφρα κ'* § 326] *τόφρ' ἂν* Ar., sic aut *ὄφρ' ἂν* mss. De Aristarcho si recte traditum, in versu quem spurium existimabat corrigere noluit demonstrativum *τόφρα* pro relativo *ὄφρα* vitiose adhibitum, quales errores sedulo notare solebat; vid. *Ι* 447 *Μ* 75.

236 *ἀνηκούστησεν*] nonnisi loco par. redit; cf. *νηκουστέω* *Υ* 14.

238 *φασσοφόνῳ*] †. Ipsa vox *φάσσα*, qua columbarum species indicatur, apud Homerum non occurrit.

239 *ηὗρ' υἱὸν*] *εὗρε δ' υἱὸν* L, quod verum videtur, cf. *Δ* 327 *Λ* 197 et § 17.

240 *ἔτ' ἔκειτο*] *ἔτι κεῖτο* mss. || *ἐσαγείρετο*] sic Ar., *-ρατο* mss. complura.

243 **ἄγχι δέ Ϝ'(οι)*] *ἀγχοῦ δ'* mss.; cf. § 318.

244 *υἱὲ*] cf. § 17.

245 *ἧσ'*] *κεῖσ'* legisse videtur Aristoteles, vid. Metaph. III 5 De Anim. I 2; at cf. vs. 240. || *ἀλλοφρονέων* Aristot. l. l.] *ὀλιγηπελέων* mss. (vid. *Ο* 24 *ε* 457 *τ* 356), quod propter vicinum part. *ὀλιγοδρανέων* reiciendum esse vidit Naber. Participium *ἀλλοφρονέων* redit *Ψ* 698 *κ* 374; non ab adi. *ἄλλος alius* sed ab adi. *ἠλός* (Aeol. *ἆλλος*) *stolidus* (*Ο* 128) repetunt Fick Leaf Peppmueller coll. Theocr. XXVII 1 XXX 13, vid. etiam *Ψ* 144.

247 *σύ*] Bentley *σύ γ'*; vid. *Ζ* 123.

249 *ὀλέκοντα*] l. a. *στέλλοντα* (absurde).

252 *ἵξεσθαι* Ar.] *ὄψεσθαι* mss.; cf. *ρ* 448. ||

τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ ϜεκάϜεργος Ἀπόλλων·
„θάρσεε νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν, 255ᵇ = P 563 cf. Φ 231
Φοῖβον Ἀπόλλωνα χρυσάορα, ὅς σε πάρος περ
ῥύομ' ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι
νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐλαυνέμεν' ὠκέας ἵππους· 259ᵃ = E 327
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς.“ [P 456
ὣς Ϝειπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν. 262 = Υ 110 cf.
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ, 263-268 = Z 506 sqq.
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐυρρεέος ποταμοῖο,
κυδιάων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοισ' ἀίσσονται· ὃ δ' ἀγλαΐηφι πεποιθὼς,
ῥίμφα Ϝε γοῦνα φέρει μετὰ Ϝήθεα καὶ νομὸν ἵππων·
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα 269 cf. X 24
ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν. 269ᵇ cf. K 358 270ᵇ = β 297
οἳ δ', — ὥς τ' ἢ ἔλαφον κεραὸν ἠ' ἄγριον αἶγα 271ᵇ = Γ 24
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται, 272 = Δ 549
τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
ἐρρύατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν,
τῶν δέ θ' ὑπὸ ϜιϜαχῆς ἐφάνη λὶς ἠυγένειος 275ᵇ cf. P 109 Σ 318 δ 456
εἰς ὁδὸν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας, —
ὣς Δαναοὶ τῆος μὲν ὁμιλαδὸν αἰὲν ἕποντο, 277 cf. P 730
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι· 278 = N 147 P 731

265—268 Ar. —, 265 Zen. —

ἦτορ ἄισθον vHerwerden coll. Π 468 Υ 403] ἄιον ἦτορ mss. vitiose, nam quid sit ἄιον patet e versu vicino vs. 248.

253 ϜεκάϜεργος] Διὸς υἱὸς C Lips.; cf. Υ 103 Φ 461.

254 θάρσεε § 191] -σει mss.

256 χρυσάορα Naber] -ρον mss.; cf. E 509. || περ A[1]] γε mss. cett.; cf. N 465.

260 sq. κέλευθον | πᾶσαν λειανέω] κελεύσω | ἐς μόθον διιέναι (?— Christ ἐς μῶλόνδ' ἰέναι) C[1].

263-268] vid. ad Z 506 sqq.

269 γούνατ'] l. a. γυῖα (metro invito).

270 ὀτρύνων] l. a. ὀτρυνέων (non male).

272 ἐσσεύαντο' Ar.] -οντο mss. — De medii forma vid. ad Γ 26.

274 *ἐρρύατ'(ο)] εἰρύσατ' mss. In vulgata vitiosum est ῠ (cf. vs. 290 et § 164), sed in ἐρρύατο iure corripitur, cf. § 17. Idem vitium sustulimus Δ 186. Nauck ῥύσατο. || τέ σφι] in schol. V corrupte affertur l. a. ταῖσφιν (i. e. τοί σφι? Ludwich corrigit τέ σφι, ratus lemma olim praefixum fuisse τί σφι, quod in textu habent Z Vat.).

275 ἠυγένειος] epitheton redit l. parall. et h. XVIII 39.

277 τῆος § 323] τείως Zen., εἵως Ar. mss.

αὐτὰρ ἐπεὶ ’Ϝίδον Ἕκτορ’ ἐποιχόμενον στίχας ἀνδρῶν,
’τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
τοῖσι δ’ ἔπειτ’ ἀγόρευε Θόας Ἀνδραίμονος υἱός,
Αἰτωλῶν ὄχ’ ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
ἐσθλὸς δ’ ἐν σταδίῃ, ἀγορῇ δέ Ϝε παῦροι Ἀχαιῶν
’νίκαον, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι· 286 = N 99
οἷον δ’ αὖτ’ ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ· ἦ θήν μιν μάλ’ ἐϜέλπετο θυμὸς ἑκάστου
χερσὶν ὕπ’ Αἴαντος θανέμεν Τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο ἠδ’ ἐσάωσε 290[b] cf. χ 372
Ἕκτορ’, ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ’ ἔλυσε, 291[b] cf. ξ 69
ὡς καὶ νῦν ἔσσεσθαι ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ’ ἄγεθ’, ὥς κεν ἐγὼ Ϝείπω, πειθώμεθα πάντες. 294 = B 139
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι,
αὐτοὶ δ’, ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ’ εἶναι,
στήομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ’ ἀνασχόμενοι· τὸν ὀίω καὶ μεμαῶτα 298[a] = Λ 594
θυμῷ δϜείσεσθαι Δαναῶν καταδύμεν’ ὅμιλον.“
ὣς ἔφαθ’, οἳ δ’ ἄρα τοῦ μάλα μὲν ’κλύον ἠδ’ ἐπίθοντο. 300 = H 379
οἳ μὲν ἄρ’ ἀμφ’ Αἴαντα καὶ ’Ιδομενῆα Ϝάνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ’ ἀτάλαντον Ἄρηι,
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω

280] in schol. apte confertur Demosth. Halonn. § 45 *εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον … μὴ ἐν ταῖς πτέρναις … φορεῖτε.*

282 *ἄκοντι*] *ἄκοντος* vHerwerden coll. φ 406 Π 811 etc.

284 *’νίκαον* § 191] *νίκων* mss. || *περὶ μύθων*] insolite dictum pro *μύθοισι* (*consiliis*, ut H 358 etc.); cf. ϑ 225.

288 *μάλ’ ἐϜέλπετο*] *μάλα ἔλπετο* mss. || *ἑκάστου*] neglecto Ϝ.

289 *θανέμεν* Lips.] *θανέειν* mss. cett.; cf. § 126.

290 *ἠδ’(ἐ)* Bekker coll. K 44 κ 286] *καὶ* mss. De hiatu post *καί* vid. ad. Ω 60. Gerhard *καί ἑ σάωσεν* (*Ϝ’ ἐσάωσε*) proposuit, non male (vid. ξ 279), si deleatur vs. 291, quod suasit Leaf. PKnight del. vs. 290-293.

294 *κεν* § 326] *ἂν* mss.

295 *ποτὶ*] *προτὶ* C L.

297 *στήομεν* § 122] *στείομεν* mss. || *εἴ κε*] *ὥς κεν* A Harl.; Bentley *εἴ Ϝε*.

298 **τὸν ὀίω*] *τὸν δ’ οἴω* mss.; cf. § 295. An **ὀίω δέ Ϝε*?

299 *καταδύμεν’* § 125] *-δῦναι* mss.

301 *Αἴαντα*] *-ντε* Zen. Aristoph. et mss. quaedam. Cf. K 53 M 342 P 626.

302] post vs. 303 posuit Doederlein, fortasse recte.

ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προέτυψαν ἀϝολλέες, ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ — 306 = Ν 136
μακρὰ βιβάς· πρόσθεν δὲ ᾽κί᾽ αὐτοῦ Φοῖβος Ἀπόλλων
ϝειμένος ὤμοιιν νεφέλην, ἔχε δ᾽ αἰγίδα θοῦριν,
δϝεινὴν ἀμφιδάσειαν ἀριπρεπέ᾽, ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Δι᾽ ἔδωκε φορήμεναι εἰς φόβον ἀνδρῶν·
τὴν ἄρ᾽ ὅ γ᾽ ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ᾽ ὑπέμειναν ἀϝολλέες, ὦρτο δ᾽ ἀυτὴ — 312 cf. Ε 498
ὀξεῖ᾽ ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ᾽ ὀιστοὶ — 313b cf. Ν 585
᾽θρῷσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν — 314 sq. cf. Λ 571
ἄλλα μὲν ἐν χρό᾽ ἐπήγνυτ᾽ ἀρηιθόων αἰζηῶν, — 314b = Λ 553 [sq. 315 cf. Θ 298
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν, — 316 sq. = Λ 573 sq.
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ᾽ ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἥπτετο, ᾽πίπτε δὲ λαός. — 319 = Θ 67
αὐτὰρ ἐπεὶ κατ᾽ ἐνῶπα ϝιδὼν Δαναῶν ταχυπώλων
᾽σεῖσ᾽, ἐπὶ δ᾽ αὐτὸς ἄυσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε, ᾽λάθοντο δὲ θούριδος ἀλκῆς. — 322b = Π 357
οἳ δ᾽, ὥς τ᾽ ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ᾽ οἰῶν — 323b = μ 299 cf. Λ 696
θῆρε δύω κλονέωσι μελαίνης νυκτὸς ἀμολγῷ,
ἐλθόντ᾽ ἐξαπίνης σημάντορος οὐ παρεόντος,
ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
ὦρσε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε. — 327b = Μ 255
ἔνθα δ᾽ ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης. — 328 = Π 306
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,

---

306 *προέτυψαν*] *προύτ.* mss.

307 *βιβάς*] *βοῶν* Zen., *βιβῶν* vel *βιβών* mss. quaedam, quae lectio in schol. Aristarcho tribuitur, vix tamen iure, vid. *Η* 213 *Ν* 371 et ad *Μ* 277. || *αὐτοῦ*] *-τόο*? vid. § 59.

308 *ὤμοιιν*] *-σιν* mss. complura. || *αἰγίδα*] l. a. *ἀσπίδα*.

309 *ἀμφιδάσειαν*] †. Quid h. l. significet minus certum, quoniam *utrinque hirsuta* aegis dici non potest; schol. *circacircum fimbriatam* (cf. *Β* 447 sqq.) intellegit.

310 *Δι᾽ ἔδωκε*] *Διὶ δῶκε* mss.

315 *χρό᾽ ἐπήγνυτ᾽*] *χροῒ πήγνυτ᾽* mss.

316 *λευκὸν*] *καλὸν* G.

317 *ἐν γαίῃ ἵσταντο*] Nauck *γαίῃ ἐνεστήρικτο* coll. *Φ* 168.

320 *ἐνῶπα*] †; vid. ad *ψ* 94.

322b] *φόβου δ᾽ ἐμνήσατο Ἕκτωρ* Galen. V 298.

323 *οἰῶν*] cf. § 74.

324 *κλονέωσι*] *-ουσι* mss. multa. || *νυκτὸς ἀμολγῷ*] cf. *Λ* 173.

325 *σημάντορος*] nonnisi h. Ap. 542 Merc. 367 Cer. 131 redit. Cf. *ἀσήμαντος* *Κ* 485 et *σημαίνειν* *Λ* 289 etc.

327 *ὦρσε] *ἧκε* mss. Fuga *immitti* vix recte dicitur; vid. *Θ* 335 *Λ* 544 *Ξ* 522 *Σ* 218 *Υ* 93 (= *Χ* 204) et ad *Λ* 11, 402. Redit vitium *Π* 291. Vulgatam ut tueatur vHerwerden vocem *φόβος* hic more recentiorum *metus* sensu adhibitam esse statuit, item *Ν* 470; confert *Π* 449 *Ρ* 570 *Υ* 80 etc.

τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον·
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξε·
ἦ τοι ὃ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο — 333-336 = *N* 694 sqq.
ἦσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιε
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς,
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀιλεύς·
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸς δὲ Σφήλοιο 'καλέσκετο Βουκολίδαο.
Μηκιστῆα δὲ Πολυδάμας, Ἐχίον δὲ Πολίτης
πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ.
Δηίοχον δὲ Πάρις 'βάλε νείατον ὦμον ὄπισθε
φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε. — 342ᵇ = *N* 388
 ὄφρ' οἳ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ — 343ᵃ = *M* 195
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ — 344 cf. *M* 72
ἔνθα καὶ ἔνθ' ἐφέβοντο, 'δύοντο δὲ τεῖχος ἀνάγκῃ.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας· — 346 = *Z* 110
 „νηυσὶν ἐπισσεύεσθ', ἐάειν δ' ἔναρα βροτόεντα· — 347ᵇ cf. *P* 13
ὃν δέ κ' ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω, — 348 cf. *B* 391
αὐτόθι ϝοι θάνατον μητίσομαι, οὐδέ κε τόν γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ϝερύουσι πρὸ ϝάστεος ἡμετέροιο."
 ὣς ϝειπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσι κατὰ στίχας. οἳ δὲ σὺν αὐτῷ
πάντες ὁμοκλήσαντες ἔχον ϝερυσάρματας ἵππους
ϝηχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων

---

330 χαλκοχιτώνων] καρτεροθύμων Vrat. Mosc. et olim alii.

333 Ὀιλῆος] ὁ Ἰλῆος Zen. more suo; vid. ad *B* 527.

334 ἦσκε] ἔσκε mss.

339 Μηκιστῆα δὲ Brandreth coll. χ 266] Μηκιστῆ δ' ἕλε mss. pleraque, -στῆν vel -στὴν δ' ἕλε cett.; cf. § 76. Peppmueller Πο(υ)λυδάμας δ' ἕλε Μηκιστῆ', fortasse recte. || Πολυδάμας § 21] Πουλ. mss.

342 προμάχοισι] l. a. πυμάτοισι.

344 ἐνιπλήξαντες] vid. ad *M* 72.

345 ἔνθ' ἐφέβοντο] ἔνθα φέβοντο mss. || τεῖχος] νῆας Koechly coll. vs. 347 et 655 sq.; vid. ad vs. 736.

347 ἐπισσεύεσθ'(ε), ἐάειν Fick] -σθαι, ἐᾶν mss., -σθον ἐᾶν Zen. noto errore. Cf. *Γ* 459 *E* 606.

348 δέ κ' § 326] δ' ἂν mss.

349 αὐτόθι § 322] αὐτοῦ mss. || *κε] νυ mss. Cf. *Δ* 93.

351 ϝερύουσι] cf. § 147.

352] notatu dignum Hectorem vs. 269, 307 currum nondum conscendisse. || κατωμαδὸν] *de humero*, i. e. brachii magno impetu. Redit adv. *Ψ* 500, et adi. κατωμάδιος *Ψ* 431 (Callim. h. Cer. 45 Arat. Phaen. 29 Mosch. epigr.); cf. κατ' ὤμου Herod. Mimiamb. III 3, *catomidiare* Petron. 132 Spart. Hadrian. 18.

353 κατὰ edd. ante Heynium] ἐπὶ mss.; cf. *Δ* 91.

ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
εἰς μέσσον κατέβαλλε, 'γεφύρωσεν δὲ κέλευθον 357b cf. Φ 245
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ 358b = Φ 251
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἥῃ. 359 cf. Π 590 Ψ 432
τῇ ῥ' οἵ γε προχέοντο φαλαγγηδὸν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν 361a cf. Β 447
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάις ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιίηφι,
ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὥς ῥα σὺ, ἤιε Φοῖβε, πολὺν κάματον καὶ ὀιζὺν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.

ὣς οἳ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες, 367b-369 = Θ 345 sqq.
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' ηὐχετάοντο Ϝέκαστος·
Νέστωρ αὖτε μάλιστα γερήνιος, οὖρος Ἀχαιῶν, 370 = 659 cf. Θ 80
ηὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα· 371 = ι 527
„Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρία καίων 373 cf. δ 764
ηὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας, 374b = ν 133 cf. Β 112
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.“ 376 = Θ 244
ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητιέτα Ζεὺς
ἀράων ἀίων Νηληιάδαο γέροντος.
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ' Ἀργείοισ' ἔθορον, 'μνήσαντο δὲ χάρμης. 380 cf. Θ 252
οἳ δ', ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ

---

356 *ποσσὶν*] *χερσὶν* Zen.

359] damnat IMenrad coll. Φ 251. || **ἥῃ*] *ἵ(ι)σιν* mss.; cf. § 122.

360 *φαλαγγηδὸν*] † (*φάλαγγα* etc. saepius legitur).

361 *ἐρίτιμον*] *πολύτιμον* D.

363 *ἀθύρματα*] vocabulum (*ludicrum, mundus*) redit ο 416 σ 323 h. Merc. 32, 40, 52 Cer. 16. || **νηπιίηφι*] *-έῃσι* mss.

364 *ἀθύρων*] redit verbum h. Merc. 152, 485 h. XVIII 15, cf. *ἄθυρμα* (Ο 363 etc.).

365 *ἤιε*] *ἥιε* Ar., *iaculatorem* (a verbo *ἱέναι*) interpretatus. Epitheton ignotae originis Υ 152 h. Ap. 120 redit.

369 *μεγάλ'*] *μέγα δ'* Nicanor ad Θ 347, ubi vid. || *ηὐχετάοντο* § 191] *εὐχετόωντο* mss.

370 *αὖτε*] *δ' αὖτε* Syr. || *γερήνιος*] cf. Β 336.

373 *ὄιος*] *οἰὸς* H et l. a. in schol.; cf. § 74 et Γ 198.

377 *ἔκτυπε*] *ἔκλυε* Zen. male.

379 *κτύπον*] *νόον* Syr.? Sic legisse videtur paraphrasta, fortasse recte.

380 *Ἀργείοισ' ἔθορον*] *-σι θόρον* mss.

ϝὶς ἀνέμοἰ — ἣ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει —,
ὣς Τρῶες μεγάλῃ ϝιϝαχῇ κατὰ τεῖχος ἔβαινον,
ἵππους δ' εἰσελάσαντες ἐπὶ 'πρύμνῃσ' ἐμάχοντο
ἔγχεσιν ἀμφιγύοισ' αὐτοσχεδὸν, οἳ μὲν ἀφ' ἵππων,
οἳ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα ϝειμένα χαλκῷ.

Πάτροκλος δ', ἧος μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφ' ἐμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅ γ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε ϝέπεσσ', ἐπὶ δ' ἕλκεϊ λυγρῷ
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων.
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησε 395 cf. Μ 143
Τρῶας, ἀτὰρ Δαναῶν 'γένετο ϝιϝαχή τε φόβος τε, 396 = Μ 144
δή ῥα τότ' ᾤμωξεν καὶ ἑϝὼ 'πεπλήγετο μηρὼ 397 sq. = ι 198 sq. 397 = Μ 162
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δὲ προσηύδα· 397^{b} sq. = 113 sq.
„Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
ἐνθάδε παρμενέμεν, δὴ γὰρ μέγα νεῖκος ὄρωρε· 400^{b} = Ν 122
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς ϝοῖδ' εἴ κέν ϝοι σὺν δαίμονι θυμὸν ὀρίνω 403 cf. Λ 792
παρϝειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου." 404 = Λ 793
τὸν μὲν ἄρ' ὣς ϝειπόντα πόδες 'φέρον· αὐτὰρ Ἀχαιοὶ 405 cf. Σ 148
Τρῶας ἐπερχομένους 'μένον ἔμπεδον, οὐδ' ἐδύναντο
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν·

---

383 ἀνέμοἰ(ο) D] -μου mss. cett.; cf. § 59.
384 ἔβαινον] ἔβησαν A^{2} C^{2}.
385 πρύμνῃσ' ἐμάχοντο] -σι μάχ. mss.
386 sq. οἳ μὲν..τοὶ δ'] *hi* (*Troiani*)... *illi* (*Graeci*).
387 ἐπιβάντες] ἀποβ. Ambr.
388 μακροῖσι] cf. vs. 677.
389 ναύμαχα] adi. nonnisi vs. 677 redit. ‖ κολλήεντα] ✝; cf. vs. 678. ‖ χαλκῷ] -κόν Ambr. Z.
390 ἧος § 323] εἵως mss.
391 τείχεος] *τείχεϊ? vid. § 316[1]. Idem valet de Π 496, 533 Σ 20.
393 ϝέπεσσ' vHerwerden, vid. α 56 et ad Ο 162] λόγοις Ar. mss., l. a. λούων (λόων Nauck, cf. § 295).
394 ἀκέσματ' DLips.] ἀκήματ' Herodian. Apoll. lex. et mss. cett., Ar. utrumque. Vox ✝.
395 τεῖχος] νῆας Nitzsch; vid. ad vs. 736.
397 δή ῥα τότ' ᾤμωξεν καὶ ἑϝὼ] ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ mss.; e loco par. correxit Bekker.
398 δὲ προσηύδα] δ' ἔπος ηὔδα Ar. et mss. nonnulla; cf. vs. 114.
400 παρμενέμεν] cf. § 126.
401 ποτιτερπέτω] comp. ✝.
403 τίς Bentley] τίς δ' mss.
404 παραίφασις] vid. ad Λ 793.

οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι κλισίῃσι μιγήμεναι ἠδὲ νέεσσι.
ἀλλ᾽ ὥς τε στάθμη δόρυ νήιον ἐξιθύνει
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
εὖ Ϝείδῃ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης, 412ᵇ = π 233
ὥς μὲν τῶν ἐπὶ Ϝῖσα μάχη ᾽τέτατο πτόλεμός τε· 413 = Μ 436
ἄλλοι δ᾽ ἀμφ᾽ ἄλλῃσι μάχην ἐμάχοντο νέεσσι. 414 cf. Μ 175
Ἕκτωρ δ᾽ ἄντ᾽ Αἴαντος ἐϜίσατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδ᾽ ἐδύναντο
οὔθ᾽ ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
οὔθ᾽ ὃ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ᾽ ἐπέλασσέ γε δαίμων. 418 cf. Μ 420, 418ᵇ = Φ 93
ἔνθ᾽ υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
πῦρ εἰς νῆα φέροντα, κατὰ στῆθος ᾽βάλε δουρί· 420ᵇ sq.ᵃ = Ν 186 sq.
᾽δούπησεν δὲ πεσών, δαλὸς δέ Ϝοι ἔκπεσε χειρός.
Ἕκτωρ δ᾽ ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσι
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας· 424 sq. = Λ 285 sq.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
ἀλλ᾽ υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.“ 428 = Π 500
ὣς Ϝειπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
τοῦ μὲν ἅμαρθ᾽, ὃ δ᾽ ἔπειτα Λυκόφρονα, Μάστορος υἱόν,
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ᾽ αὐτῷ
᾽ναῖ᾽, ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,
τόν ῥ᾽ ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέι χαλκῷ,
ἑσταότ᾽ ἄγχ᾽ Αἴαντος· ὃ δ᾽ ὕπτιος ἐν κονίῃσι 434ᵇ = Δ 522
νηὸς ἄπο πρυμνῆς χαμάδις ᾽πέσε, ᾽λύντο δὲ γυῖα. 435ᵇ = Η 16
Αἴας δ᾽ ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· 436 cf. 466
„Τεῦκρε πέπον, δὴ νῶιν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶι Κυθηρόθεν ἔνδον ἐόντα 438ᵇ cf. Ν 363

---

409 *ἠδὲ* l. a. in schol.] *οὐδὲ* mss.; cf. vs. 511.
411 *παλάμῃσι*] *-μηφι*? vid. ad *E* 594.
412 *σοφίης*] redit vox h. Merc. 483, 511 (adiectivo *σοφός* poeta non utitur). || *ὑποθημοσύνῃσιν*] vox nonnisi versu par. redit; cf. *ὑποτίθεσθαι* α 279 alibi.
415 *ἐϜίσατο* § 201] *ἐείσατο* mss.
417 *νῆας*] *νῆα* Ar.
421 *δαλὸς*] vid. ad *N* 320.
423 *νεὸς*] *νεὼς* mss. nonnulla.
427 *σαώσατε*] *-σομεν* schol. *E* 266.
430 *ὃ δ᾽*] vid. ad *Α* 191. || *Μάστορος*] *Μήστορος* C.

Ϝῖσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ — 440b sq.a cf. E 171
ὠκύμοροι καὶ τόξον, ὅ τοι 'πόρε Φοῖβος Ἀπόλλων;" — 441b cf. Λ 72
ὣς 'φάθ', ὃ δὲ ξυνέηκε, θέων δέ Ϝοι ἄγχι παρέστη — 442a = B 182
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην — 442b = 649; 443 cf. φ 59
ἰοδόκον· μάλα δ' ὦκα βέλος Τρώεσσιν ἐφίει,
καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱὸν,
Πολυδάμαντος ἑταῖρον ἀγανοῦ Πανθοΐδαο,
ἡνία χερσὶν ἔχοντα· ὃ μὲν 'πεπόνητο καθ' ἵππους·
τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖσται 'κλονέοντο φάλαγγες, — 448b = Λ 148
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ — 449 sq. = P 291 sq.
ἦλθε κακὸν, τό Ϝοι οὔ τις ἐρύκακε Ϝιεμένων περ.
αὐχένι γάρ Ϝοι πρόσθε πολύστονος ἔμπεσεν ἰός·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ Ϝοι ἵπποι — 452 = Θ 122
κείν' ὄχεα κροτέοντε. Ϝάναξ δ' ἐνόησε τάχιστα — 453a cf. Λ 160 h. Ap. 234
Πολυδάμας, καὶ πρῶτος ἐναντίος ἤλυθεν ἵππων· — 454b cf. Ξ 278
τοὺς μὲν ὃ Ϝαστυνόῳ Προτιάονος υἱέ' ἔδωκε,
πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἰσχέμεν' εἰσοράοντα
ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη. — 457 cf. E 134
Τεῦκρος δ' ἄλλον ὀιστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῇ — 458a = Θ 309
459 ἤνυτο, καί κέ Ϝ' ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
461 ἀλλ' οὐ 'λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσε
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπέϜρα,
ὅς Ϝοι ἐυστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ

460 εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.
449—451 Ar. —

439 τοκεῦσιν] τέκεσσιν Zen.
441 τόξον] cf. B 827.
444 βέλος Christ] βέλεα vel βέλη mss.; vid. § 71. Numerum singularem tuetur versus 458.
446 Πολυδάμαντος § 21] Πουλ. mss.
450 Ϝιεμένων] ἱεμένῳ mss. nonnulla male, Ar. utrumque. Ernesti dubitanter ἱέμενος, quod verum videtur. Cf. P 292.
451 πρόσθε (*prius*) Aristoph.] ὄπισθε mss., quod absurdum ducens de iuvene in hostes irruenti, neque Τρώεσσι χαριζόμενος vs. 449 ferens de uno ex ipsis Troianis dictum, Ar. obelis notavit vs. 449-451.
452 ἵπποι] Bentley ἵππω.
453 κροτέοντε Bentley] -ντες mss. — Verbum redit h. Ap. 234.
454 Πολυδάμας G] Πουλ. mss. cett.; cf. § 21. || ἐναντίος] -ον mss. nonnulla.
455 ὃ Bentley] ὅ γ' mss. || υἱέ' ἔδωκε] υἱέι δῶκε mss.
456 ἰσχέμεν' § 125] ἴσχειν mss. || εἰσοράοντα § 191] -ρόωντα mss.
459 ἤνυτο] αἴνυτο mss. || *κέ Ϝ'] κεν mss. || μάχης Zen.] μάχην Aristoph., mss. utrumque. Cf. vs. 15.
460] insulsum versum, quem peperit praecedentis mala lectio κεν … μάχην, delevit Bentley.
462 ἀπέϜρα § 150] ἀπηύρα mss.

'ρῆξ' ἐπὶ τῷ Ϝερύοντι· παρεπλάγχθη δέ Ϝοι ἄλλη
ἰὸς χαλκοβαρής, τόξον δέ Ϝοι ἔκπεσε χειρός. 465ᵇ = Θ 329
Τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα· 466 cf. 436
„ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει 467ᵇ cf. Π 120
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
πρώιον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀιστούς.“
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
„ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ
μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς. 475ᵇ = Τ 139
μὴ μὰν ἀσπουδεί γε δαμασσάμενοί περ ἕλοιεν 476ᵃ = Θ 512
νῆας ἐυσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.“ 477ᵇ = χ 73
ὣς 'φάθ', ὃ δ' αὖ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκε,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος 'θέτο τετραθέλυμνον, 479 cf. χ 122
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκε, 480 = Γ 336
482 *εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,* 482 = Κ 135; 482ᵃ = Γ 338
'βῆ δ' ἴμεναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς ἔϜιδεν Τεύκρου βλαφθέντα βέλεμνα, 484ᵇ = 489
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας· 485-487 = Λ 285 sqq.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ 'Ϝίδον ὀφθαλμοῖσι
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα. 489ᵇ = 484
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή, 490ᵃ = δ 207 cf. ζ 108, 300 ρ 265
ἠμὲν ὀτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ, 491ᵇ cf. 644

481 *ἵππουριν· δϜεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.* 481 = Γ 337

464 *τῷ*] pendet ab *ἐπὶ...Ϝερύοντι*; cf. vs. 458.

467 *πόποι*] l. a. *πέπον*, cf. Ν 222 Ρ 171.

469 *νεόστροφον*] †, *ἐύστροφον* Z et l. a. in schol.; *νεοστρεφέ'* schol. Θ 328, quod verum videtur. *Novum* nervum cur adhibeat apparet Θ 328.

470 *πρώιον*] *πρῴην* Zen. non recte, pridie enim Teucrum vulneratum (vid. Θ 328 sqq.) novum nervum adhibuisse veri est dissimile; utramque lectionem novit Ar. Vox *πρώιον* †.

473] del. Nauck; vid. ad Υ 312.

478 *δ' αὖ*] *δὲ* mss. pleraque.

479 *τετραθέλυμνον*] i. e. *τετράπτυχον* vel *τετραβόειον*; vox nonnisi versu par. redit; vid. ad Ι 541.

481] om. mss. pleraque.

483 *ἴμεναι* § 125] *ἴεναι* mss.

491 *ὀτέοισιν*] l. a. *ὅτοισιν*, utrumque novicium, vid. § 8 et 102; forma non redit. Coniecimus **ὅσοισιν* vel **ὅτε σφιν*. || *ὑπέρτερον*] cf. Λ 290.

ἠδ᾽ ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
ὡς νῦν Ἀργεΐων μινύθει μένος, ἧμι δ᾽ ἀρήγει.
ἀλλὰ μάχεσθ᾽ ἐπὶ νηυσὶν ἀϝολλέες· ὃς δέ κεν ὕμων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ, 495b = B 359
τεθνάτω· οὔ ϝοι ἀϝεικὲς ἀμυνομένῳ περὶ πάτρης 496b cf. M 243
τεθνάμεν᾽· ἀλλ᾽ ἄλοχός τε σάη καὶ παῖδες ὀπίσσω,
καὶ ϝοῖκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην εἰς πατρίδα γαῖαν.“ 499 = H 460
ὣς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου. 500 = E 470
Αἴας δ᾽ αὖθ᾽ ἑτέρωθεν ἐκέκλετο ϝοῖσ᾽ ἑτάροισι· 501 cf. N 489
„αἰδώς, Ἀργέιοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι 502a = E 787
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ϝέλπεσθ᾽, αἴ κεν νῆας ἕλῃ κόρυθ᾽ αἰόλος Ἕκτωρ,
ἐμβαδὸν ἵξεσθαι ϝὴν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει; 507 cf. Θ 235
οὐ μὰν εἴς γε χορὸν κέλετ᾽ ἐλθέμεν᾽, ἀλλὰ μάχεσθαι.
ἧμιν δ᾽ οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε·
βέλτερον ἐξαπολέσθαι ἕνα χρόνον οὐδὲ βιῶναι,
ἢ δϝηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηιοτῆτι.“ 512a = μ 351

513 ὧδ᾽ αὔτως παρὰ νηυσὶν ὑπ᾽ ἀνδράσι χειροτέροισι.

492 ὅτινας] accusativi forma non redit. || μινύθῃ τε] -θῃσι Syr. Vrat. et Apoll. Coni. 502.

493 ἧμι § 92] ἄμμι mss.

494 νηυσὶν ἀϝολλέες] νηυσὶ διαμπερὲς Lycurg. Leocr. 103. || ὕμων § 92] ὑμέων mss.; Bentley ἡμέων (ἧμων).

497 σάη § 62] σόη mss. || παῖδες ὀπίσσω] νήπια τέκνα Lycurg. l. l.

498 sq.] del. WRibbeck.

498 ϝοῖκος καὶ κλῆρος] κλῆρος καὶ οἶκος Lycurg. l. l. || ἀκήρατος] *integer*; redit adi. eodem sensu ρ 532, Ω 303 autem *limpidum* significat.

500 θυμόν τε Bentley] καὶ θυμὸν mss.

502 ἄρκιον] i. e. ἑτοῖμον, cf. B 393.

504 *ϝέλπεσθ᾽, αἴ κεν] ἦ ἔλπεσθ᾽, ἢν mss.

505 ἐμβαδὸν] †. Cum toto versu cf. α 173. || ἕκαστος] neglecto ϝ; Bentley ποσσὶ ϝέκαστος vel γαῖαν ἅπαντες (hoc male, nisi εἰς π. γ. scribas).

509 sq. τοῦδε … ἢ] cf. ζ 182 sq.

510 αὐτοσχεδίῃ] -ίην Harl. et l. a. in schol.; vid. M 192 et ad N 325.

511 sq.] cf. μ 350 sq.

511 ἐξαπολέσθαι … οὐδὲ Nauck] ἢ ἀπολέσθαι … ἠὲ mss. sine sensu, nam vs. 512 ἤ non *aut* significat sed *quam* (cf. μ 351), neque Aristarchum hoc fugit. De comp. ἐξαπολέσθαι (*funditus perire*) vid. Z 60, et de οὐδέ (μηδέ) - ἠδέ - ἠέ etc. inter se confusis cf. H 279 Θ 349 I 381 O 409 P 42 T 262. Locum imitatur Aesch. Prom. 750 sq.

512 στρεύγεσθαι] *tergiversari*, hic et vs. parall.; cf. στραγγεύομαι Aristoph. Nub. 131 et lat. *stringere, strangulare*. Posteri κακοπαθεῖν, καταπονεῖσθαι interpretati sunt, vid. Apoll. Rh. IV 384, 619, 1056; hinc natus est vs. 513.

513] om. H in textu, del. PKnight; sine causa vero Bekker simul damnavit vs. 511 sq., qui non delendi erant sed corrigendi.

ὣς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου. 514 = *E* 470
ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱόν, 515 cf. *P* 306
ἀρχὸν Φωκήων, Αἴας δ' ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πολυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλεΐδα' ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῷ δὲ Μέγης ἐπόρουσε ϝιδών· ὃ δ' ὕπαιθ' ἐλιάσθη
Πολυδάμας. καὶ τοῦ μὲν ἀπήμβροτεν, — οὐ γὰρ Ἀπόλλων
εἴαε Πανθόου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι, —
αὐτὰρ ὅ γε Κροῖσμον στῆθος μέσον οὔτασε δουρί. 523ᵇ = *N* 438
'δούπησεν δὲ πεσών, ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα. 524ᵇ = *X* 368 cf. *Z* 28
τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς ἐὺ ϝειδώς,
Λαμπιάδης, ὃν Λάμπος ἐγείνατο φέρτατον υἱόν,
Λαομεδοντιάδης, ἐὺ ϝειδότα θούριδος ἀλκῆς· 527ᵇ cf. *Λ* 710
ὃς τότε Φυλεΐδαο μέσον σάκος οὔτασε δουρὶ 528 cf. *H* 258 *N* 646
ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ ϝοι ἤρκεσε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῖ' ἄπο Σελλήεντος. 531ᵇ = *B* 659
ξεῖνος γάρ ϝοι ἔδωκε ϝάναξ ἀνδρῶν Εὐφήτης
εἰς πόλεμον φορέειν δηίων ἀνδρῶν ἀλεωρήν· 533ᵇ = *M* 57
ὅς ϝοι καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον. 534 cf. *N* 440
τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
κύμβαχον ἀκρότατον 'νύξ' ἔγχεϊ ὀξυόεντι,
'ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶξε
κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.

---

514 *θυμόν τε* Bentley] *καὶ θυμὸν* mss.
516 *Φωκήων*] *-είων* Syr., cf. *B* 517; l. a. *Ἀθηναίων*.
517 *πρυλέων*] cf. *E* 744.
518 *Πολυδάμας* § 21] *Πουλ.* mss.
519 *Φυλεΐδα'* § 55] *-δεω* mss.
520 *ὕπαιθ' ἐλιάσθη*] *ὕπαιθα λ.* mss.
521 *Πολυδάμας* § 21] *Πουλ.* mss.
522 *εἴαε* § 191] *εἴα* mss. || *Πανθόου* Mor.] *Πάνθου* mss. cett.; vid. § 14 et *Γ* 146 *P* 9, 23, 40, 59.
523 *Κροῖσμον* LaRoche Naber] *Κροίσμου* mss. Cf. *N* 438 *Π* 597.
526 *Λαμπιάδης* PKnight] *Λαμπετίδης* mss., quale patronymicum a nomine *Λάμπος* deduci nequit. || *φέρτατον υἱὸν*] *-τον* vel *-τος ἀνδρῶν* mss. nonnulla.
531 *ἤγαγεν*] l. a. *ἠγάγετ'*, quod videtur praeferendum; vid. tamen *Π* 153. || *ποταμοῖ'* § 59] *-μοῦ* mss.
533] imitatur Verg. Aen. V 262. || *δηίων*] cf. § 17.
534] post vs. 529 abundare observatur in schol. V.
536 *κύμβαχον*] *conum galeae*? id certe requiritur; at cf. *E* 586.
537 *αὐτοῦ*] *αὐτόο*? cf. § 95. Pronomen autem male abundat; cf. § 98.
538 *νέον φοίνικι φαεινός*] i. e. resplendens purpura qua recens tinctus erat.

ἧος ὃ τῷ ’πολέμιζε, μένων δ’ ἔτι ’Ϝέλπετο νίκην,
τόφρα δέ Ϝοι Μενέλαος ἀρήιος ἦλθεν ἀμύντωρ,
’στῆ δ’ εὐρὰξ σὺν δουρὶ λαθών, ’βάλε δ’ ὦμον ὄπισθε· 541^{a} = Δ 251
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμάουσα,
πρόσσω Ϝιεμένη. ὃ δ’ ἄρα πρηνὴς ἐλιάσθη.
τὼ μὲν ἐϜισάσθην χαλκήρεα τεύχε’ ἀπ’ ὤμων
συλήσονθ’, Ἕκτωρ δὲ κασιγνήτοισ’ ἐκέλευσε
πᾶσι μάλα, πρῶτον δ’ Ἱκεταονίδην ἐνένιπε
ἴφθιμον Μελάνιππον, ὃ τόφρα μὲν εἰλίποδας βοῦς
’βόσκ’ ἐν Περκώτῃ, δηίων ἀπὸ νόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιϜέλισσαι, 549-551 = Ν 174 sqq.
ἂψ εἰς Ϝίλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
’ναῖε δὲ πὰρ Πριάμῳ, ὃ δέ μιν ’τίε Ϝῖσα τέκεσσι.
τόν ῥ’ Ἕκτωρ ἐνένιπε, Ϝέπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε· [τ 90 etc. 552 cf. π 417 σ 78 [sq.
„οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ 553^{b} sq. cf. Θ 201
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο; 553^{b} sq.^{a} = α 59 sq.
οὐχ ὁράεις οἷον Δόλοπος περὶ τεύχε’ ἕπουσι;
ἀλλ’ ἕπε’· οὐ γὰρ ἔτ’ ἔστιν ἀποσταδὸν Ἀργεΐοισι
μάρνασθαι, πρίν γ’ ἠὲ κατακτάσθ’ ἠὲ κατ’ ἄκρης 557 cf. Μ 172
Ϝίλιον αἰπεινὴν ἑλέμεν κτάμεναί τε πολίτας.“
ὣς Ϝειπὼν ὃ μὲν ἦρχ’, ὃ δ’ ἅμ’ ἕσπετο Ϝισόθεος φώς· 559 = Δ 472
Ἀργεΐους δ’ ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
„ὦ φίλοι, ἀνέρες ἐστὲ καὶ αἰδόα θέσθ’ ἐνὶ θυμῷ, [121^{b} sq.^{a} 561 = 661 cf. Ν 561^{a} = Ε 529

---

539 ἧος § 323] ἕως mss. || δ’ ἔτι Bentley] ἔτι δ’ mss.; Hoffmann καὶ coll. Ν 609. || ’Ϝέλπετο] ἤλπετο mss., Ar. ἔλπετο? (vid. Ρ 603).

540 ἦλθεν ἀμύντωρ] ἦλθ’ ἐπαμύντωρ Mosc. et l. a. in schol. (Ar.? cf. Ν 384).

541 εὐρὰξ] cf. Λ 251. || ὦμον] sc. Dolopis.

542 μαιμάουσα § 190 et 191] -μώωσα mss.

544 ἐϜισάσθην § 201] ἐεισάσθην mss.

545 συλήσονθ’ vHerwerden Naber] συλήσειν mss. Cf. vs. 583. Vitium peperit error quo ἐεισάσθην quidam ad εἴδεσθαι referebant; vid. schol. || κασιγνήτοισ’ ἐκέλευσε] -σι κέλευ(σ)ε mss.

547 sqq.] cf. Δ 500.

547 τόφρα Brandreth] δ’ ὄφρα mss., quod servat Cauer coll. ὀτέ Λ 64 Ρ 178, ἧος Μ 141 Ν 143 etc.

548 δηίων] cf. § 17.

551] om. Syr.

552 ῥ’] δ’ Syr.

553 οὕτω δή] cf. Β 158.

554 ἀνεψιόο § 59] -ιοῦ mss.

555 ὁράεις § 191] ὁράᾳς mss.

556 ἕπε’ § 117] ἕπευ mss. || ἀποσταδὸν] †, cf. -δὰ ζ 143, 146.

557 sq. *κατακτάσθ’ … κτάμεναι] κατακτάμεν … κτάσθαι mss.; permutata esse verba vicina arbitramur; CWIWilde pro ἑλέειν coniecit πεσέειν (πεσέμεν) cetera servans. Deleto vs. 558 (utpote ex Ν 773 ducto) vHerwerden vs. 557 κατ’ ἄκρης mutavit in Ϝαλῶναι (coll. Μ 172).

557^{b} sq.^{a}] vid. ad Ν 772 sq.

557 κατ’ ἄκρης] cf. § 82.

558 ἑλέμεν § 126] ἑλέειν mss.

561 αἰδόα — θυμῷ] PKnight ἄλκιμον ἦτορ

ἀλλήλους τ' αἴδεσθε κατὰ κρατερὰς ὑσμίνας. 562-564 = *E* 530 sqq.
αἰδομένων ἀνδρῶν πλέονες σάοι ἠὲ πέφανται,
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή."
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι 'μενέαινον, 565 = *Π* 562
ἐν θυμῷ δ' ἐβάλοντο Ϝέπος, 'φράξαντο δὲ νῆας
ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρε.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
„Ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν
οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα."
ὣς Ϝειπὼν ὃ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνε·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ 573ᵇ-575 = *Δ* 496 sqq.
ἀμφὶ Ϝὲ παπτήνας· ὑπὸ δὲ Τρῶες 'κεκάδοντο
ἀνδρὸς ἀκοντίσσαντος· ὃ δ' οὐχ ἅλιον βέλος ἧκε,
ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον
νισσόμενον πόλεμόνδε 'βάλε στῆθος παρὰ μαζόν· 577 cf. *N* 186
'δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε. 578 = *Π* 325
Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῷ 578ᵇ = *Δ* 461
βλημένῳ αἴξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·
ὣς ἐπὶ σοί, Μελάνιππε, 'θόρ' Ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων. ἀλλ' οὐκ ἔλαθ' Ἕκτορα δῖον,
ὅς ῥά Ϝοι ἀντίος ἦλθε θέων ἀνὰ δηιοτῆτα. 584 cf. *P* 257
Ἀντίλοχος δ' οὐ 'μεῖνε, θοός περ ἐὼν πολεμιστής, 585 cf. *E* 571
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ϜεϜοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι
φεύγει, πρίν περ ὅμιλον ἀϜολλισθήμεναι ἀνδρῶν·
ὣς 'τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ 589ᵇ sq. = *Θ* 158 sq.

ἕλεσθε nisi versus 562 delendus sit. || *αἰδόα* § 77] *αἰδῶ* mss.

562] om. mss. nonnulla. || *αἴδεσθε* § 289] *αἰδεῖσθε* mss.; vid. vs. sequens.

563 *αἰδομένων* D] sic Ar., *-νων δ'* mss. cett. Vid. ad *E* 531. || *σάοι* § 62] *σόοι* mss.

565 *ἀλέξασθαι*] *ἀλεξέμεναι* H Vrat., idque praefert Bekker: vid. ad *N* 475.

567 *ἕρκεϊ*] *ἔγχεϊ* vitiose mss. pauca.

571 *ἐξάλμενος*] h. l. absolute usurpatum; cf. *ἐκ...ἔθορε προμάχων* vs. 573.

572 *ἀπέσσυτο*] *ἐπ.* C Z.

573 *ἔθορε*] notetur subiectum mutatum.

578ᵇ] *ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ* (ut alibi passim) mss. quaedam, fortasse recte.

583 *οὐκ ἔλαθ'*] *οὐ λάθεν* mss.

586-588] cf. Verg. Aen. XI 810-813.

586 *ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε*] *ἀλλ' ὅ γὰρ ἔτρεσε* mss. multa, *ἀλλὰ* vel *ἀλλ' ὃ παρέτρεσε* pauca.

587 *βόεσσι*] *οἱ αὐτῷ* Zen. (cum verbo *ἀϜολλισθήμεναι* iungens).

588 *φεύγει*] *φεύγῃ*?

Ϝηχῇ θεσπεσίῃ βέλεα στονόεντ' ἐχέοντο·
'στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο Ϝέθνος ἑταίρων. 591 = Λ 595

Τρῶες δὲ λίεσσι ϜεϜοικότες ὠμοφάγοισι 592ᵇ = Ε 782
νηυσὶν ἐπεσσεύοντο, Διὸς δ' ἐτέλειον ἐφετμάς·
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, 'θέλγε δὲ θυμὸν
Ἀργείων καὶ κῦδος ἀπήνυτο, τοὺς δ' ὀρόθυνε.
Ἕκτορι γάρ Ϝοι θυμὸς ἐβούλετο κῦδος ὀρέξαι 596 = Μ 174 596ᵇ = Λ 79
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἐμβάλοι ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρὴν
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ 'μένε μητιέτα Ζεύς,
νηὸς καιομένης σέλας ὀφθαλμοῖσι Ϝιδέσθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρε 603 cf. Θ 531
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν· 604 cf. Ξ 375
'μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχεσπάλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης, 606ᵇ cf. Ε 555
ἀφλοισμὸς δὲ περὶ στόμ' ἐγίγνετο, τὼ δέ Ϝοι ὄσσε
'λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι 'τινάσσετο μαρναμένοιο.

Ἕκτορος· αὐτὸς γάρ Ϝοι ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
'τίμαε καὶ 'κύδαινε. μινυνθάδιος γὰρ ἔμελλε
ἔσσεσθ'· ἤδη γάρ Ϝοι ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.

610—614 Zen. om., Ar. —

---

590 *στονόεντ' ἐχέοντο*] *-ντα χ.* mss.
592 *δὲ*] *δ' αὖ* Harl. Lips. || *λίεσσι* Nauck] *λείουσι* mss.; cf. § 74.
595 *ἀπήνυτο*] *ἀπαίνυτο* mss.
598 *ἐμβάλοι* GHermann] *-λῃ* mss. || *ἐξαίσιον*] redit adi. *δ* 690 et adverbii loco usurpatum *ρ* 577 (*αἴσιος* *Ω* 376, *παραίσιος* *Δ* 381).
601 sq.] de re cf. vs. 69 sq., 234 sq.
601 *ἔμελλε*] *μέλλε* Ar. (Aristo*phani* in cod. tribuitur; correxit MSchmidt).
602 *ὀρέξειν*] *-ξαι* A[1].
606 *μαίνηται*] *μαιμάῃ* Passow coll. *Υ* 490. || *βαθέης*] § 75. Ingeniose Fick *βαθέεσσ'*; vid. tamen *Ε* 142 *Ο* 606 et *Ε* 555.
607 sq.] cf. *Τ* 365-368.
607 *ἀφλοισμὸς*] †. || *στόμ' ἐγίγνετο*] *στόμα γίγνετο* mss. neglecta caesura.
608 *βλοσυρῇσιν*] *-ροῖσιν* C.
609 *μαρναμένοιο*] *μαινομένοιο* Ar. coll. *Φ* 5, ubi vid. Didym.
610-614] veterum suspicionem movit locutio *ἀπ' αἰθέρος*, Iuppiter enim in Ida non in Olympo sedet, deinde verba sine sensu *πλεόνεσσι — ἐόντα*, causa denique hic allata (*μινυνθάδιος — ἔσσεσθ'*) cur Hectorem honore augeat Iuppiter aperte cum vs. 596-599 pugnans.
612 *'τίμαε* § 191] *τίμα* mss.
613 *ἐπώρνυε*] vid. § 145. || *μόρσιμον ἦμαρ*] redit locutio *κ* 175.

καί ῥ' ἔθελε ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων· 615ᵇ = Μ 47
ἀλλ' οὐδ' ὧς 'δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠύτε πέτρη
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 620ᵇ = Ξ 17
κύματά τε τροφόεντα, τά τε προσερεύγεται ἄντην· 621ᵃ cf. γ 290
ὧς Δαναοὶ Τρῶας 'μένον ἔμπεδον οὐδ' ἐφέβοντο. 622 = Ε 527
αὐτὰρ ὃ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ,
ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηὶ πέσῃσι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφές· ἣ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δεδϜιότες, τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
ὧς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν. 629 = Ι 8
αὐτὰρ ὅ γ' ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται 631 cf. Δ 483
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα Ϝειδὼς
θηρὶ μαχέσσασθαι Ϝέλικος βοὸς ἀμφὶ φονῇσι·
ἤ τοι ὃ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσι
αἰὲν ὁμοῦ στιχάει, ὃ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· ὧς τότ' Ἀχαιοὶ
θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
πάντες, ὃ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,

616 ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·

616] del. Nauck.
618 *πυργηδὸν*] cf. Δ 334.
618ᵇ-621] imitatur Verg. Aen. X 693-696.
620 *μένει*] *μένῃ*?
621 *τροφόεντα*] cf. Δ 307. || *προσερεύγεται*] comp. † (simplex Π 162 etc.). || *ἄντην* Naber] *αὐτήν* Ar., sic aut *αὐτῇ*, *ἀκτήν*, *ἀκτῇ* mss.; vid. Θ 399 Κ 158 Ω 223 et § 98.
622 *ὧς Δαναοὶ Τρῶας*] l. a. *ἐξ ἁλός· ὧς Δαναοί*.
624 sq.] cf. vs. 381 sqq.
625 *ὑπὸ* § 315] *ὑπαὶ* mss. || *ἀνεμοτρεφὲς*] vid. Δ 256.
626 *ἄχνῃ*] *ἄχνη* Zen. et mss. pauca. || *ὑπεκρύφθη*] comp. †. || *δεινὸς ἀήτη*] sic Ar., *δεινὸς ἀήτης* mss. pleraque. Nominativus singularis non recurrit. Praeterea notetur Ϝ neglectum. Scribendumne *ἀνέμου δὲ δϜεινὸς ἀήτη(ς)*, an gravius latet vitium?
627 *ἐμβρέμεται*] comp. † (simplex Β 210 etc., *ἐπιβρ.* Ρ 739).
630 sqq.] anacoluthon notatu dignum; neque enim pronomini *ὅ γε* additur verbum finitum neque nomini *λέων*, huic autem versu demum 635 pronomen *ὅ*, illi versu 637 dativus *Ἕκτορι* subiungitur.
631 *εἰαμενῇ*] *εἰαμ.* mss. nonnulla; cf. Δ 483. || *ἕλεος*] *ἔλεος* mss. complura.
634 *ὃ μὲν*] *pastor*.
635 *ὁμοῦ στιχάει* Bekker coll. Σ 577 Suid. Hesych.; item Cobet] *ὁμοστιχάει* (†) mss., quod barbarum iure vocabat Dionysius Thrax. Cf. ο 451.
637 *θεσπεσίως*] adv. †.

Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἀέθλων
ἀγγελίην ᾤχνεσκε βίῃ Ἡρακλεείῃ·
τοῦ ʼγένετʼ ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθʼ Ἕκτορι κῦδος ὑπέρτερον ἠγγυάλιξε. 644ᵇ cf. 491
στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγʼ ἔπαλτο,
τὴν αὐτὸς ʼφορέεσκε ποδηνεκέʼ ἕρκος ἀκόντων·
τῇ ὅ γʼ ἐνὶ βλαφθεὶς ἔπεσʼ ὕπτιος, ἀμφὶ δὲ πήληξ [cf. *B* 33 †, 466
σμερδαλέον ʼκονάβησε περὶ κροτάφοισι πεσόντος. 648ᵃ = Φ 593 ρ 542
Ἕκτωρ δʼ ὀξὺ ʼνόησε, θέων δέ ϝοι ἄγχι παρέστη, 649ᵇ = 442
στήθεϊ δʼ ἐν δόρυ ʼπῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
ʼκτεῖνʼ· οἳ δʼ οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
χραισμέμενʼ· αὐτοὶ γὰρ μάλʼ ἐδέδϝισαν Ἕκτορα δῖον.
εἴσωποὶ δʼ ἐγένοντο νεῶν, περὶ δʼ ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται ʼϝεϝρύατο· τοὶ δʼ ἐπέχυντο. 654ᵃ cf. Ξ 75
Ἀργέιοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
πρωτάων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
ἀθρόοι, οὐδʼ ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
καὶ δϝέος, ἀζηχὲς γὰρ ὁμόκλαον ἀλλήλοισι.
Νέστωρ αὖτε μάλιστα γερήνιος, οὖρος Ἀχαιῶν, 659 = 370
ʼλίσσεθʼ ὑπὲρ τοκέων γουνώμενος ἄνδρα ϝέκαστον·
„ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδόα θέσθʼ ἐνὶ θυμῷ 661 = 561

---

639 *ἀέθλων* H Vrat. Mosc.] *ἄνακτος* mss. cett. (neglecto *ϝ*). Cf. *Θ* 363 *T* 133.

640 *ἀγγελίην* Zen.] *-λίης* mss.; *-λίας* Leaf. Vid. ad *Γ* 206. || *ᾤχνεσκε*] *οἴχνεσκε* mss. || *Ἡρακλεεείῃ* § 73] *-κληείῃ* mss.

641 *ἀμείνων*] *ἀμύμων* Vrat.

644 *ἠγγυάλιξε*] *ἐγγ.* mss.

645 *στρεφθεὶς*] l. a. *στραφθεὶς.* || *ἄντυγʼ ἔπαλτο*] *ἄντυγι πάλτο* mss., alii olim *ἄντυγι ἆλτο.* Christ *ἄντυγʼ ἐνάλτο* (vid. ad *Θ* 85), sed *saliendi* verbum hinc alienum esse vidit Heyne, itaque hic (et *Υ* 483) agnoscendus est aoristus *ἐπάλμην* a verbo *πάλλω* (§ 274). De re vid. *Z* 117 sq.

646 *ποδηνεκέʼ*] *-κὲς* mss. pleraque.

647 *ἔπεσʼ*] *πέσεν* mss.

652 *χραισμέμενʼ* § 125] *-σμεῖν* mss. || *μάλʼ ἐδέδϝισαν*] *μάλα δείδισαν* mss. multa.

653 *εἴσωποὶ*] †, explicatur *a fronte oppositi* (*naves a fronte habebant*, i. e. *navibus protecti hostem opperiebantur*), non tamen satis commode.

654 *ʼϝεϝρύατο* § 293] *εἰρύατο* mss. || *τοὶ*] *Troes.* || *ἐπέχυντο*] *superfundebantur, certatim insequebantur*; item *Π* 295.

656 **πρωτάων* § 56] *τῶν πρωτέων* Ar.? (e schol. *Ξ* 31 iure id effecit LaRoche), sic aut *τῶν προτέρων* mss. || *αὐτοῦ*] *αὐτοὶ* A fortasse recte.

658 *γὰρ*] *τʼ ἄρʼ* Nauck. || *ὁμόκλαον* § 191] *ὁμόκλεον* mss.

659 *γερήνιος*] cf. *B* 336.

660 *τοκέων* § 76] *τεκέων* Schulze coll. vs. 663. || *γουνώμενος* PKnight] *-νούμενος* mss.; cf. § 144. Vid. ad *I* 583.

661 *αἰδόα* § 77] *αἰδῶ* mss.

ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε Ϝέκαστος
663 παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων·
665 τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων — 665 cf. λ 66
ἑστάμεναι κρατερῶς· μηδὲ τροπάεσθε φόβονδε."
667 ὣς Ϝειπὼν ὤτρυνε μένος θυμόν τε Ϝεκάστου. — 667 = Ε 470
674 οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι 'Ϝάνδανε θυμῷ
675 ἑστάμεν', ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴχετο μακρὰ βιβάσθων, — 676^{b} = Ν 809
'νώμαε δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
κολλητὸν βλήτροισι, δυωκαιϜεικοσίπηχυ. — 678^{b} = Ψ 264
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν ἐῢ Ϝειδώς,
680 ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ Ϝάστυ δίηται
λαοφόρον καθ' ὁδόν, πολέες δέ Ϝε 'θηήσαντο
ἀνέρες ἠδὲ γυναῖκες, — ὃ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρῴσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται, —

---

664 ἠμὲν ὅτεῳ ζώουσι καὶ ᾧ κατατεθνήκασι.
668 τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φάος 'γένετ' ἀμφοτέρωθε,
670 ἠμὲν πρὸς νηῶν καὶ ὁμοιίοο πτολέμοιο. — 670^{b} = Ν 358
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο,
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσι. — 673 cf. Σ 533 ι 54
668—673 Ar. —

662^{b} sq.] cf. Verg. Aen. X 280 sq.

664] del. PKnight. || ὅτεῳ] synizesis novicia, cf. § 102; coniecimus *ἠμὲν ὅσοι ... καὶ οἱ, sed versum spurium mutare noluimus.

665 γουνάζομαι] vid. ad *Ι* 583.

666 τροπάεσθε § 191 et 251] τροπάασθε vel τρωπᾶσθε mss.

667 θυμόν τε Bentley] καὶ θυμὸν mss.

668-673] iure Ar. delevit versus sensu carentes; oculis enim captos esse Achivos (cf. *Ε* 127 *Υ* 341 etc.) ne innuit quidem poeta in iis quae praecedunt, de vera autem caligine aut pulveris turbine (*Π* 567 sq. *Ρ* 268-273, 366-368, 644-650) vox ἀχλύς usurpari non potuit; cf. η 41.

669 φάος § 71] φόως mss.

670 πρὸς] πὰρ Vrat. || ὁμοιίοο § 59] -ίου mss. De adi. vid. ad *Δ* 315. || πτολέμοιο] πολ. mss. multa.

674 'Ϝάνδανε] ἥνδανε mss.

675 ἀφέστασαν] ἐφ. mss. complura.

677 'νώμαε § 191] νώμα mss. || ναύμαχον] vid. ad vs. 389. || παλάμῃσι] -μηφι? vid. ad *Ε* 594.

678] cf. vs. 388 sq. || βλήτροισι] vox † quid significet incertum, fortasse anulos vel clavos ad conti ingentis partes compingendas.

679 ἀνὴρ] verbum omittitur. || κελητίζειν] †, cf. κέλης ε 371; absurde κέληθ' ἵζειν scribebant quidam (hinc Ambr. κεληθίζειν).

680 πίσυρας] vox notabilis redit Ψ 171 Ω 233 ε 70 π 249 χ 111. Quadrigae recentibus tantum locis *Θ* 185 *Λ* 699 ν 81 commemorantur; etiam equitandi ars seram aetatem prodit. || συναείρεται] συναγείρεται mss. pleraque vitiose. Vid. ad *Κ* 499.

681 δίηται] διώκῃ (vel -οι) mss. nonnulla.

682 λαοφόρον] †. || δέ Vrat.] τέ mss. cett.

ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
'φοίταε μακρὰ βιβάς, φωνὴ δέ ϝοι αἰθέρ' ἵκανε. 686a cf. λ 539
αἰεὶ δὲ σμερδνὸν βοάων Δαναοῖσ' ἐκέλευε 687 = 732
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν'. οὐδὲ μὲν Ἕκτωρ
'μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων· 689 cf. 739
ἀλλ' ὥς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων 689b = Μ 317
ϝέθνος ἐφορμάεται, ποταμὸν πάρα βοσκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δολιχοδείρων, 692 = Β 460
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο
694 ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦρσεν ὄπισθε.
696 αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη.
φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισι
ἄντεσθ' ἐν πολέμῳ· ὣς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἦ τοι Ἀχαιοὶ
οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεσθαι, 700 cf. Ν 89
Τρωσὶ δ' ἐϝέλπετο θυμὸς ἐνὶ στήθεσσι ϝεκάστου
νῆας ἐνιπρήσειν κτενέειν θ' ἥρωας Ἀχαιούς. 702 cf. Θ 182 Ν 629 Ξ 47
οἳ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισι·
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
καλῆς ὠκυάλοι', ἣ Πρωτεσίλαον ἔνεικε
εἰς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν. 706 cf. Ν 645
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
'δῄοον ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοί γε
τόξων ἀικὰς ἀμφὶς 'μένον οὐδέ τ' ἀκόντων,

695 χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ.

686 'φοίταε § 191] φοίτα mss. || βιβάς] βιβῶν mss. nonnulla, cf. Η 213 Ο 307 etc.
687 βοάων Barocc.] βοόων mss. cett., cf. § 191. || Δαναοῖσ' ἐκέλευε] -σι κ. mss.
689] olim fuere qui adderent ἀλλὰ πολὺ προθέεσκε τὸ ὃν μένος οὐδένι εἴκων (= Χ 459).
691 ἐφορμάεται § 191] -μᾶται mss.
692] om. C. || δολιχοδείρων § 21] δουλ. mss.
693 νεὸς] νεὼς mss. complura.
694 ἀντίος] sic Ar., alii olim ἀντίον; cf. Ζ 54. || ἀΐξας] ἀίσσων mss. pauca. || ὦρσεν] ὦσεν Ar. et mss. pauca non recte, vid. Ν 83, 125, 794; ὠθεῖν *repellere, vim hostilem retundere* significat potius quam *protrudere*, cf. Β 744 Ε 835 Π 410 etc.
695] delevimus, e mala praecedentis versus lectione natum rati. Non immiscet se pugnae ipse Iuppiter.
699 μαρναμένοισιν ὅδ' ἦν] -νοισ' ὅδ' ἔεν? vid. § 302.
701 Τρωσὶ δ' ἐϝέλπετο Bentley] Τρωσὶν δ' ἤλπετο mss.
702 κτενέειν] κτανέειν D Barocc.; cf. § 269 et ad Ζ 409.
704 νεὸς] νεὼς mss. complura.
705 ὠκυάλοι' § 59] -λου mss.
706 ἀπήγαγε] l. a. ἀφίκετο (ut vs. parall.); an *ἀνήγαγε? cf. Ο 29 π 370.
708 'δῄοον § 191] δῄουν mss.
709 ἀικὰς] † (cf. ἀίσσω, κορυθάιξ Χ 312, πολυάιξ, τριχάιξ τ 177).

ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντες,
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσ' ἐμάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις 'πέσον, ἄλλα δ' ἀπ' ὤμων
ἀνδρῶν μαρναμένων· 'ρέε δ' αἵματι γαῖα μέλαινα. 715ª = ω 507, 715ᵇ = Υ 494
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ 'λάβεν, οὔ τι μεθίει 716 cf. Π 762
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευε·
„*οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀϝολλέες ὄρνυτ' ἀυτήν·*
νῦν ἧμιν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀϝέκητι μολοῦσαι
ἧμιν πήματα πόλλ' ἔθεσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσι 722 cf. Ξ 51, 722ᵇ = Ν 333
αὐτόν τ' ἰσχανάεσκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε 'βλάπτε φρένας εὐρύϝοπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
ὣς ἔφαθ', οἳ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε, 'βιάζετο γὰρ βελέεσσι, 727 = Π 102
ἀλλ' ἀνεχάζετο τυτθὸν, ὀιόμενος θανέεσθαι,
θρῆνυν ἔφ' ἑπταπόδην, 'λίπε δ' ἴκρια νηὸς ἐϜίσης.
ἔνθ' ἄρ' ὅ γ' εἱστήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ σμερδνὸν βοάων Δαναοῖσ' ἐκέλευε· 732 = 687

712 Ar. —

711 *ἀξίνῃσ' ἐμάχοντο*] *-νῃσι μ.* mss.; de voce *ἀξίνῃσ'* vid. ad *Ν* 612.

713 *μελάνδετα*] †, cf. Hes. Scut. 221 Aesch. Sept. 43 Eur. Or. 821 Phoen. 1091 fr. 374; interpretari conatus est Gerlach, vid. Helbig Hom. Epos[1] p. 243 sq.

714 *πέσον*] sic Ar., *πέσεν* mss. multa; cf. *Ν* 617. || *ἀπ' ὤμων*] balteine igitur ictu dissecti, deinde gladii de humeris delapsi sunt? Quod ut fieri aliquando potuit, sic multis simul accidisse ieiune fingitur; itaque verba corrupta esse apparet, vHerwerden coniecit *ἄραχθεν*, Naber *ἐπηῦρον* coll. *Ψ* 340.

716 *οὔ τι* schol. Apoll. Rh. I 1089] *οὐχὶ* mss., cf. *Π* 762; Zen. *οὐκ ἐμεθίει* (?— Cobet *οὔκι μεθίει*), cf. *Α* 68. APlatt *οὔ Ϝε μεθίει* (item vs. parall.) coll. *Ω* 214.

717 *ἄφλαστον*] †; vid. *Ι* 241.

719 *πάντων ... ἄξιον*] *πάντως ... αἴσιον* Nauck eleganter.

721 *πόλλ' ἔθεσαν*] *πολλὰ θέσαν* mss.

722] aliam rei causam profert Achilles *Ι* 352 sqq.

723 *ἰσχανάεσκον* § 191] *-νάασκον* mss.

725 *αὐτὸς*] *αὖτις* Nauck probabiliter.

729 *ἑπταπόδην*] †, l. a. *ἑπτάποδα*; cf. *τριπόδην* et *ἑπταπόδην* Hes. Oper. 423 sq. — Vox obscura, Nitzsch (ad *ε* 163 *κ* 32) admodum ingeniose *ἁπτοπόδην* (*cui pes veli alligatur*).

730 *εἱστήκει*] *ἑστ.* mss. multa. || *δεδοκημένος*] *insidians*, †, cf. *δοκεύω* *Θ* 340 etc. et § 144.

731 *φέροι*] *φέρει* mss. complura.

732 *βοάων* § 191] *βοόων* mss. || *Δαναοῖσ' ἐκέλευε*] *-σι κ.* mss.

„ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 733 = Β 110
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς· 734 = Ζ 112
ἠέ τινάς φαμεν ἔμμεν' ἀοσσητῆρας ὀπίσσω,
ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοισ' ἀραρυῖα,
ᾗ κ' ἀπαμυναίμεσθ' ἑτεραλκέα δῆμον ἔχοντες·
ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων, 739 cf. 689
πόντῳ κεκλιμένοι, ϝεκὰς ἥμεθα πατρίδος αἴης. 739ᵇ = Μ 317
τῷ ἐν χερσὶ φάος, οὐ μειλιχίῃ πολέμοιο."
ἦ, καὶ μαιμάων ἔφεπ' ἔγχεϊ ὀξυόεντι.
ὅς τις δὲ Τρώων κοίλησ' ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
τὸν δ' Αἴας οὔτασκε δεδεγμένος ἔγχεϊ μακρῷ·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

---

735 ἔμμεν' § 125] εἶναι mss.
736 ἄρειον] non *Mavortium* (vid. ad Δ 407) sed *melius* munimentum quam efficiunt naves. Locum imitatus est Verg. Aen. IX 782. || ἀμύναι] ἀλάλκοι Nauck coll. Φ 539. Vid. § 113.
737 τι Ar.] sic aut τις mss.
738 ἀπαμυναίμεσθ'] ἐπαμ. mss. pleraque. || δῆμον] δῆριν Nauck.
739 πεδίῳ] l. a. ὁμάδῳ.
741 φάος § 71] φόως mss. || μειλιχίῃ] sic Ar., -χίη Dionysius Thrax. Subst. †, cf. (ἀ)μείλιχος, μειλίχιος, μειλίσσω, μείλιγμα.
742 μαιμάων § 190 et 191] μαιμώων.
743 κοίλησ' — φέροιτο] κοίλης ἐπὶ νηυσὶν ἄγοιτο L, κοίλας ἐπὶ νῆας ἄγοιτο G Harl. || φέροιτο] de proprio impetu nonnisi h. l. et Υ 172. Cf. v. l. Φ 247 β 147 etc.
744 κηλείῳ] καυαλέῳ Fick coll. Hesych. s. v. || χάριν] adverbii loco usurpatum †.
745 ἔγχεϊ μακρῷ] ὀξέι χαλκῷ mss. pauca.
746 οὖτα] ἔκτα Naber.

ΙΛΙΑΔΟΣ Π.

Πατρόκλεια.

ὣς οἱ μὲν περὶ νηὸς ἐυσσέλμοι᾽ ἐμάχοντο.
Πάτροκλος δ᾽ Ἀχιλῆι παρίστατο, ποιμένι λαῶν, [Η 426
δάκρυα θερμὰ χέων, ὥς τε κρήνη μελάνυδρος, 3a = Σ 17, 235 cf.
ἥ τε κατ᾽ αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ. 3b sq. = Ι 14 sq. [599
τὸν δὲ Ϝιδὼν ᾤκτιρε ποδάρκης δῖος Ἀχιλλεύς, 5 = Ψ 534 cf. Λ
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα· 5a = Λ 814
„τίπτε δεδάκρυσαι, Πατρόκλεες, ἠύτε κούρη
νηπίη, ἥ θ᾽ ἅμα μητρὶ θέουσ᾽ ἀνελέσθαι ἀνώγει,
Ϝεανοῦ ἁπτομένη, καί τ᾽ ἐσσυμένην κατερύκει, 9b cf. Ζ 518
δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ᾽ ἀνέληται·
τῇ Ϝίκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις. 11b cf. Τ 323 π 332
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ;
ἠέ τιν᾽ ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος; 13 cf. α 408 β 30
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱόν,
ζώει δ᾽ Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι,
τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἠὲ σύ γ᾽ Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίης ἕνεκα σφῆς;

---

1 *ἐυσσέλμοι᾽ ἐμάχοντο*] *-μιοο μάχ.* mss.
4 *αἰγίλιπος*] cf. *Ι* 15.
5 *ᾤκτιρε*] *ᾤκτειρε* mss., vid. ad *Λ* 814; *θάμβησε* Ar.
7 *Πατρόκλεες* § 73] *-κλεις* mss.
8 sq. *ἀνώγει … κατερύκει*] *-γῃ … -κῃ* Hentze, fortasse recte.
9 *Ϝεανοῦ* § 22] *ἑανοῦ* mss.; Nauck *ἁπτομένη Ϝεανοῦ.* || *τ᾽*] *Ϝ᾽?
10 *ποτιδέρκεται*] *προσδ.* Zen. Comp. redit *ρ* 518 et (*προσδ.*) *υ* 385.
14 *ζώειν μὰν ἔτι*] *ζωέμεναι μὲν* Nauck.
16 *ἀμφοτέρων*] *ἀμφοτέρω* Naber. || *ἀκαχοίμεθα*] *ἀκαχήμεθα* mss. nonnulla. || *τεθνη-*

ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα Ϝείδομεν ἄμφω.“ 19 = Α 363
τὸν δὲ βαρὺ στενάχων προσέφης, Πατρόκλεες ἱππεῦ·
„ὦ Ἀχιλεῦ, Πηλῆος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν, 21 = Τ 216 λ 478
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς. 22 = Κ 145
οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, 23 sq. = Λ 825 sq.
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε. 24-27 = Λ 659 sqq.
βέβληται μὲν Τυδεΐδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρὶ κλυτὸς ἠδ' Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀιστῷ.
τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλε', Ἀχιλλεῦ.
μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις,
αἰναρέτη. τί σε' ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργεΐοισιν ἀϜεικέα λοιγὸν ἀμύνῃς; 32b = Ι 495
νηλεὲς, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε 'τίκτε θάλασσα
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. 35b = Ψ 484 cf. [σ 381
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις 36-41 cf. Λ 794 sqq.
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, αἴ κέν τι φάος Δαναοῖσι γένωμαι. 39b cf. Θ 282
δὸς δέ μοι ὤμοιιν τεὰ τεύχεα θωρηχθῆναι,

ώτων] sic Ar., τεθνειώτων habent mss. multa.

20 Πατρόκλεες § 2 et 73] -κλεις mss.

21 Πηλῆος Ar. L Harl.] Πηλέως Ptolemaeus Eust. H Vrat., Πηλέος mss. cett. || υἱὲ] cf. § 17.

23 ἦσαν] Bentley εἰσὶν (ut Δ 264 ϑ 36).

25 μὲν Aristoph.] μὲν ὁ mss.; cf. Χ 7.

29 ἀκειόμενοι] -άμενοι mss. complura. || ἔπλε' § 117] ἔπλευ mss.

30 γ' οὖν … γε] cf. Ε 258.

31 αἰναρέτη] sic Ar., alii olim αἴν' ἀρετῆς vel αἰναρέτης (sc. χόλος). Vox † et suspecta, quacum sola αἰνόμορος (Χ 481 etc.) et αἰνοπαθής (σ 201) conferri possunt; ipsa autem vocativi forma displicet (αἰναρέτα habent Barocc. Mor.; vid. tamen ὑψαγόρη β 85, 303 ρ 406. Goebel αἰναρέτης, ad σύ referens). Ar. interpretatus est ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων. || σε' § 92] σευ mss. || ὀνήσεται] cf. Λ 763. Apoll. lex. ὀνόσσεται sine sensu, nisi legas αἴν'· ἀρετὴν δέ σε' (vel σοι) ἄλλος ὀνόσσεται (cf. ϑ 239); quae lectio fortasse non est spernenda, quamquam adi. αἰνός de hominibus nonnisi in superlativo adhibitum reperitur (Δ 552 etc. Θ 423; nam λ 427 vix huc pertinet).

33-35] imitatus est Vergilius Aen. IV 365-367.

33 ἦν] ἔεν? vid. § 302.

34 γλαυκὴ] †, cf. Hes. Theog. 440, γλαυκιῶν Υ 172 et γλαυκῶπις Minervae epitheton frequentissimum.

35 τ' H] δ' mss. cett. || ὅτι] ὅτε Ar. (?).

38 ἅμα δ' ἄλλον] ἄλλον δ' ἅμα Nauck.

39 αἴ κέν] ἤν πού mss. fere omnia; cf. Θ 282 et inprimis Λ 797. || φάος § 71] φόως mss.

40-43] vid. ad vs. 134.

40 τεά PKnight] τὰ σὰ mss. Vid. ad Λ 185.

αἴ κ' ἐμὲ σοὶ Ϝίσκοντες ἀπόσχωνται πολέμοιο 41. cf. Λ 799
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν 42-44 = Λ 800 sqq.
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
ὤσαιμεν προτὶ Ϝάστυ νεῶν ἄπο καὶ κλισιάων." 45 cf. Λ 803
ὣς 'φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλε
Ϝοὶ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λίσεσθαι. 47 cf. Φ 66 χ 14
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 48 = Τ 419 Χ 14 cf. Σ 97
„ὤ μοι, διογενὲς Πατρόκλεες, οἷον ἔϜειπες. 48a = Η 454
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα Ϝοῖδα, 50 cf. α 415 β 201
οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ· 51 cf. Λ 795
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, 52 = Θ 147
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ·
αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ 'πάθον ἄλγεα θυμῷ. 55b = Ι 321
κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν, 56 cf. Σ 444
δουρὶ δ' ἐμῷ 'κτεάτισσα, πόλιν ἐυτειχέα πέρσας,
τήν μ' ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων 58 cf. Σ 445
Ἀτρεΐδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην. 59 = Ι 648
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν 60a = Σ 112 Τ 65
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἦ τοι ἔφην γε 60b = Ψ 670
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν', ἀλλ' ὅτε κεν δὴ 62 cf. Φ 340
νῆας ἐμὰς ἀφίκηται ἀυτή τε πτόλεμός τε. 63b = Ζ 328
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,

---

41 *Ϝίσκοντες*] *εἴσκοντες* Ar.; vid. Λ 799.
43 *ὀλίγη — πολέμοιο*] vid. ad vss. parall.
47 **λίσεσθαι*] *λιτέσθαι* (vel *λιπέσθαι*) mss., *λίτεσθαι* grammatici quidam. Neque praesens *λίτομαι* neque aor. II *ἐλιτόμην* poetae in usu est (cf. § 220), post *ἔμελλον* autem requiritur futurum (vid. § 107), quod legitur Κ 455. Simile vitium extat Hes. Theog. 478 (*ἤμελλε τεκέσθαι* mss., *τέξεσθαι ἔμελλε* correxit Fick). Futuro etiam *post* Patrocli preces letiferas locum esse docent Ε 205 δ 107, 274 Soph. Ai. 926 etc.; vert. *sic enim fata ferebant ut mortem sibi exoptaret.*
49 *Πατρόκλεες* § 73] *-κλεις* mss.
50 *ἐμπάζομαι*] in Il. †, in Od. compluribus locis (π 422 cum acc.). || *ἥν*] *εἴ* Ar.
53 *δή*] *τις* Ar.
54 *κράτεϊ*] *potentia*, non *fortitudine.*
57 *ἐυτειχέα*] *-χεον* mss. pauca (metro invito); vid. Α 129 Β 113 alibi.
58 *μ'*] addidimus praeeuntibus Doederlein Axt, nisi quod illi post *χειρῶν* inserebant.
59] del. Bentley. || *μετανάστην*] sic Ar., *μετανάστιν* (*μεταναστεῖν* cod., correxerunt Lobeck Bekker) libri Massiliensis et Rhiani, ut ad *Briseida* referretur.
60 *ἄρα πως ἦν*] *ἄρ' ἔεν πως*? vid. § 302.
62 *οὐ*] *μή* Genev. (vid. Κ 330). || **ὅτε κεν*] *ὁπότ' ἂν* mss., vid. § 326.
64] vid. ad vs. 134.

εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
νηυσὶν ἐπικρατέως, οἳ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργέιοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε
θάρσυνος. οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια Ϝειδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδεΐδη Διομήδεϊ ἐν παλάμηφι 74 sq. cf. Θ 111
μαίνεται ἐγχεΐη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρεΐδαο Ϝοπὸς 'κλύον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιϜάγνυται, οἳ δ' ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὥς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς κέ τ' ἐγὼ μύθου τέλος ἐν φρεσὶ θήω,
ὥς κέν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἂψ ἀποδάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσι.
ἐκ νηῶν ἐλάσας ἴμεναι πάλιν· εἰ δέ κεν αὖ τοι 87 cf. Σ 14
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,

66 *εἰ δὴ*] vid. ad *Α* 61. || *εἰ*] *ἢ* male quidam olim. || *ἀμφιβέβηκε*] *ἀμφιδέδηε* Naber, vid. *Ζ* 329 *Μ* 35, de *nube* tamen minus probabiliter; cf. etiam *μ* 74 *Ζ* 355 *ϑ* 541.

67 *νηυσὶν*] **νῆας*?

69 *ἐπὶ...βέβηκε*] *ingruit*, quae significatio non recurrit.

71 *ἐναύλους*] sic Ar. recte, coll. *Φ* 218 sqq. (*ῥωχμοί* dicuntur *Ψ* 420). Alii olim *ἐπαύλους* (cf. *ψ* 358)?

73 *ἤπια Ϝειδείη*] cf. *Δ* 361 *Ε* 326. Librum *Ι* ignorabat poeta cui haec debentur; vid. etiam *Λ* 609 *Ν* 115 *Π* 85 sq.

74 **Τυδεΐδη Διομήδεϊ*] *-δεω -δεος* mss.; cf. § 55. || **παλάμηφι*] *-μῃσι* mss., vid. vs. 139 et ad *Ε* 594.

76 **Ἀτρεΐδαο Ϝοπὸς 'κλύον*] *-δεω ὀπὸς ἔκλυον* mss., cf. § 55. Simili ratione correximus *Λ* 453. || *Ϝοπὸς*] *ἔπος* male quaedam exemplaria commentariorum Aristarchi. Cf. *Χ* 451.

77 *κεφαλῆς*] vid. ad *Λ* 462.

78 *περιϜάγνυται*] comp. †, cf. Hes. Scut. 279, 348. || *ἀλαλητῷ*] vid. ad *Β* 149.

80 *ἀμύνων*] **ἄμυνον*? melius enim in versus fine desinet sententia.

83 **κέ τ'(οι)*] *τοι* mss. Deesse nequit *κε*, non enim *ὡς ut* requiritur (ut *Β* 363 *Ζ* 259 etc.) sed *ὥς κε quemadmodum*. Vitium peperit syllabae *-οι* elisio (cf. § 13).

84 *ὥς κέν* § 326] *ὡς ἄν* mss.

85 sq.] vid. ad vs. 73.

86 *ἀποδάσσωσιν* Bekker, cf. *Ρ* 231 *Χ* 118 *Ω* 595] *ἀπονάσσωσιν* mss. (cf. *Β* 629 *δ* 174 *ο* 254), quod verbum a contextu alienum.

87 *ἴμεναι* § 125] *ἰέναι* mss.

88 *δώῃ*] *δῴη* mss. complura.

μὴ σύ γ᾽ ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
μηδ᾽ ἐπαγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι,
Τρῶας ἐναιρόμενος, προτὶ Ϝίλιον ἡγεμονεύειν,
μή τις ἀπ᾽ Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τοὺς φιλέει ϜεκάϜεργος Ἀπόλλων·
ἀλλὰ πάλιν τροπάεσθαι, ἐπεὶ φάος ἐν νήεσσι
96 θήῃς, τοὺς δ᾽ ἐάειν πεδίον κάτα δηριάεσθαι.“
101 ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἴας δ᾽ οὐκέτ᾽ ἔμιμνε, ᾽βιάζετο γὰρ βελέεσσι· 102 = O 727
᾽δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγανοὶ
βάλλοντες. δϜεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
πήληξ βαλλομένη καναχὴν ἔχε, ᾽βάλλετο δ᾽ αἰεὶ
κὰπ φάλαρ᾽ εὖ ποιήθ᾽· ὃ δ᾽ ἀριστερὸν ὦμον ἔκαμνε
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδ᾽ ἐδύναντο
ἀμφ᾽ αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσι.
αἰεὶ δ᾽ ἀργαλέῳ ἔχετ᾽ ἄσθματι, κὰδ δέ Ϝοι ἱδρὼς 109a cf. O 10 [sq. 109b sq.a cf. λ 599

---

97 αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, 97 = B 371
μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
μήτε τις Ἀργείων, νῶιν δ᾽ ἐκδυῖμεν ὄλεθρον,
100 ὄφρ᾽ οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν. 100 cf. ν 388

89 sq. Zen. om. || Pro 93—96 Zen. *unum* versum habebat, vid. adnot. || 97—100 Zen. Ar. —

---

90 θήσεις] θείῃς Townl. (*κέ με θείῃς?)

91 μηδ᾽ ἐπαγαλλόμενος] comp. † (cf. ἐπαγλαΐζομαι Σ 133), μή σύ γ᾽ ἀγαλλόμενος Zen. omissis vs. 89 sq.

92 ἡγεμονεύειν Ar. mss.] αἰπὺ δίεσθαι Zen.; cf. O 71.

93] Zen. μή σ᾽ ἀπογυμνωθέντα (vel ἀπομουνωθέντα) λάβῃ κορυθαίολος Ἕκτωρ, omissis vs. 94-96.

94 *φιλέει § 191] γε φιλεῖ mss.

95 τροπάεσθαι § 191 et 251] τροπάασθαι, τρωπᾶσθαι, τρωπάασθαι mss. || ἐπεὶ § 326] ἐπὴν mss. Cf. vs. 453.

96 δ᾽ ἐάειν PKnight] δέ τ᾽ (vel δ᾽) ἐᾶν mss.; cf. § 191. || δηριάεσθαι § 191] δηριάασθαι mss.

99 νῶιν] pro νῶι (sic L Eust.) turpe vitium, quod interpolatori imputandum videtur; vid. Α 336 alibi. || ἐκδυῖμεν § 114] ἐκδῦμεν Eust. H, ἐκδύμεν Herodianus et mss. pleraque, tanquam sit infinitivus.

100 κρήδεμνα] de urbis arcibus etiam ν 388 h. Cer. 151 h. V 2, item Hes. Scut. 105; cf. κάρηνα B 117.

102-111] cf. Verg. Aen. IX 806-814.

103 ᾽δάμνα] cf. § 195. || μιν] γὰρ Nauck.

104 δεινὴν] sic Ar.?, δεινὴ mss. multa. || φαεινὴ] in versus fine suspicionem movet epitheton ornans substantivo quod sequentem versum aperit iungendum; vid. N 611 Π 338. Lehrs Arist.[2] p. 450 sq. coniecit μένοντος aut ἀραρυῖα.

105 ἔχε] cf. Σ 495; χέε Nauck sine iusta causa. || βάλλετο] sic Ar., alii olim τύπτετο.

106 κὰπ] καὶ Ar. C[2] male. Cf. δ 72 σ 355 et l. a. δ 391. || φάλαρ᾽] †; *bullas* circa galeae verticem prominentes probabiliter interpretatus est Helbig Hom. Epos[1] p. 213 sqq. collatis verbis φάλος φαληριᾶν τετραφάληρος (vid. ad E 743 et ad N 799).

109 sq.] imitatur Verg. Aen. V 199 sq.

πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχε 110 cf. Ψ 688 sq.
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.

ἔσπετε νῦν μοι μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι, 112 = B 484
ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
'πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθε,
ἄντικρυς δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
'πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ' ἀπ' αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδις 'βόμβησε πεσοῦσα. 118ᵇ cf. N 530
'γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα — 'ρίγησέν τε —
ϝέργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδε' ἔκειρε 120ᵇ cf. O 467
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ 'βούλετο νίκην. 121ᵇ = H 21
'χάζετο δ' ἐκ βελέων, τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
νηὶ θοῇ· τῆς δ' αἶψα κατ' ἀσβέστη 'κέχυτο φλόξ.
ὣς τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺς
μηρὼ πληξάμενος Πατροκλέεα προσέϝειπε·
„ὄρσεο, διογενὲς Πατρόκλεες, ἱπποκέλευθε·
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηίοιο ϝιωήν·
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται. 128ᵇ cf. ϑ 299 ξ 489
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω."
ὣς 'φάτο, Πάτροκλος δὲ 'κορύσσετο νώροπι χαλκῷ. 130 cf. H 206
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε 131-133 = Γ 330 sqq.
καλὰς, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίας·

---

110 *πολὺς ἔρρεεν*] *ῥέεν ἄσπετος* Macrob. Sat. VI 3 § 2.

111 *κακὸν κακῷ ἐστήρικτο*] cf. T 290 *δέχεται κακὸν ἐκ κακοῦ αἰεί.*

114] vid. ad A 9. ‖ *δόρυ μείλινον*] non congruit cum versu recentiore O 677, ubi Aiax versare dicitur contum navalem.

115 *καυλὸν*] vid. ad N 216.

116 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.

117 *κόλον*] † *decurtatum* (cf. libri Θ nomen). Cohaerent verbum *κολούω* (Υ 370 ϑ 211 λ 340) et recentiorum adi. *κολοβός.*

120 *μήδε' ἔκειρε*] *μήδεα κεῖρε* Ar., sic vel *μήδεα κείρει* mss.

121 *'βούλετο νίκην*] *βούλετ' ἀρήγειν* D Vrat.

123 *κατ' ἀσβέστη*] sic Ar., alii olim *κατὰ σβεστὴ* aut *κατασβεστή.*

124 *τὴν ... πρυμνὴν*] *τῆς ... πρύμνης* D¹ Vrat. ‖ *πῦρ ἄμφεπεν*] idem legitur Σ 348 ϑ 437.

125 *Πατροκλέεα* § 73] *-κλῆα* mss.

126 *Πατρόκλεες* § 73] *-κλεις* mss. ‖ *ἱπποκέλευθε*] vs. 584 et 839 redit vox, cuius syllaba finalis suspecta est, nam cum verbo *κελεύω*, non cum nomine *κέλευθος*, cohaerere patet; Bentley *ἱπποκελευστά*, Nauck *-λευτά.*

127 *δηίοιο*] cf. § 17. ‖ *ϝιωήν*] *ἐρωήν* liber Massiliensis et codd. complures.

128 *ἕλωσι*] *ἕλησι* Weckleín ad *πῦρ* referens, non recte tamen, *ignis* enim naves *αἱρεῖν* nusquam dicitur apud Homerum, de *Troianis* vero frequenter hoc verbum usurpatur, vid. Λ 315 N 42 Ξ 365 O 476, 504, 720 Σ 260.

129] in marg. D et in Vrat. additur *Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένηαι* (cf. vs. 39).

δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
ποικίλον ἀστερόεντα ποδώκεος Αἰακίδαο.
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφος ἀργυρόηλον 135-138 = Γ 334 sqq.
χάλκεον. αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκε
ἵππουριν· δϝεινὸν δὲ λόφος καθύπερθεν ἔνευε.
εἵλετο δ' ἄλκιμα δοῦρα, τά ϝοι παλάμηφιν ἀρήρει. 139 cf. Γ 338
ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνύμεν' ἄνωγε,
τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα 'τῖε μάλιστα,
πιστότατος δέ ϝοι ἦσκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσ' ἐπετέσθην, 149 sq. cf. Τ 400
τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.

140 ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο,
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ 'δύνατ' ἄλλος Ἀχαιῶν 141-144 = Τ 388 sqq.
παλλέμεν', ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς, 141[a] = Ε 746
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ 'τάμε Χίρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσι.
140 Zen. —, 141—144 ne scripsit quidem (cf. vs. parall.)

133 *στήθεσσιν*] *-σφιν*? vid. ad *Μ* 401. || *ἔδυνε*] *ἔθηκε* Genev.

134 *ἀστερόεντα*] *coeli* alias est epitheton, *Σ* 370 autem aedium Vulcani. Significaturne thorax ornamentis stellarum figuram referentibus variegatus, an nihil nisi *splendidum* (cf. *Ζ* 295 *ο* 108 *Τ* 381) intellegi voluit poeta? || *ποδώκεος Αἰακίδαο*] *κακῶν βελέων ἀλεωρήν* olim alii; quam lectionem imitatus esse videtur comicus in parodia Vesp. 615 (*τόδε κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεωρήν*), alibi certe in Homericis nihil eiusmodi legitur, longius enim distant *Μ* 57 *Ο* 533. Hac lectionis varietate confirmatur Bergkii opinio, armorum permutationem sero demum Iliadi esse invectam, recentioris igitur originis esse versus 40-43, 64, 140-144 (a Zenodoto damnatos), 793-804, 815, 846 *Ρ* 186-214 *Σ* 83 sqq., hoc autem loco *sua ipsius arma* olim induisse Patroclum. Quid quod verba *δύσεο τεύχεα* vs. 129 aliter accipi vix possunt?

139 *δοῦρα* PKnight] *δοῦρε* mss.; vid. ad 495.

140-144] vid. ad vs. 134.

142 *παλλέμεν'* § 125] *πάλλειν* mss.

143 *'τάμε*] *πόρε* mss. multa, Ar. utrumque; cf. vs. parall.

144 *ἐκ κορυφῆς*] *ἐν κορυφῆς* Ar. non recte, vid. § 57.

145-154] hos (et plura igitur in libri exitu) delet Bergk; currum enim Patroclo inutilem fore; equum funalem (cf. *Θ* 87 *δ* 590) ab aevo heroico alienum esse; bigis autem immortalibus tertium equum addere mortalem, id vix esse sani hominis.

145 *ζευγνύμεν'*] notetur $\bar{υ}$, cf. § 125 et 195.

147 *ἦσκε*] *ἔσκε* mss.

149 *πνοιῇσ' ἐπετέσθην*] *-ῇσι πετ.* mss.

150 *ἔτεκε*] *τέκετο* Eust. || *ἅρπυια*] numinis quoddam genus sub equi imagine latentis (cf. *βοσκομένη* vs. 151), in Odyssea vero (*α* 241 *ξ* 371 *υ* 77) *procellas* indicat. || *Ποδάργη*] *πόδαργος* Zen., Timogenes apud Apoll. lex. *ποδάργη*, pro adiectivo non recte habentes; vid. *Τ* 400 et ad *Α* 99. De re cf. *Υ* 223 Verg. Georg. III 273 sqq.

151 *Ὠκεανοῖο*] l. a. *Ἠριδανοῖο*, quod nomen apud Homerum non redit sed legitur Hes. Theog. 338.

ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς,
ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποισ' ἀθανάτοισι.
Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος 'θώρηξεν Ἀχιλλεὺς
πάντῃ ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ λύκοι ὣς 156ᵇ-158 cf. Λ 473 sqq.
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή, —
οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες
δάπτουσιν· πᾶσιν δὲ παρήια αἵματι φοινά· 159 cf. χ 404ᵇ sq.ᵃ
καί τ' ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου
λάψοντες γλώσσῃσι ϝαραιῇσιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ· —
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο 165 = Ρ 388
'ρώοντ'. ἐν δ' ἄρα τοῖσιν ἀρήιος ἵστατ' Ἀχιλλεύς,
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. 167 cf. Β 554
πεντήκοντ' ἦσαν νῆες θοαί, ᾗσιν Ἀχιλλεὺς
εἰς Τροίην ἡγεῖτο Διὶ φίλος· ἐν δὲ ϝεκάστῃ
πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·
πέντε δ' ἄρ' ἡγεμόνας 'ποιήσατο, τοῖσ' ἐπεποίθει,
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἐϝάνασσε.
τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
υἱὸς Σπερχειοῖο, διιπετέος ποταμοῖο·
ὃν 'τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,

---

152 *παρηορίῃσιν*] vid. ad *Θ* 87.

153 *ἤγαγ'*] Nauck *ἦρετ'*.

156 *πάντῃ*] *πάντῃ* Zen., *πάντας* mss.

159 *παρήια ... φοινά* LaRoche] *παρήιον ... φοινόν* mss. || *φοινά*] vid. ad *Μ* 202.

160 *ἀγεληδὸν*] †. || *ἀπὸ*] *ἐπὶ* Naber cum Vrat.

161 *λάψοντες*] *λάψαντες* Zen. Verbum †.

162 *ἄκρον*] nempe *ὕδωρ*. Canes luposque sic bibere notum est, itaque in bibentium descriptione aptissime id potuit commemorari; ab hoc tamen loco tale quid alienum videtur, non enim *ut superficiem aquae lingua stringant* sed ut sitim restinguant catervatim festinant lupi. || *φόνον αἵματος*] insolite dictum; *φόνος* = *cruor* legitur etiam *Κ* 298 *Ω* 610 *χ* 376.

163 *περιστένεται*] compositi medium † (act. = *circa resonat* h. XVIII 21); cf. *Κ* 16 etc. *Φ* 220 *ι* 219, 445. Parum apte ultima sunt addita: *oppletus autem est eorum venter.*

167 *ἀσπιδιώτας*] cf. *Β* 554.

168-197] postea esse insertos, fortasse vs. 168-211, satis apparet; de Phoenice (vs. 196) vid. ad *Ι* 182.

168 *πεντήκοντ'*] cf. *Β* 685.

169 *δὲ*] *δ' ἄρ'* mss. nonnulla.

170 *πεντήκοντ'*] cf. *Β* 510, 719.

172 *ἐϝάνασσε*] *ἤνασσε* mss.

174] quod in schol. A ad *Φ* 2 affertur *υἱὸς Σπερχειοῖο ὃν ἀθάνατος τέκετο Ζεύς* non est huius loci l. a., sed e schol. V corrigendum est *υἱὸς Πειριθόοιο*, citatur enim *Β* 741.

175 *ὃν*] sic Aristoph. Ar., *τὸν* mss. complura. || *Πολυδώρη*] *Κλεοδώρη* Zen.

Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα,
αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἷι,
ὅς Ϝ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια Ϝέδνα.
τῆς δ' ἑτέρης Εὔδωρος ἀρήιος ἡγεμόνευε,
παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντος θυγάτηρ. τῆς δὲ κρατὺς Ἀργεϊφόντης — 181-183 cf. h.Ven. 117 sq.
ἠράσατ', ὀφθαλμοῖσι Ϝιδὼν μετὰ μελπομένῃσι
ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς· — 183^{b} cf. Υ 70 h. Ven. 16
αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ — 184^{b} cf. Β 515
Ἑρμείας ἀκακῆτα, 'πόρεν δέ Ϝοι ἀγλαὸν υἱὸν — 185^{a} cf. ω 10
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν. — 186 cf. γ 112 δ 202
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος Εἰλείθυια — 187^{b}=Τ 103 h.Ap. 97, 115 cf. Λ 270
ἐξάγαγε πρὸ φάοσδε καὶ ἠελίοι' ἔϜιδ' αὐγάς, — 188^{a} cf. Τ 118
τὴν μὲν Ἐχεκλέεος κρατερὸν μένος Ἀκτορίδαο
ἠγάγετο πρὸς δώματ', ἐπεὶ 'πόρε μυρία Ϝέδνα· — 190^{a} cf. ο 238 190^{b} = Χ 472 λ [282
τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ' ἀτίταλλε, — 191^{b} cf. Ξ 202 τ 354
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑϜὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήιος ἡγεμόνευε
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσι
ἔγχεϊ μάρνασθαι μετὰ Πηλεΐωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.

183 Ar. —

176^{b}] imitatur Verg. Aen. VII 661: *mixta deo mulier.* Contrarium legitur *Β* 821.

177 ἐπίκλησιν] alias dicitur de *cognominibus* (*Η* 138 *Σ* 487 *Χ* 29, 506 h. Ap. 386). || υἷι] sic Herodianus, υἱεῖ vel υἱῷ olim alii; cf. § 78 et ad *Φ* 34.

178 *Ϝ'] ὅ mss. || ἀπερείσια Ϝέδνα] ἀπερείσι' ἔϜεδνα Barnes, quae forma etiam ceteris locis (*Π* 190 *Χ* 472 *λ* 117, 282 *ν* 378 *τ* 529) potest substitui. Cf. § 43.

180 παρθένιος, τὸν] *ex innupta natus, quem*, sic Ar.; alii παρθένιος τὸν ἔτικτε *quem innupta peperit*; vid. Lehrs Ar.[2] p. 132.

183 χρυσηλακάτου] recte interpretari videtur Hesychius καλλιτόξου, licet ἠλακάτη significet *colum* vel *fusum*; cf. *δ* 135. Epitheton redit *Υ* 70 *δ* 122 h. Ven. 16, 118. Conferri potest ἄτρακτος (*fusus*) de *sagitta* adhibitum in dicto Dorico apud Thuc. IV 40 et apud tragicos.

185 'πόρεν ... Ϝοι] *procreavit ex ea*; locutio non redit.

188 πρὸ φάοσδε] πρὸ φόωσδε Zen., φόως δὲ (i. e. φαόσδε) Aristoph. Ar. A, sed *in thesi* syllaba φα- produci non potuit. Cf. *Τ* 118. || ἠελίοι' § 59] -λίου mss. || ἔϜιδ'] ἴδεν mss.

189 Ἐχεκλέεος § 73] -κλῆος mss.

190 Ϝέδνα] vid. ad vs. 178.

191 δ' ὁ] δὲ? || εὖ ἔτρεφεν] hiatus notabilis (cf. *Β* 253 *Ξ* 162 *Ω* 269); locis simillimis *Ξ* 202 *τ* 354 est εὖ 'τρέφεν.

194 Μαιμαλίδης] Nauck Μαιναλίδης probabiliter.

196 γέρων ἱππηλάτα] l. a. γερήνιος ἱππότα, vid. ad *Β* 336.

197 Ἀλκιμέδων] vid. ad *Τ* 392.

αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
'στῆσεν ἐὺ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε· 199ᵇ = Α 25
„Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλέετε Τρώεσσι
πάνθ' ὑπὸ μηνιθμὸν, καί μ' ἠτιάεσθε ϝέκαστος·
‚σχέτλιε Πηλέος υἱὲ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀϝέκοντας ἑταίρους·
ϝοίκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισι 205ᵃ = Β 236
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.‘ 206 cf. Ι 436
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος ϝέργον μεγάλης, τοῦ πρίν περ ἔρασθε.
ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.“
ὧς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου· 210 = Ε 470
μᾶλλον δὲ στίχες ἦρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων, 213 = Ψ 713
ὧς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι. 214 cf. τ 32
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυθ', ἀνέρα δ' ἀνήρ· 215-217 = Ν 131 sqq.
'ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὧς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε 'θωρήσσοντο,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,

201 *ἀπειλέετε* § 191] *-λεῖτε* mss.

202 *ὑπὸ*] *per*, sensu temporali; praepositio insolite adhibita; cf. *Χ* 102. || *μ' ἠτιάεσθε* § 191] *μ' ἠτιάασθε* mss., *μητιάασθε* Zen.

203 *χόλῳ*] proprio *fellis* sensu *χόλος* hoc uno loco apud Homerum, sed aliis poetis usitatum (Att. *χολή*). — Locum imitatur Theocrit. III 16.

207 *ταῦτά μ'*] sic Ar., *ταῦθ' ἅμ'* Hermias Syr. H. || *μ'(οι)*] vid. § 13. An *μ'(ε)* voluit poeta? vid. *Ι* 59 *Μ* 60. Wunder *ταῦτά μοι ἀγρόμενοι.* || *θάμ' ἐβάζετε*] *θαμὰ βάζετε* Ar.

207 sq. *πέφανται … τοῦ πρίν περ ἔρασθε*] Verg. Aen. X 279 sic vertit: *quod votis optastis, adest.* || *πέφανται … ϝέργον*] cf. *Λ* 734 *Μ* 416.

208 **ϝέργον μεγάλης, τοῦ*] *μέγα ἔργον, ἕης τὸ* mss.; nihili forma *ἕης* ne ultimae quidem aetatis poetis est tribuenda. PKnight (metro invito) *ὅου τὸ πρίν γ' ἐράεσθε*, Nauck *ὅο πρίν γ' ἠγάσσασθε* (cf. *Β* 325 *α* 70), Christ *ὅο πρόσθεν γ' ἐράασθε.* || **περ ἔρασθε*] *γ' ἐράασθε* mss.; cf. *ε* 119 *π* 203 et § 191. De particulis *πρίν περ* vid. *Ε* 135 *Θ* 452.

209 *ἔνθα*] spectat ad *νῦν* (vs. 207). Vert. *quae cum ita sint.*

210 *θυμόν τε* Bentley] *καὶ θυμὸν* mss.

211 *ἦρθεν*] *ἄρθεν* mss., Ar. *ἄρθεν* (ut *ἄρσαντες* *Α* 136) minus recte, ad *ἀραρίσκειν* enim (§ 285) est referendum.

214 *ἄραρον*] intransitive aoristus nonnisi h. l. et *δ* 777 adhibitus est, malis autem transitive; cf. vs. 212. Bentley *κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας*, vid. *τ* 32.

215 *κόρυθ'* l. a. in schol. V] *κόρυν* mss., vid. *Ν* 131 et § 66.

216 *'ψαῦον*] vid. ad *Ν* 132.

218 *'θωρήσσοντο*] *-σσεσθον* A (ut *Ν* 301). Vid. § 115.

219 sq. *ἕνα — πολεμιζέμεν'*] sensum mire distorquens Verg. Aen. IX 182 vertit: *his amor unus erat pariterque in arma ruebant.*

προόσθεν Μυρμιδόνων πολεμιζέμεν᾽.
αὐτὰρ Ἀχιλλεὺς
᾽βῆ ῥ᾽ ἴμεν᾽ εἰς κλισίην, χηλοῦ δ᾽ ἀπὸ πῶμ᾽ ἀνέοιγε
καλῆς δαιδαλέης, τήν Ϝοι Θέτις ἀργυρόπεζα
᾽θῆκ᾽ ἐπὶ νηὸς ἄγεσθαι ἐῢ πλήσασα χιτώνων
χλαινάων τ᾽ ἀνεμοσκεπέων Ϝούλων τε ταπήτων.
ἔνθα δέ Ϝοι δέπας ἦσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ᾽ ἀνδρῶν ᾽πίνεσκεν ἀπ᾽ αὐτοῖ᾽ αἴθοπα Ϝοῖνον,
οὔτε τεῳ ᾽σπένδεσκε θεῶν, ὅτι μὴ Διὶ πατρί.
τό ῥα τότ᾽ ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
πρῶτον, ἔπειτα δ᾽ ἔνιψ᾽ ὕδατος καλῇσι ῥοῇσι,
᾽νίψατο δ᾽ αὐτὸς χεῖρας, ἀφύσσατο δ᾽ αἴθοπα Ϝοῖνον.
ηὔχετ᾽ ἔπειτα μέσῳ στὰς ἕρκεϊ, ᾽λεῖβε δὲ Ϝοῖνον 231 sq.ª = Ω 306 sq.
οὐρανὸν εἰσανιδὼν — Δία δ᾽ οὐ ᾽λάθε τερπικέραυνον —·
„Ζεῦ Ϝάνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου, — ἀμφὶ δὲ Σελλοὶ
σοὶ ναίουσ᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι, —

---

220 *πολεμιζέμεν᾽*] *-ζειν* Ambr. Z Vrat.

221 *ἀνέοιγε*] *ἀνέῳγε* mss.; sed etiam diphthongus *-οι-* novicia est: **ἀνόιξε*? vid. § 241.

223 *᾽θῆκ᾽*] *δῶκ᾽* Nauck. || *ἄγεσθαι*] *ἰόντι* Zen. Aristoph.

224 *ἀνεμοσκεπέων*] †, cf. *σκέπας* ε 443 etc., *σκεπάω* ν 99, et vid. ξ 529.

225 *ἦσκε*] *ἔσκε* mss. || *οὐδέ*] *οὔτε* Ambr. C.

226 *αὐτοῖ᾽* § 59] *αὐτοῦ* mss.

227 *θεῶν*] *θεῷ* D. || *ὅτι μὴ* Ar.] *ὅτε μὴ* mss. nonnulla; quibus particulis poeta non utitur elliptice, sed constanter addito optativo, Ν 319 Ξ 248 π 197 ψ 185. Locutio *ὅτι μή* apud poetam non redit.

228 *τό*] sic Ar., *τόν* mss. pauca. || *θεείῳ*] *sulfur* ad lustrandum etiam χ 481 ψ 50 adhibetur.

229 *δ᾽ ἔνιψ᾽*] *δὲ νίζ᾽* Syr.

230 *ἀφύσσατο*] *ἀφύσσετο* Vrat. De aoristi forma cf. § 224 et vid. η 286 ι 165.

231 *ἔπειτα μέσῳ στὰς* Turnebus] *ἔπειτ᾽ ἀνστὰς μέσῳ* Syr. (item Bentley), *ἔπειτα στὰς μέσῳ* mss. cett. metro ingrato. || *μέσῳ... ἕρκεϊ*] Iovis *ἑρκείου* ara, in media aula posita, quae etiam Ω 306 est intellegenda, nominatim indicatur χ 335, 379, aliunde autem est notissima (cf. Soph. Antig. 1301, Plat. Rep. 328 *c*, Pausan. II 24 § 5 VIII 46 § 2 etc.), nec non reperta est in ruderibus antiquissimarum regiarum quae Tirynthe et Athenis sunt effossae.

232 *εἰσανιδὼν*] comp. nonnisi Ω 307 redit, neglectum autem est Ϝ. Bentley *εἰσοράων* (*-άων* § 191) vix probabiliter. || *τερπικέραυνον*] cf. § 251.

233 *Δωδωναῖε*] Steph. Byz. s. v. *Δωδώνη* et schol. V referunt Zenodotum scripsisse *Φηγωναῖε*, alios *Βωδωναῖε* (a Thessaliae urbe *Bodone* derivantes); praeterea in schol. commemoratur lectio insulsa *ἀναδωδωναῖε* (*παρὰ τὴν ἀνάδοσιν τῶν ἀγαθῶν*!), quacum cf. l. a. *ἐνδονέοντα* Ν 363. || *Πελασγικὲ*] l. a. *-αργικέ*, *-αστικέ*. — Dodonamne in regione quae postea Thessalia dicta est poeta collocavit? || *τηλόθι*] *αἰθέρι* Nauck, vix ex mente poetae.

234 *Δωδώνης*] cf. ξ 327. || *δυσχειμέρου*] cf. Β 750; *πολυπίδακος* Zen. || *Σελλοὶ*] l. a. *σ᾽ Ἑλλοί*, quam Pindarus secutus est (sec. schol. et Strab. VII p. 328), ab Ar. repudiata. *Σελλοί* legitur apud Sophoclem Trach. 1167. Cf. § 45 et fluminis nomen *Σελλήεις* Β 659 etc.

235 *ὑποφῆται ἀνιπτόποδες*] utrumque †. || *χαμαιεῦναι*] cf. § 17; imitantur Soph. Trach. 1166 Call. h. Del. 286. Non squalor (cf. κ 243 ξ 15) indicatur sed vitae austeritas, nec aliter accepit Eurip. fr. 368.

ἠμὲν δή ποτ' ἐμὸν ϝέπος ἔκλυες εὐξαμένοιο, 236 cf. Α 453
'τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν, 237 sq. = Α 454 sq.
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐϝέλδωρ.
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι, 239 cf. Τ 42
ἀλλ' ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσι
μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύϝοπα Ζεῦ,
θάρσυνον δέ ϝοι ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ 242ᵇ sq. cf. Θ 110 sq.
ϝείσεται ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἤ ϝοι τότε χεῖρες ἄαπτοι
μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος. 245ᵇ = Η 147
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχιμάχοισ' ἑτάροισι."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητιέτα Ζεύς. 249 = Ω 314 υ 102
τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·
νηῶν μέν ϝοι ἀπώσασθαι πόλεμόν τε μάχην τε
'δῶκε, σάον δ' ἀνένευσε μάχης ἒξ ἀπονέεσθαι. 252ᵇ = Υ 212
ἦ τοι ὃ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρὶ
ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ,
'στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
εἰσϝιδέμεν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν. 256 cf. Δ 65
οἳ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσι ϝεϝοικότες ἐξεχέοντο,

260 ἐνοδίοισ', οὓς παῖδες ἐριδμαίνωσι ϝέθοντες,
αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι ϝοικί' ἔχοντας,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.

237 Zen. om., Aristoph. Ar. —— || 261 Aristoph. Ar. ——

243 ϝείσεται] futurum suspectum, item Θ 111; vid. ad δ 163. || ἐπίστηται] ἐπιστέαται Zen., ἐπίσταται mss. complura. Scribi posset ἐπιστάεται (cf. § 122), nisi ipse subiunctivus suspicionem moveret (vid. Θ 111); Nauck ἐπιστάμενος (cf. Β 611).

247 ἵκοιτο] ἱκέσθω Syr.

248] del. Bergk; vid. ad vs. 134. || ξὺν πᾶσι] sic Herodianus, una voce mss. pauca. || ἀγχιμάχοισ'] ἀγχεμάχοις mss. pleraque. Vid. ad Ν 5.

249-252] imitatur Verg. Aen. XI 794-798.

251 μέν ϝοι] μέντοι C.

252 σάον l. a. apud Did.] σόον mss.; cf. § 62. || ἀπονέεσθαι] de ᾱ- vid. § 21.

254 ἀπέθηκ'] l. a. ἐπέθηκ' ab Ar. iure reiecta.

256 εἰσϝιδέμεν § 126] εἰσιδέειν mss. || φύλοπιν] φυλόπιδ'? cf. § 66.

259 sqq.] similis est comparatio Μ 167 sqq.

260 ἐνοδίοισ' § 21] εἰνοδίοις mss.; adi. †. || ἐριδμαίνωσι] -νουσι Harl. Eust.; verbum †, cf. Ψ 792. || ϝέθοντες] vid. ad Ι 540.

261] abundare vidit Ar.; sed non minus molesti sunt vs. 260 et 262, quos delevit

τοὺς εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
κινήσῃ ἀϝέκων, οἳ δ' ἄλκιμον ἦτορ ἔχοντες
πρόσσω πᾶς πέτεται καὶ ἀμύνει ϝοῖσι τέκεσσι.
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει. 267ᵇ = Λ 500
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο μακρὸν ἀύσας·
„Μυρμιδόνες, ἕταροι Πηληιάδα' Ἀχιλῆος,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς, 270 = Ζ 112
ὥς κεν Πηλεΐδην τιμήσομεν, ὃς μέγ' ἄριστος 271ᵇ sq. = Ρ 164 sq.
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχίμαχοι θεράποντες,
γνώῃ δ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων 273 sq. = Α 411 sq
ϝὴν ἀάτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὔ τι ἔτισε."
ὣς ϝειπὼν ὤτρυνε μένος θυμόν τε ϝεκάστου. 275 = Ε 470
ἐν δ' ἔπεσον Τρώεσσιν ἀϝολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον 'κονάβησαν ἀυσάντων ὑπ' Ἀχαιῶν. 277 = Β 334
Τρῶες δ' ὡς ἐϝίδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας, 279 cf. Ν 331
πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες, 280ᵃ = Ε 29
ϝελπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλεΐωνα 281ᵇ = Θ 474
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι·
'πάπτηνεν δὲ ϝέκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον. 283 = Ξ 507
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι 'κλονέοντο, 285ᵇ = Ε 8
νηὶ πάρα πρυμνῇ μεγαθύμου Πρωτεσιλάου,
καὶ 'βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς

272 del. Seleucus.

Nitzsch. Duas recensiones permixtas esse vidit Friedlaender; a viatore vespas casu excitari finxit poeta, a pueris per lusum lacessi interpolator. || κερτομέοντες] non *lacessendi* sed *irridendi* vim huic verbo a poeta alias tribui (η 17 etc.) observavit Ar. || ἔχοντας] sic Ar., -ντες mss. multa.

263 τούς Syr.[1]] τοὺς δ' mss. cett. || ἄνθρωπος] alteri substantivo nonnisi h. l. et ν 123 additur (ἀνήρ vero passim).

264 sq. οἳ...πᾶς πέτεται καὶ ἀμύνει] de constructione vid. ad Γ 211.

269 Πηληιάδα' § 55] -δεω mss.

271 κεν § 326] ἂν mss. || ὃς] ὡς Cauer.

272 ἀγχίμαχοι Vrat.] ἀγχέμαχοι mss. cett. Vid. ad Ν 5.

273 *γνώῃ δ' § 122] γνῷ δὲ καὶ mss.

274 ἀάτην] ἄτην mss. || *οὔ τι] οὐδὲν mss.; cf. § 100.

275 θυμόν τε Bentley] καὶ θυμὸν mss.

279 μαρμαίροντας] δαιδαλέοισι (e versu parallelo) Duentzer, fortasse recte; an *μαρμαίρουσι? alibi certe (uno Ν 801 excepto) non *homines* sed *arma* dicuntur μαρμαίρειν. Satis tamen locutio σὺν ἔντεσι μαρμαίρειν videtur defendi aliis locis Homericis, vid. Ε 220 Θ 530 Ν 719 Π 156 etc.

281 ϝελπόμενοι] sic Ar., -ναι Zen.; cf. Α 251.

ἤγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος· 288ᵇ = Β 849
τὸν 'βάλε δεξιὸν ὦμον, ὃ δ' ὕπτιος ἐν κονίῃσι 289ᵇ sq.ᵃ = Δ 522 sq.
κάππεσεν οἰμώξας, ἕταροι δέ μιν ἀμφ' ἐφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ὦρσεν ἅπασι
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι. 292 cf. Δ 746
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴς δ' ἄρα νηῦς 'λίπετ' αὐτόθι, τοὶ δ' ἐφόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο.
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεὺς,
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι 299 sq. = Θ 557 sq.
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθὴρ,
ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήιον πῦρ 301ᵇ cf. Σ 13
τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ 'γίγνετ' ἐρωή. 302ᵇ = Ρ 761
οὐ γάρ πώ τι Τρῶες Ἄρηι φίλων ὑπ' Ἀχαιῶν
προτροπάδην ἐφέβοντο μελαινάων ἀπὸ νηῶν,
ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπέϝεικον ἀνάγκῃ.

ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης 306 = Ο 328
ἡγεμόνων, πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱός.
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηιλύκου 'βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 309ᵇ = Ν 388
'ρῆξεν δ' ὀστέον ἔγχος, ὃ δὲ πρηνὴς ἐπὶ γαίῃ
κάππεσ'. ἀτὰρ Μενέλαος ἀρήιος οὗτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, 'λῦσε δὲ γυῖα. 312 = 400

---

296 νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ' ἀλίαστος ἐτύχθη. 296 = Μ 471

---

290 ἀμφ' ἐφόβηθεν H] ἀμφὶ φόβηθεν Ar., ἀμφιφόβηθεν aut ἀμφεφ. mss. cett. (comp. †).
291] versus immodulatior. || *ὦρσεν] ἧκεν mss.; vid. ad Ο 327.
293 αἰθόμενον] l. a. ἀκάματον.
294 ἡμιδαής] †.
295 ἐπέχυντο] vid. ad Ο 654.
296] del. Bekker.
298 στεροπηγερέτα] †. Aptum sensum vix praebet vox (cf. Lehrs Arist.² p. 456) propter ipsam formam (στερ. pro ἀστερ.) suspecta; vid. ad Λ 184. PKnight probabiliter Ζεὺς ἀστεροπητής coll. Α 609.
300 νάπαι ... ὑπερράγη] vid. ad Θ 558.
301 δήιον] cf. § 17.
302 ἐρωή] *requies*, item versu parall.; alias (Γ 62 Δ 542 etc.) significat *impetum*; duas igitur homonymas esse voces apparet; vid. ad Λ 303.
304 προτροπάδην] †. || ἐφέβοντο H Vrat.] φοβέοντο mss. cett.
305 ὑπέϝεικον] ὑπόεικον mss.
307] sic interpunxit Nicanor, cf. δ 219 sqq.; alii post ἡγεμόνων claudebant sententiam. — Vox ἡγεμόνων pendet ab ἀνήρ (cf. vs. 351).
309 ἔγχεϊ] cf. § 15.
310 ἔγχος] ἐντὸς Naber coll. Ρ 211. || γαίῃ] -ης mss. complura.

Φυλεΐδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε. 316ᵇ = Δ 461
Νεστορίδαι δ' ὃ μὲν οὔτασ' Ἀτύμνιον ὀξέι δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ δι' ἤλασε χάλκεον ἔγχος·
ἤριπε δὲ προπάροιθε. Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνήτοιο χολωθεὶς,
στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
ἔφθη ὀρεξάμενος πρίν γ' οὐτάσαι — οὐδ' ἀφάμαρτε —
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
'δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε.
'δούπησεν δὲ πεσών, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψε. 325 = O 578
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
'βήτην εἰς ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν
'θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισι.
Αἴας δὲ Κλεόβουλον 'Οιλεΐδης ἐπορούσας
ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά ϝοι αὖθι
'λῦσε μένος, πλήξας ξίφε' αὐχένα κωπήεντι. 332ᵇ cf. Υ 475
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε 333 sq. = Υ 476 sq.
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. 334 = E 83
Πηνέλεος δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν 338 sq. cf. Γ 361; 338 cf. N 614 sq.

---

313 ἐφορμηθέντα] ὑφ. Aristoph.

314 ὀρεξάμενος] cum acc. *percutiendi* sensu (praecedente verbo φθάνω) etiam Π 322 Ψ 805.

315 μυὼν] μυιὼν mss. pauca; vox redit vs. 324. || αἰχμῇ] ἀκμῇ Harl., l. a. Lips. ὁρμῇ.

317 Νεστορίδαι...ὃ μὲν] desideratur ὃ δέ, pro quo vs. 321 legitur Θρασυμήδης: cum tota constructione cf. N 584 sq.

319 αὐτοσχεδὰ] alias -δὸν.

322 ὀρεξάμενος] sc. ὦμον; cf. vs. 314. || πρίν γ' § 18] πρὶν mss.

324 μυώνων] μυιώνων mss. nonnulla; cf. vs. 315.

327 'βήτην εἰς ἔρεβος] insolite dictum, unum conferri potest ϝιεμένων ἔρεβόσδε υ 356.

328 ἀκοντισταὶ] vox nonnisi σ 262 redit (ἀκοντίζειν saepius, ἀκοντιστύς Ψ 622).

329 ἀμαιμακέτην] cf. Z 179.

330 'Οιλεΐδης Nauck] 'Οιλιάδης mss.; vid. ad M 365.

332 ξίφε' § 71] ξίφει mss.

333 ὑπεθερμάνθη] comp. vs. par. redit.

335 Πηνέλεος] -ως mss.; vid. § 62 et ad B 494. || συνέδραμον] comp. nonnisi vs. 337 redit; cf. συνθεύσεται υ 245.

337 συνέδραμον] vid. ad vs. 335.

338 καυλὸν] καλὸν mss. multa (vid. ad Π 104); καυλός h. l. dicitur pars gladii quae capulo est inserta, alibi cuspidis extremitas quae immittitur hastili (vid. N 162).

φάσγανον ἐρραίσθη· ὃ δ᾽ ὑπ᾽ οὔατος αὐχέν᾽ ἔθεινε — 339 cf. σ 96
Πηνέλεος, πᾶν δ᾽ εἴσω ἔδυ ξίφος, ἔσχεθε δ᾽ οἶον — 340 cf. Φ 117ᵇ sq.ᵃ
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ᾽ Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισι
᾽νύξ᾽ ἵππων ἀποβησόμενον κατὰ δεξιὸν ὦμον· — 343 sq.ᵃ = E 46 sq.
ἤριπε δ᾽ ἐξ ὀχέων, κατὰ δ᾽ ὀφθαλμῶν ᾽κέχυτ᾽ ἀχλύς. — 344ᵇ = E 696
Ἰδομενεὺς δ᾽ Ἐρύμαντα κατὰ στόμα νηλέι χαλκῷ
᾽νύξε· τὸ δ᾽ ἄντικρυς δόρυ χάλκεον ἐξεπέρησε — 346 cf. N 652 κ 162
νέρθεν ὑπ᾽ ἐγκεφάλοιο, ᾽κέασσε δ᾽ ἄρ᾽ ὀστέα λευκά·
ἐκ δ᾽ ἐτίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ ϝοι ἄμφω
αἵματος ὀφθαλμώ· τὸ δ᾽ ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
᾽πρῆσε χανών, θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψε. — 350ᵇ = δ 180
οὗτοι ἄρ᾽ ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ϝέκαστος.
ὡς δὲ λύκοι ϝάρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι
σίνται, ὑπ᾽ ἐκ μήλων αἱρεύμενοι, αἵ τ᾽ ἐν ὄρεσσι
ποιμένος ἀφραδίηφι διέτμαγεν, οἳ δὲ ϝιδόντες
αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας,
ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον, οἳ δὲ φόβοιο
δυσκελάδου ᾽μνήσαντο, ᾽λάθοντο δὲ θούριδος ἀλκῆς. — 357ᵇ = O 322

Αἴας δ᾽ ὁ μέγας αἰὲν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ
᾽ϝίετ᾽ ἀκοντίσσαι· ὃ δὲ ϝιδριίῃ πολέμοιο, — 359ᵃ = N 585
ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους, — 360ᵇ = h. Merc. 217
᾽σκέπτετ᾽ ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ ᾽γίγνωσκε μάχης ἑτεραλκέα νίκην, — 362ᵇ = H 26

---

339 αὐχέν᾽ ἔθεινε] αὐχένα θεῖνε mss.
340 Πηνέλεος] -ως mss.; vid. § 62 et ad B 494.
341 παρηέρθη] comp. †, cf. παρήορος H 156 etc.
343 ἀποβησόμενον Naber] ἐπιβ. mss.; vid. ad E 46.
345 Ἐρύμαντα] l. a. Ὀρύμαντα.
346 ἄντικρυς § 31] ἀντικρὺ mss. ‖ ἐξεπέρησε] εἰσεπ. Genev.
347 ᾽κέασσε] κέδασε Lips. (vid. ad E 88).
348 ἐκ] ἐν Genev.
349 ὀφθαλμώ CSittl] -μοί mss.; vid. ad π 15.
350 ᾽πρῆσε] verbum sensu (sanguinem) *evomendi* usurpatum †.
351 ἄνδρα ϝέκαστος] l. a. ἄνδρας ἀρίστους.
352 sq. ὡς...λύκοι...σίνται] cf. Verg. Aen. II 355 sq. *lupi ceu* | *raptores.*
353 αἱρεύμενοι] vid. § 7 et 191. ‖ αἵ] οἵ l. a. ab Ar. reiecta; quam veram ratus Fick delet verba ἢ ἐρίφοισι — αἱρεύμενοι. Femininum post μῆλα usurpatum (quasi antecederet ὄιες) potest conferri cum E 140.
354 ἀφραδίηφι] -ῃσι mss. ‖ διέτμαγεν] sic Ar., -γον mss. pauca.
355 διαρπάζουσιν] †.
357 δυσκελάδου] †.
358 δ᾽ ὁ] δὲ? cf. I 169 Λ 563 etc.
359 *ϝιδριίῃ] ἰδρείῃ mss.
361 ᾽σκέπτετ᾽] verbum nonnisi P 652 μ 247 h. Merc. 360, 415 h. Cer. 246 redit.

ἀλλὰ καὶ ὣς ἀνέμιμνε, 'σάου δ' ἐρίηρας ἑταίρους.
ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω
αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ, 365ª = h. Cer. 70
ὣς τῶν ἐκ νηῶν 'γένετο ϜιϜαχή τε φόβος τε, 366 cf. Δ 456
οὐδὲ κατὰ μοῖραν 'πέραον πάλιν. Ἕκτορα δ' ἵπποι 366ᵇ = Μ 144
ἔκφερον ὠκύποδες σὺν τεύχεσι, 'λεῖπε δὲ λαὸν
Τρωικόν, οὓς ἀϜέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
πολλῶν δ' ἐν τάφρῳ Ϝερυσάρματες ὠκέες ἵπποι
Ϝάξαντ' ἐν πρώτῳ ῥυμῷ 'λίπον ἅρμα Ϝανάκτων. 371ª = Ζ 40
Πάτροκλος δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων, 372ᵇ = Λ 165
Τρωσὶ κακὰ φρονέων· οἳ δὲ ϜιϜαχῇ τε φόβῳ τε
πάσας 'πλῆσαν ὁδούς, ἐπεὶ ἂρ 'τμάγεν· ὕψι δ' ἄελλα
'σκίδναθ' ὑπὸ νεφέων, 'τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ Ϝάστυ νεῶν ἄπο καὶ κλισιάων. 376 cf. Λ 803
Πάτροκλος δ' ᾗ πλεῖστον ὀρινόμενον 'Ϝίδε λαόν, 376ª = Μ 74
τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
ἄντικρυς δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
πρόσσω Ϝιέμενοι· ἐπὶ δ' Ἕκτορι 'κέκλετο θυμός,
'Ϝίετο γὰρ βαλέμεν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι. 383 = 866
ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινῇ βέβριθε χθὼν

381 ἄμβροτοι, οὓς Πηλῆι θεοὶ 'δόσαν ἀγλαὰ δῶρα, 381 = 867
381ᵇ = Σ 84 Ω 534

363 σάου Cobet] σάω mss.; cf. Φ 238 ν 230 ρ 595 et § 195.

364-371] versus incommodos del. Leaf, vs. 367-371 damnaverat Naber, vs. 370 sq. Heyne.

365 αἰθέρος ἐκ δίης] verba obscura, vix sana. Si recte Spitzner ἐκ interpretatus est *post*, αἴθρης videtur legendum; vid. Naber ad Ρ 371. Lehrs Arist.² p. 169 tentavit ἔρχεται αἰγλήεντος | αἰγίδος ἐκ δίης coll. Δ 167. Locutio redit τ 540 et l. parall. || ἐκ δίης] εὐδίης Par. 2766. || λαίλαπα] l. a. λαίλαπι in Ar. commentariis.

369 ἔρυκε] ἔεργε Syr.

370 *πολλῶν] πολλοὶ mss., quod cum Ϝάξαντε (et ἅρμα) iungi nequit; cf. § 52.

371 ἅρμα Bentley] ἅρματ' mss. || Ϝανάκτων] fortasse potest ferri, quoniam *bini* singulis curribus vehuntur heroes; cf. vs. 507.

372 σφεδανὸν] cf. Λ 165.

374 ἄελλα Barnes] ἀέλλη mss.; nominativus apud Homerum †, sed brevem esse syllabam finalem aliunde constat; cf. θύελλα.

375 ὑπὸ] ὑπαὶ mss.; cf. Ο 171.

376ᵇ] l. a. ἐλιχθέντων ὑπ' Ἀχαιῶν (= Μ 74).

379 ἀνεκυμβαλίαζον] ἀνακ. Ar. Syr. A. Verbum †; conferendum videtur κύμβαχος (Ε 586 Ο 536), non κύμβαλον. Apud Hesychium et Eustathium utraque invenitur interpretatio, ἀνεκυμβαχίαζον autem legendum et fortasse olim a quibusdam lectum esse probabiliter statuerunt Heyne et Valckenaer (ad Eur. Phoen. 1158). Noluimus tamen quidquam mutare, quoniam ipsius vocis κύμβαχος incerta est origo.

380 ἄντικρυς § 31] ἀντικρὺ mss.

381] om. mss. pleraque.

383 βαλέμεν § 126] βαλέειν mss.

384 κελαινῇ Spitzner] κελαινὴ mss.; cf. Λ 747 Μ 375 Υ 51.

ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ, 386ᵇ = ε 147 cf. τ 83
τοῦ δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες, 389ᵇ = τ 207
πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουσι χαράδραι,
εἰς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπὶ κὰρ, μινύθει δέ τε Ϝέργ' ἀνθρώπων·
ὣς ἵπποι Τρώιαι μεγάλ' ἐστενάχοντο θέουσαι.
Πάτροκλος δ' ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
ἂψ ἐπὶ νῆας ἔϜεργε παλιμπετὲς, οὐδὲ πόληος
εἴαε Ϝιεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο 397ᵇ = Φ 540
'κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν.
ἔνθ' ἤ τοι Πρόνοον πρῶτον 'βάλε δουρὶ φαεινῷ,
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, 'λῦσε δὲ γυῖα· 400 = 312
'δούπησεν δὲ πεσών. ὃ δὲ Θέστορα, Ϝήνοπος υἱὸν,
δεύτερον ὁρμηθείς· ὃ μὲν εὖ ξεστῷ ἐνὶ δίφρῳ
ἧστο Ϝαλεὶς, ἐκ γὰρ 'πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
ἡνία Ϝ' ἠίχθησαν· ὃ δ' ἔγχεϊ 'νύξε παραστὰς
γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτῶν 'πεῖρεν ὀδόντων,
εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς

387 οἳ βίῃ ἐν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας, 387 sq. cf. Hes. Op. 221 sqq.
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες, 388ᵇ = Hes. Op. 251

385 *ἤματ' ὀπωρινῷ*] *ἤματι χειμερίῳ* L (cf. *Μ* 279).

386 *ῥ'* A Eust.] *τ'* mss. multa, alia om., idque probat LaRoche coll. *Ζ* 306 *Κ* 536 *Λ* 171 *Ν* 633.

387 sq.] del. Nitzsch, simul vs. 386 damnans.

387 *ἐν* § 315] *εἰν* mss. || *σκολιὰς*] adi. †.

388 *ὄπιν*] *ὄπιδ'*? cf. § 66. In Iliade vox non redit.

389 sq.] imitatur Verg. Georg. I 328 sq.

389 **τοῦ*] *τῶν* mss.

390 *κλιτῦς*] *loca editiora* an *moles*? Redit vox ε 470.

391] imitatur Verg. Georg. IV 373 *in mare purpureum violentior effluit amnis.*

392 *ἐπὶ κὰρ*] cf. § 82.

393 *Τρώιαι*] *Τρώων* D; de sono *ῳ* vid. § 17. || *μεγάλ' ἐστενάχοντο*] *-λα στ.* mss.

394 *πρώτας ἐπέκερσε φάλαγγας*] *π. ἀπέκερσε φ.* Z Cant., quod placet; *π. ἐπέχυρσε φ.* D Townl. Lips. Vrat., *πρώταις ἐνέκερσε* (leg. **-κυρσε*? cf. *Ν* 145) *φάλαγξι* Syr.

395 *παλιμπετὲς*] redit ε 27.

396 *εἴαε* § 191] *εἴα* mss.

397 *ποταμοῦ*] Simoisne an Scamander intellegendus sit ambigitur. || *τείχεος*] Troiae? Quod nisi sumimus, delendus est versus auctore Koechlyo.

399 *δουρὶ φαεινῷ*] l. a. *ποιμένα λαῶν.*

402 *ὃ μὲν εὖ*] *ὃς ἐὺ* Nauck.

404 **Ϝ'(οι)*] addidimus; vHerwerden *ἡνί' ἀπηίχθησαν*, sed incommoda videtur praepositio.

405 *αὐτῶν* Bekker] *αὐτοῦ* mss., Duentzer *αὐτὸν* coll. *Υ* 479, Christ *αἰχμή*. || *'πεῖρεν*] subiectum videtur esse *ἔγχος*.

406-408] similis legitur comparatio κ 124, cf. etiam *Ω* 80 sqq.

406 *εἷλκε* G] *ἕλκε* Ar. et mss. cett. || *δουρὸς*] Patrocli hastae affixus fingitur Thestor.

πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ϝήνοπι χαλκῷ·
ὣς εἷλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν 'λίπε θυμός.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσυμένον 'βάλε πέτρῳ — 411ᵇ = Υ 288
μέσσην κὰκ κεφαλήν, ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη — 412 sq. cf. 578 sq. 412 = Υ 387
ἐν κόρυθι βριαρῇ· ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ — 413ᵇ = Φ 118
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος 'χύτο θυμορραίστης. — 414 = 580 cf. Ν 544
αὐτὰρ ἔπειτ' Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε
Ϝιφέα τ' Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντας ἐπασσυτέρους 'πέλασε χθονὶ πολυβοτείρῃ. — 418 = Θ 277

Σαρπηδὼν δ' ὡς οὖν 'ϝίδ' ἀμιτροχίτωνας ἑταίρους
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας, — 420 cf. 434, 452
'κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισι· — 421 cf. Μ 408
„αἰδώς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοὶ ἔστε· — 422ᵃ cf. Ε 787
ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαήω
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ϝέϝοργε — 424 sq. = Ε 175 sq.
Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε.“
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε. — 426 = Δ 419
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ 'ϝίδεν, ἔκθορε δίφρου.
οἳ δ', ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι — 428 = χ 302
πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται,
ὣς οἳ κεκληγῶτες ἐπ' ἀλλήλοισιν ὄρουσαν. — 430ᵇ = Ξ 401

τοὺς δὲ ϝιδὼν ἐλέησε Κρόνου πάις ἀγκυλόμητις, — 431ᵃ cf. Θ 350
Ἥρην δὲ προσέϝειπε κασιγνήτην ἄλοχόν τε· — 432 cf. Σ 356

432—458 (an 431—461?) Zen. —

407 *προβλῆτι*] cf. *μ* 251. || *ἱερὸν*] *ingentem*; veram hanc interpretationem falsis (cf. Ael. Hist. An. VIII 28 Theocrit. Com. Beren. 3 sq.) commixtam proferunt Plut. Mor. p. 981*d* Athen. VII p. 282*e*-284.

409 *εἷλκ'*] *ἕλκ'* Ar. et mss. multa.

411 *Ἐρύλαον*] *Ἐρύαλον* vel *Εὐρύαλον* mss. multa (metro invito). || *ἐπεσσυμένον*] *-νος* A² D.

412 *πᾶσ' ἐκεάσθη*] *πᾶσα κεάσθη* mss.

414 *μιν*] *οἱ* schol. *Δ* 461 (ut *Ν* 544). || *θυμορραίστης*] *θυμοραϊστής* mss.; vid. ad *Ν* 544.

418 *πολυβοτείρῃ* § 21] *πουλ.* mss.

419 *ἀμιτροχίτωνας*] †, cf. *Δ* 137.

422 *θοοὶ ἔστε*] *θοοί ἐστε* (indic.) Eust., quem sequitur Buttmann; sed vid. versus sequens et vs. 494. || *θοοὶ*] cf. v. l. *Ζ* 112.

423 *δαήω* § 122] *δαείω* mss.

427] spurius? vid. ad vs. 145-154.

428 *αἰγυπιοὶ*] vid. ad *Η* 59.

429 *μάχωνται*] *μάχονται* mss. multa.

430 *κεκληγῶτες* Ar.] *-γοντες* mss. et Ar. in altera ed.; vid. ad *Μ* 125 *μ* 256 *ξ* 30. An **-γγῶτες*?

431 *ἀγκυλόμητις* Nauck] *-μήτεω* mss.; cf. § 55.

„ὤ μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι. — 434 cf. 420
διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι, — 435-439 cf. X 174 sqq.
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θήω ἀναρπάξας Λυκίης ἐν πίονι δήμῳ, — 437b = 514
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· — 439 sq. = Α 551 sq.
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ, — 441-443 = X 179 [sqq. 441b = Ο 209
ἂψ ἐθέλεις θανάτου δυσϝηχέος ἐξαναλῦσαι;
ϝέρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι. — 443 = Δ 29
ἄλλο δέ τοι ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· — 444 = Α 297
αἴ κε σάον πέμψῃς Σαρπηδόνα ϝόνδε δόμονδε,
φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
πέμπειν ϝὸν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
πολλοὶ γὰρ περὶ ϝάστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.
ἀλλ' εἴ τοι φίλος ἐστὶ, τεὸν δ' ὀλοφύρεται ἦτορ, — 450b cf. X 169
ἦ τοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι· — 452 cf. 420
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών, — 453b cf. ι 523
πέμπειν μιν Θάνατόν τε φέρειν καὶ ϝήδυμον Ὕπνον,
εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε — 456 sq. = 674 sq. 456a cf. Η 85
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων." — 456b = ο 273 cf. Ζ [239
ὣς ἔφατ', οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε. — 457b = ω 296 cf. Δ 323 Ψ 9 ω 190
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε — 458 = Δ 68
παῖδα φίλον τίων, τόν ϝοι Πάτροκλος ἔμελλε

---

433 ὤ μοι] αἶ αἶ Plat. Rep. III p. 388 *c*.
437 θήω § 122] θείω mss.
438 ἤδη ... δαμάσσω] ἐόω (ἐάω) ... δαμῆναι Nauck.
442 θανάτου Bekker] -τοιο mss.
445 σάον § 62] σόον Bentley, ζῶν Ar., sic aut ζωὸν mss.; vid. ad *E* 887. Christ αἴ ζωὸν πέμψῃς.
450 εἴ τοι] ἤτοι A Eust. || φίλος] sic Ar., φίλον mss. multa.
453 ἐπεὶ § 326] ἐπὴν mss. nonnulla.
454 ϝήδυμον § 41] νήδυμον Ar. mss.
455 ἵκωνται] l. a. ἵκοιτο.
456 ἔνθα ϝε ταρχύσουσι] ὄφρα ἑ ταρχύσωσι Stob. Flor. 123,7, ut extat *H* 85. De verbo ταρχύειν vid. ad *H* 85.
457 τύμβῳ τε στήλῃ τε] minus apte cum verbo ταρχύειν iungitur. De re vid. μ 13 sq. || τὸ — θανόντων] Verg. Aen. XI 23 vertit: *qui solus honos Acheronte sub imo est.*
459 ψιάδας] †. De re cf. *Λ* 53.
460 τίων Fick] τιμῶν mss.; cf. § 165.

φθισέμεν' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης. 461 cf. Ω 86

οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 462 = Γ 15
ἔνθ' ἦ τοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
ὅς ῥ' ἠὺς θεράπων Σαρπηδόνος ἦσκε Fάνακτος,
τὸν 'βάλε νείαιραν κατὰ γαστέρα, 'λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ 466ᵇ = 477
δεύτερος ὁρμηθείς, ὃ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ' ἔβραχε θυμὸν ἀίσθων,
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός. 469 = κ 163 τ 454; 469ᵃ = σ 98
τὼ δὲ διεστήτην, 'κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ', ἐπεὶ δὴ ἔκειτο παρήορος ἐν κονίῃσι.
τοῖο μὲν Αὐτομέδων δουρὶ κλυτὸς ηὕρετο τέκμωρ·
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ, 473 = κ 439 λ 231
ἀίξας ἀπέκοψε παρήορον οὐδ' ἐμάτησε·
τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσ' ἐτάνυσθεν.
τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο. 476ᵇ = Η 301
ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ, 477ᵇ = 466
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ 478 cf. Ε 16
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὃ δ' ὕστερος ὤρνυτο χαλκῷ 479 = Ε 17
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός, 480 sq.ᵃ cf. Ε 18 sq.
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένες εἴρχαται ἀμφ' ἀδινὸν κῆρ. 481ᵇ cf. τ 516

---

461 *φθισέμεν'* § 125] -*σειν* mss.

463-476] del. Fick, vs. 467-477 damnarat Lachmann; vid. ad vs. 145-154.

467 sqq.] in schol. V falso tribuitur Aristarcho lectio e vs. 153 sq. interpolata: *ὃ δὲ Πήδασον ἀγλαὸν ἵππον, | τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς, | ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισι, | τὸν βάλε δεξιὸν ὦμον.* Vid. Lehrs Arist.[2] p. 53.

467 *δεύτερος*] -*ρον* Ar. et mss. nonnulla. || *ὃ δὲ*] vid. ad Λ 191. || *οὔτασεν*] *ἤλασεν* liber Philemonis; quam lectionem Aristarcho ignotam fuisse, hunc autem *οὔτασεν* h. l. vitiose dictum censuisse pro *ἔβαλεν*, docet Didymus. Cf. Lehrs Arist.[2] p. 64.

468 *ἀίσθων*] verbum (Ο 252) Υ 403 redit.

469 *ἔπτατο*] cf. § 216.

470 *τὼ*] equi immortales, item vs. 475. || *διεστήτην*] *διαστήτην* mss. || *'κρίκε*] l. a. *κρίγε* et *τρίγε*. Verbum † (vid. tamen l. a. ω 9).

471 *ἔκειτο*] *κεῖτο* mss.

474] de re vid. Θ 87. || *ἐμάτησε*] vid. ad Ξ 110.

475 *ῥυτῆρσ' ἐτάνυσθεν*] -*ρσι τ.* mss., l. a. -*ρι τ.*, quam probans Grashof h. l. *ῥυτῆρα* dici *temonem*, qui alibi dicitur *ῥυμός*, contendit errore manifesto. Helbig Hom. Epos[1] p. 91 *habenas* intellegit coll. Ψ 324 Hes. Scut. 308. An designantur lora quibus equorum pectora currui alligantur (*strengen*)? cf. *ἱπποδέτην ῥυτῆρα* Soph. Ai. 241. Quoniam tamen heroica aetate currus his loris carebant nec nisi iugo equi iungebantur (vid. Ζ 40 Π 371 Ψ 392 Helbig p. 106), ita statui nequit nisi insiticius ducatur locus (vid. ad vs. 145-154).

476 *τὼ*] Patroclus et Sarpedon.

479 *ἔβαλ' αὐτόν· ὃ δ' ὕστερος*] **ἔβαλέν F'· ὃ δὲ δεύτερος*? Vid. ad Ε 17.

481 *εἴρχαται* § 230] *ἔρχαται* mss. || *ἀδινὸν*] vid. ad Β 87.

ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωὶς 482-486 = *Ν* 389 sqq.
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·
ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου 'κεῖτο τανυσθεὶς,
βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠύτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν,
αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσι,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,
ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων 490ᵇ = 541, 593
κτεινόμενος 'μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον· 491ᵇ cf. *Κ* 522
„Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ 492ᵇ sq. = *Χ* 268 sq.
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν· 493 = *Ε* 602
νῦν τοι ἐϝελδέσθω πόλεμος κακὸς, εἰ θοός ἐσσι.
πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας 495 cf. 532
πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφὶ μάχεσθαι· 496 = 533
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφεΐη καὶ ὄνειδος 498 sq. cf. h. Ven. [248 sq.
ἔσσομαι ἤματα πάντα διαμπερὲς, εἴ κέ μ' Ἀχαιοὶ 498ᵇ = *Ρ* 556
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα. 500 = *Ο* 428
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.“ 501 = *Ρ* 559
ὣς ἄρα μιν ϝειπόντα τέλος θανάτοἰ ἐκάλυψε 502 = 855 *Χ* 361
ὀφθαλμοὺς ῥῖνάς θ'. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων 502ᵇ = *Ε* 553
ἐκ χροὸς εἷλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἕποντο· 503ᵇ = *Ν* 618
τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐκϝέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὖθι 'σχέθον ἵππους φυσιάοντας,
ϝιεμένους φοβέεσθαι, ἐπεὶ 'λίπον ἅρμα ϝάνακτες.
Γλαύκῳ δ' αἰνὸν ἄχος 'γένετο φθογγῆς ἀίοντι·

482-485] vid. ad *Ν* 389-392.
486 *βεβρυχὼς*] l. a. *-κὼς* (male). || *δεδραγμένος*] vid. ad *Ν* 393.
488 *ἐν*] sic Ar., *ἐπ'* mss. nonnulla.
491 *'μενέαινε*] *στενάχιζε* vHerwerden.
492 *πέπον*] *πάρος* mavult (Ar.? apud) schol. V.
494 *κακὸς*] l. a. *θρασὺς*.
496 *Σαρπηδόνος*] *-νι?* vid. ad *Ο* 391.
497 *ἐμεῦ*] pro *ἐμεῖο* novicium; cf. § 92. IMenrad *ἔπειτ' αὐτὸς ἐμέθεν*.
499 *κέ μ'*] l. a. *κεν*.
501 *ἅπαντα*] *ἁπάντῃ* (*ἀπάντῃ*) Naber hic et loco parall.
502 *θανάτοἰ ἐκάλυψε*] *-τοιο κ.* mss.; cf. § 59.
504 *εἷλκε*] *ἕλκε* Ar. L. || *προτὶ*] *ποτὶ* (Ar.?) mss. complura. || *αὐτῷ*] suspectum, cf. § 98; vHerwerden *αὐτίχ'*. || *ἕποντο*] *ἔχοντο* Ar.
505-507] del. PKnight, vs. 506 sq. Duentzer.
505 *ἐκϝέρυσ'*] *ἐξέρυσ'* mss.
506 *αὖθι* § 322] *αὐτοῦ* mss. || *φυσιάοντας* § 191] *φυσιόωντας* mss.
507 *λίπον* Zen.] *λίπεν* Ar. (= *ἐλείφθησαν*), mss. utrumque. || *ἅρμα ϝάνακτες* Jortin (apud Heynium)] *ἅρματ' ἄνακτων* mss.; Bentley *ἅρμα ϝάνακτος*, sed heroes, non equi, currum reliquerunt. Cf. vs. 371.

ὠρίνθη δέ Ϝοι ἦτορ, ὅ Ϝ' οὐ 'δύνατο προσαμῦναι.
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· 'τεῖρε γὰρ αἰνῶς
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσυμένον 'βάλεν ἰῷ 511 sq.[a] cf. Μ 388
τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων. 512[b] cf. Μ 334
εὐχόμενος δ' ἄρ' ἔϜειπε Ϝεκηβόλῳ Ἀπόλλωνι· 513[b] = η 330 cf. Τ 257
„κλῦθι, Ϝάναξ, ὅς που Λυκίης ἐν πίονι δήμῳ 514[b] = 437
ἔσσ' ἠ' ἐν Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερὸν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείησ' ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ,
ἔγχος δ' οὐ δύναμαι σχέμεν' ἔμπεδον οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ' ὄχ' ἄριστος ὄλωλε, 521[b] cf. Ω 384
Σαρπηδὼν, Διὸς υἱός· ὃ δ' οὐ Ϝοῦ παιδὸς ἀμύνει.
ἀλλὰ σύ πέρ με, Ϝάναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισι
κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν
αὐτός τ' ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι.“ 526 cf. 565
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων· 527 = Α 43
αὐτίκ' ἔπαυσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο 528[b] sq. cf. Λ 812 sq.
αἷμα μέλαν 'τέρσηνε, μένος δέ Ϝοι ἔμβαλε θυμῷ.
Γλαῦκος δ' ἔγνω Ϝῇσιν ἐνὶ φρεσὶ, 'γήθησέν τε,
ὅττι Ϝέ' ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας 532 cf. 495

---

509 *ὅ Ϝ'(οι)] ὅτ' mss.; cf. *Β* 238.

510 *αἰνῶς* ed. Flor.] *αὐτὸν* mss. male; cf. § 98 et *Ε* 352.

513 *ἄρ' ἔϜειπε*] *ἄρα εἶπε* mss.

515 *ἔσσ'* § 302] *εἷς* vel *εἶς* mss. || *ἐν* L Z] *ἐνὶ* mss. cett., sed *ἤ* (*ἠ'*) melius producitur, cf. § 16. || *πάντοσ' ἀκούειν* Ar. mss.] *πάντ' ἐσακούειν* Zen., *πάντοθ'(ι) ἀκούειν* olim alii. Bentley *πάντ' ἐπακούειν*, sed cf. *Δ* 455 *Λ* 21. Cum dativo *ἀνέρι* conferri potest *κλῦθί μοι* (*Α* 37 etc.).

517 sq. *χεὶρ — ἐλήλαται*] cf. *Ε* 399 *Λ* 398.

519 *τερσῆναι*] novicium pro *τερσήμεναι*, vid. ζ 98 et § 125. Ecquid **τοι* … | *τερσῆναι δύναμαι* fuit olim (vid. vs. 529)? || *βαρύθει*] †. || *ὑπ' αὐτοῦ*] *ὕπερθε(ν)* H Vrat.

520 *σχέμεν'* § 125] *σχεῖν* mss.

521 *δ' ὄχ' ἄριστος* PKnight] *ὃς ἄριστος* Harl., *δ' ὤριστος* mss. cett.; cf. § 9.

522 *οὐ* Bentley] *οὐδ'* mss. || *οὗ παιδὸς* Ar.] *ᾧ παιδὶ* mss. Cf. *Δ* 11 *Μ* 402 sq. *Ν* 109 sq. *Σ* 171 etc.

523 *με* Bentley] *μοι* mss. || *ἕλκος*] *ἄλγος* C Harl. Cf. *Τ* 49.

524 *κοίμησον*] *κοίμι(σ)σον* mss. multa.

526 *νέκυι -ῶτι*] *νέκυν -ῶτα* L Lips. non recte; accusativus nonnisi *Π* 775 *Ρ* 388 in hac constructione extat. || *νέκυι*] vid. § 75. || *κατατεθνηῶτι* Ar.] *-ειῶτι* mss. pleraque.

528 *αὐτίκ' ἔπαυσ'*] *αὐτίκα παῦσ'* mss.

529 *'τέρσηνε*] †, vid. § 288.

531 *Ϝέ'* (*εὑ*) Duentzer] *οἱ* mss. Vid. ad *Ι* 635 sq. ζ 157.

532 *ὤτρυνεν*] *ὄτρ.* mss. pauca.

πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφὶ μάχεσθαι· 533 = 496
αὐτὰρ ἔπειτα μετὰ Τρῶας 'κίε μακρὰ βιβάσθων, 534ᵇ = Ν 809
Πολυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
'βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν.
ἄγχι δέ Ϝ' ἱστάμενος Ϝέπεα πτερόεντα προσηύδα· 537 = Δ 203
„Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος ἔσσ' ἐπικούρων,
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης 539ᵇ = Λ 817
θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.
κεῖται Σαρπηδών, Λυκίων ἀγὸς ἀσπιστάων, 541ᵇ = 490
ὃς Λυκίην ἔρρυτο δίκῃσί τε καὶ σθένεϊ Ϝῷ·
τὸν δ' ὑπὸ Πατρόκλῳ 'δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλά, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
μή Ϝ' ἀπὸ τεύχε' ἕλωνται, ἀϜεικίσσωσι δὲ νεκρὸν 545ᵇ = Τ 26
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσι."
ὧς ἔφατο, Τρῶας δὲ κατ' ἄκρηθεν 'λάβε πένθος
ἄσχετον, οὐκ ἐπιϜεικτὸν, ἐπεί σφισιν ἕρμα πόληος 549ᵃ cf. Ε 892ᵇ
ἦσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ
λαοὶ ἕποντ', ἐν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
'βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι, ἦρχε δ' ἄρα σφι 552 cf. Μ 106
Ἕκτωρ χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς
ὦρσε Μενοιτιάδεω Πατροκλέεος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ· 555 = Ν 46
„Αἴαντε, νῦν σφῶιν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
κεῖται ἀνήρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν, 558 cf. Μ 438

---

533 *Σαρπηδόνος*] *-νι? vid. ad *Ο* 391.
535 *Πολυδάμαντ'* § 21] *Πουλ.* mss.
537 **ἄγχι δέ Ϝ'(οι)* § 318] *ἀγχοῦ δ'* mss.
538 *ἔσσ'* § 302] *εἷς* vel *εἶς* mss.
540 *ἐπαμύνειν*] *-μῦναι* mss. complura.
542 **ἔρρυτο* § 164] *εἴρυτο* Ar. mss.
543 *Πατρόκλῳ*] *-κλου* Doederlein coll. *P* 303, vid. etiam *Γ* 436 *Δ* 479, qui tamen loci non sunt consimiles; vulgatam satis tueri videntur *Ν* 434 *τ* 488 *φ* 213.
545 *Ϝ'*] inseruit Cobet.
548 *κατ' ἄκρηθεν*] *κατὰ κρῆθεν* Ar. et mss. complura; at vid. *κατ' ἄκρης* *Ν* 772 *Ο* 557. Cf. *λ* 588 h. Cer. 182 et § 82.
549 *σφισιν*] *σφιν* mss. nonnulla. ‖ *ἕρμα*] cf. *Λ* 486.
550 *ἦσκε*] *ἔσκε* mss.
552 *λελιημένοι*] vid. *Δ* 465.
554 *Μενοιτιάδεω*] cf. § 55; *-δαο* L Z, at corripi nequit sequentis vocabuli syllaba prima; vid. § 25 et ad *Ζ* 479.
556 *φίλον*] l. a. *μένος*.
557 *ἀρείους*] sententia contorta, suspecta autem est nominativi (an accusativi?) haec forma brevior, de qua vid. *β* 277 *ι* 48 *ω* 464 et § 85. Coniecimus **ἄρειον* (adverbium cum verbo *ἀμύνεσθαι* iungendum).
558 *ἐσήλατο*] i. e. *ἐσ-ήλατο*, sic Ar. mss.

Σαρπηδών. ἀλλ' εἴ μιν ἀϝεικισσαίμεθ' ἑλόντες,
τεύχεά τ' ὤμοιίν ϝ' ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέι χαλκῷ."
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι 'μενέαινον. 562 = Ο 565
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας, 563 cf. Λ 215
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι 565 cf. 526
δϝεινὸν ἀύσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν 'τάνυσε κρατερῇ ὑσμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ϝελίκωπας Ἀχαιούς· 569 = Ρ 274
'βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσι,
υἱὸς Ἀγακλέεος μεγαθύμου, δῖος Ἐπειγεύς,
ὅς ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ ἐϝάνασσε
τὸ πρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
εἰς Πηλῆ' ἱκέτευσε καὶ εἰς Θέτιν ἀργυρόπεζαν·
οἳ δ' ἅμ' Ἀχιλλῆι ῥηξήνορι 'πέμπον ἕπεσθαι
Ϝίλιον εἰς ἐύπωλον, ἵνα Τρώεσσι μάχοιτο. 576 = ξ 71 cf. λ 169
τόν ῥα τόθ' ἁπτόμενον νέκυος 'βάλε φαίδιμος Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη 578 sq. cf. 412 sq.
ἐν κόρυθι βριαρῇ· ὃ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ 579ᵇ = Ρ 300
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος 'χύτο θυμορραίστης. 580 = 414
Πατρόκλῳ δ' ἄρ' ἄχος 'γένετο φθιμένοι' ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ϝεϝοικὼς 582ᵃ = Ρ 281 582ᵇ = Ο 237
ὠκέι, ὅς τ' ἐφόβησε κολοιούς τε ψῆράς τε·

ἐ-σήλατο Lysanias interpretabatur a verbo σάλλειν (!) pro σαλεύειν ducens, quoniam supra non Sarpedon sed Hector primus per portam in castra irruit (*Μ* 437 sq.), Sarpedon vero manu effregit propugnaculum (*Μ* 397) et sic vallum *labefactavit*. Inter se pugnare *Μ* 437 sq. et *Π* 558 concedendum est, cf. Lehrs Arist.[2] p. 307 sq.; Leaf delet vs. 555-568, Koechly vs. 555-562.

559 εἴ] sic Ar., εὖ Rhianus. Cf. *Ο* 571. || ἀϝεικισσαίμεθ'] -μεν? Sed vid. *Χ* 404.

560 *ϝ'] adiecimus. || ἀφελοίμεθα] ἀφελώμεθα mss. pauca.

561 ἀμυνομένων] Naber -μενον.

562 ἀλέξασθαι] Bekker ἀλεξέμεναι, vid. ad *Ν* 475 *Ο* 565.

565 σύμβαλον] act. absolute adhibitum redit *Φ* 578 (et φ 15, ubi vid.), aor. med. *Υ* 335 de hostibus dicitur, *Ξ* 27 etc. de amicis. || νέκυι] cf. § 75. || κατατεθνηῶτι] -ειῶτι mss. multa.

567 sq.] deberi rhapsodo qui vs. *Ο* 668 sqq. fecerit post Heynium suspicatur Leaf.

568 ὀλοὸς] ἄλιος Nauck probabiliter.

571 Ἀγακλέεος § 73] -κλῆος mss. || μεγαθύμου] -μοο? cf. § 359. || Ἐπειγεύς] Ἐπηγεύς mss. complura.

572 ἐϝάνασσε] ἤνασσε mss.

574 Θέτιν] Θέτιδ'? cf. § 66.

578 πᾶσ' ἐκεάσθη] πᾶσα κεάσθη mss.

580 θυμορραίστης] θυμοραϊστής mss.; vid ad *Ν* 544.

581 φθιμένοι' § 59] -νου mss.

ὣς ἰθὺς Λυκίων, Πατρόκλεες ἱπποκέλευθε,
ἔσσυο καὶ Τρώων, ᾿κεχόλωσο δὲ κῆρ ἑτάροιο.
καί ῥ᾿ ἔβαλε Σθενέλαον, ᾿Ιθαιμένεος φίλον υἱὸν,
αὐχένα χερμαδίῳ, ᾿ρῆξεν δ᾿ ἀπὸ τοῖο τένοντε.
᾿χώρησαν δ᾿ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ. 588 = Δ 505
ὅσση δ᾿ αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
ἥν ῥά τ᾿ ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ 590 cf. Ο 359
ἠὲ καὶ ἐν πολέμῳ, δηίων ὕπο θυμορραιστέων, 591ᵇ = Σ 220
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ᾿ Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων, 593ᵇ = 490
ἐτράπετ᾿, ἔκτεινεν δὲ Βαθυκλέεα μεγάθυμον,
Χάλκωνος φίλον υἱὸν, ὃς Ἑλλάδι ϝοικία ναίων
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι. 596 cf. Ω 536
τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ, 597ᵇ = Ν 438
στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων· 598ᵇ cf. Ε 65
᾿δούπησεν δὲ πεσών· πυκινὸν δ᾿ ἄχος ἔλλαβ᾿ Ἀχαιοὺς,
ὡς ἔπεσ᾿ ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες ᾿κεχάροντο,
᾿στὰν δ᾿ ἀμφ᾿ αὐτὸν ἰόντες ἀϝολλέες· οὐδ᾿ ἄρ᾿ Ἀχαιοὶ
ἀλκῆς ἐξελάθοντο, μένος δ᾿ ἰθὺς ᾿φέρον αὐτῶν. 602ᵇ cf. Ε 506ᵃ
ἔνθ᾿ αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν, 603ᵇ = Δ 457
Λαόγονον, θρασὺν υἱὸν ᾿Ονήτορος, ὃς Διὸς ἱρεὺς
᾿Ιδαίοι᾿ ἐτέτυκτο, θεὸς δ᾿ ὣς ᾿τίετο δήμῳ· 605 cf. Ε 78
τὸν ᾿βάλ᾿ ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς 606 sq. = Ν 671 sq.
ᾤχετ᾿ ἀπὸ μελέων, στυγερὸς δ᾿ ἄρα μιν σκότος εἷλε.
Αἰνείας δ᾿ ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκε,
᾿ϝέλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβάντος. 609ᵇ cf. Ν 807
ἀλλ᾿ ὃ μὲν ἄντα ϝιδὼν ἠλεύατο χάλκεον ἔγχος, 610 613 = Ρ 526 sqq. 610 = Ν 184

584 *Πατρόκλεες* § 73] *-κλεις* mss. || *ἱπποκέλευθε*] vid. vs. 125.

586 *Σθενέλαον*] Fick *Σθένελον*, ut nominis sequentis syllaba initialis possit produci.

587 *τένοντε* A² G] *-ντας* mss. cett.; cf. *Δ* 521 *E* 307 *K* 456 *Ξ* 466 *P* 290 *Y* 478 *X* 396 *γ* 449.

589 *ταναοῖο*] adi. redit h. Cer. 455.

590 sq.] del. Fick.

590 *ἀφέῃ*] cf. § 122.

591 *δηίων*] cf. § 17. || *θυμορραιστέων*] *θυμοραϊστέων* mss.; vid. ad *N* 544. De termino novicio *-έων* pro *-άων* vid. § 56.

594 *Βαθυκλέεα* § 73] *-κλῆα* mss.

598 *στρεφθεὶς*] iteratur quod vs. 594 dictum est *ἐτράπετο.* || *κατέμαρπτε*] sc. *Bathycles.*

599 *πυκινὸν*] l. a. *δεινὸν.*

604 *θρασὺν*] l. a. *φίλον.*

605 *᾿Ιδαίοι᾿* § 59] *-ου* mss.

606ᵃ] in schol. ad *Δ* 461 sic affertur: *τὸν δ᾿ ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος.*

607] quidam addebant *Μηριόνης δ᾿ ἀνέπαλτο, φίλον δέ οἱ ἦτορ ἰάνθη.*

609 *προβιβάντος* Bekker] *προβιβῶντος* (*-ντι* Genev.) mss. Vid. *H* 213 et ad *M* 277.

πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
612 οὔδεʼ ἐνεσκίμφθη, ἐπὶ δ' οὐρίαχος 'πελεμίχθη. 612^b cf. Ν 443
616 Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο 'φώνησέν τε·
„Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ."
τὸν δ' αὖ Μηριόνης δουρὶ κλυτὸς ἀντίον ηὔδα· 619 cf. Ν 254
„Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σεʼ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέι χαλκῷ,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς
εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϝιδι κλυτοπώλῳ." 625 cf. Ε 654
ὣς 'φάτο, τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·
„Μηριόνη, τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις; 627^b = ρ 381
ὦ πέπον, οὔ τοι Τρῶες ὀνειδεΐοισι ϝέπεσσι
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει. 629^b cf. ν 427
ἐν γὰρ χερσὶ τέλος πολέμου, ϝεπέων δ' ἐνὶ βουλῇ·
τῷ οὔ τι χρὴ μῦθον ὀφελλέμενʼ, ἀλλὰ μάχεσθαι."
ὣς ϝειπὼν ὃ μὲν ἦρχʼ, ὃ δ' ἅμʼ ἕσπετο ϝισόθεος φώς. 632 = Δ 472
τῶν δ', ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρῃ
οὔρεος ἐν βήσσῃ, ϝέκαθεν δέ τε γίγνετʼ ἀκουή, 634^a=766 cf. Γ 34
ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης 635^b = γ 453 κ 149 cf. λ 52
χαλκοῦ τε ῥινοῦ τε βοῶν τʼ ἐυ ποιητάων,

---

613 ἔγχεος· ἔνθα δ' ἔπειτʼ ἀφίει μένος ὄβριμος Ἄρης. 613 = Ν 444
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης 614 sq. = Ν 504 sq.
ᾤχετʼ, ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσε.

613 (614 sq. Friedlaender) Ar. in priore ed. om., in alteram extra ordinem (ἄλογον) recepit; vid. ad α 424.

---

611 κατέκυψε] comp. nonnisi l. parall. redit.
612 οὔδεʼ § 71] οὔδει mss. || ἐνεσκίμφθη] ἐνισκίμφθη mss. (ἐνισκήφθη Vrat., cf. Ρ 437, 528). || οὐρίαχος] vid. ad Κ 153.
614 sq.] om. mss. pleraque.
616 ἄρα] ἀνὰ Nauck.
617 ὀρχηστήν] vid. Η 241; etiam Ω 261 conferendus. Noti propter saltandi artem erant Cretenses, cf. Σ 591.
621 σεʼ § 92] σευ mss.
625 κλυτοπώλῳ] vid. ad Ε 654.
628 τοι] τι mss. nonnulla. || ὀνειδεΐοισι ϝέπεσσι § 60] -οις ἐπέεσσι mss.
631 μῦθον ὀφελλέμενʼ] locutio non redit. || ὀφελλέμενʼ § 125] ὀφέλλειν mss.
633 ὀρώρῃ Bekker] -ρει Ar. et mss. pleraque, -ρεν mss. pauca; cf. Ρ 264.
634 *βήσσῃ] βήσσης mss., Nauck βήσσῃσι· ἑκὰς. Vid. § 57 et Β 456 Ν 179. || ἀκουή] in Iliade †, sed cf. β 308 etc.; αὐτὴ Aristoph.
635 ὤρνυτο] ὄρν. D Z.
636 ῥινοῦ] l. a. ῥινῶν; cf. Δ 447 Θ 61. || τʼ] particulam molestam esse vidit Ar., om. Eust.; cf. Μ 263 Ν 406. Probabiliter igitur Grashof commendat lectionem ῥινῶν τε βοῶν ἐυ ποιητάων.

νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι. 637 = Ξ 26
οὐδέ κ' ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσι
ἐκ κεφαλῆς 'ϝέϝλυτο διαμπερὲς εἰς πόδας ἄκρους.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι 641ᵃ = Ρ 412
σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρῃ ϝεαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει· 643 = Β 471
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. 644ᵃ cf. ω 19
οὐδέ ποτε Ζεὺς
'τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ 'φράζετο θυμῷ
πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
αὐτόθ' ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
χαλκῷ δῃώσει' ἀπό τ' ὤμων τεύχε' ἕλοιτο,
ἢ ἔτι καὶ πλεόνεσσιν ὀφείλειεν πόνον αἰπύν. 651ᵇ cf. β 334
ὧδε δέ ϝοι φρονέοντι 'δοάσσατο κέρδιον εἶναι, 652 = Ν 458
ὄφρ' ἠὺς θεράπων Πηληιάδα' Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
ὤσαιτο προτὶ ϝάστυ, πολῦς δ' ἀπὸ θυμὸν ἕλοιτο· 655 cf. Ε 691
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα φύζαν ἐνῶρσε, 655ᵃ cf. Λ 803

638 οὐδέ κ' § 326] οὐδ' ἂν mss. || φράδμων] † (φραδμοσύνη h. Ap. 99, Φραδμονίδης Θ 257, ἀφράδμων h. Cer. 256, συμφράδμων Β 372). || Σαρπηδόνα δῖον] -νι δίῳ Ar. (cum voce φράδμων igitur contorte admodum iungens).

640 'ϝέϝλυτο § 265] εἴλυτο (εἴρυτο D) mss.

641 sqq.] cf. simillima comparatio Β 469 sqq.

642 βρομέωσι] †, cf. βρόμος Ξ 396 etc. et βρέμω Β 210 etc. || περιγλαγέας] †, πολυγλαγέας Apoll. lex., ἐυγλαγέας Athen. XI p. 495 *c*, unde Naber effecit ἐριγλαγέας. Cf. γλάγος Β 471 Π 643. || πέλλας] †, *pelves*, cf. Hipponax apud Athen. XI p. 495 *c*.

643 ὥρῃ Bentley] ὥρῃ ἐν mss. || ϝεαρινῇ § 21] εἰαρινῇ mss. || γλάγος] cf. Β 471. || δεύει] δεύῃ?

647 Πατρόκλου] -κλοο? vid. § 59.

648 καὶ κεῖνον] sic Ar., κἀκεῖνον mss. nonnulla male, vid. § 9 et 97.

649 αὐτόθ' § 322] αὐτοῦ mss.

650 δῃώσει(') C] -σῃ mss. cett.; optativum commendavit LaRoche restituit Naber (-σαι scribens), cf. § 113. || ἕλοιτο LaRoche Naber] ἕληται mss. Cf. Β 4.

651 ὀφείλειεν Nauck] ὀφέλλειεν mss., item β 334. Cf. § 272.

653 ὄφρ'] *ut* (finale), abundat igitur δέ vs. 656. Alii iungunt κέρδιον εἶναι ὄφρα, sed Homericum hoc non est genus loquendi; vid. ad Δ 465. || Πηληιάδα' § 55] -δεω mss.

655 πολῦς IMenrad] πολέων mss.; vid. § 8 et 83.

656 φύζαν ἐνῶρσε] θυμὸν ἐνῆκε mss. multa, φύζαν ἐνῆκε Lips.[1] Vrat., θυμὸν ἐνῶρσε Townl. Lips.[2] et l. a. in schol. Quoniam ferri nequit ἀνάλκιδα θυμὸν ἐνῆκε, scribendum esset ἔθηκε, nisi e vs. 655 irrepsisse videretur vox θυμόν. Cf. Ο 62. — Versui 652 indicativus ἐνῶρσε (nempe Ζεύς) h. l. subiungitur ut ο 205.

657 ἔτραπε] nempe Hector.

εἰς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε,'κέκλετο δ' ἄλλους 657ª = Χ 399
Τρῶας φευγέμεναι, 'γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι 'μένον, ἀλλ' ἐφόβηθεν
πάντες, ἐπεὶ βασιλῆα 'ϝίδον βεβλαμμένον ἦτορ
κείμενον ἐν νεκύων ἀγύρι· πολέες γὰρ ἐπ' αὐτῷ
κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
οἳ δ' ἄρ' ἀπ' ὤμοιιν Σαρπηδόνος ἔντε' ἕλοντο
χάλκεα μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας 664ª = Σ 131 Ψ 27
'δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς· 666 = Ο 220
„εἶ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἀντίθεον Σαρπηδόνα, καί μιν ἔπειτα 668-671 cf. 678 sqq.
πολλὸν ἀπὸ πρὸ φέρων λοῦσον ποταμοῖο ῥοῇσι
χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα ϝείματα ϝέσσον· 670ᵇ cf. ω 59
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα 672 = 682
θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμῳ, 673 cf. 683
ἔνθα ϝε ταρχύσουσι κασίγνητοί τε ϝέται τε 674 sq. = 456 sq.
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.“
ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων. 676 sq.ª = Ο 236 sq.
'βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς φύλοπιν αἰνήν,
αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας, 678-681 cf. 668 sqq.
πολλὸν ἀπὸ πρὸ φέρων, 'λοῦσεν ποταμοῖο ῥοῇσι
'χρῖσέν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα ϝείματ' ἔϝεσσε·
'πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,

666—683 Zen. —— (vid. ad vs. 432—458).

659 ἀλλ' ἐφόβηθεν] ἀλλὰ φόβ. mss. pauca.
660 βεβλαμμένον] βεβ(ο)λημένον mss. complura, δεδαϊγμένον L Mosc. et l. a. in schol. (cf. *P* 535). Insolitum est βεβλαμμένος de occiso (*Sarpedone*), quapropter ad *Hectorem* refert Paley deletis vs. 661 sq.
661 ἀγύρι § 74] ἀγύρει mss.
666] καὶ τότ' ἄρ' ἐξ Ἴδης προσέφη Ζεὺς ὃν φίλον υἱόν Zen.
667—670] prius vulneris cruor detergendus est, dein totum corpus pulvere inquinatum (vs. 639) est lavandum.
667 εἶ' § 328] εἰ δ' mss.
668 ἀντίθεον vHerwerden] ἐκ βελέων (μελέων Harl. Vrat.) mss., quod e vs. 678 irrepsisse videtur, cum verbo ἐλθών autem iungi nequit; Bentley ἕλκων ἐκ βελέων coniecerat, sed aoristi requiritur participium, ἕλκειν autem hostium est (vid. *P* 126), amicorum vero ϝερύεσθαι vel ἀείρειν. || Σαρπηδόνα] -νι Ar.
669 λοῦσον] λόεσον? vid. § 295.
673 θήσουσ' ἐν] θήσουσιν mss. nonnulla.
674 ταρχύσουσι] vid. ad *H* 85.
675 τύμβῳ τε στήλῃ τε] vid. ad vs. 457.
676 ἀνηκούστησεν] vid. ad *O* 236.
677 φύλοπιν] φυλόπιδ'? vid. § 66.
679 'λοῦσεν] 'λόεσεν? vid. § 295.
680 ϝείματ' ἔϝεσσε] εἵματα ἕσσε mss.

Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα 682 = 672
κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ. 683 cf. 673

Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας
Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη
νήπιος· εἰ δὲ ϝέπος Πηληιάδα' ἐφύλαξε,
ἦ κεν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν, 688ᵃ = Ρ 176
ὅς ϝοι καὶ τότε θυμὸν ἐνὶ στήθεσσ' ἐνέηκε.
ἔνθα τίνα πρῶτον, τίνα δεύτατον ἐξενάριξας, 692 cf. Ε 703
Πάτροκλος, ὅτε δή σε θεοὶ θάνατόνδ' ἐκάλεσσαν; 693 cf. Χ 297
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μώλιον ἠδὲ Πυλάρτην·
τοὺς ἕλεν· οἳ δ' ἄλλοι φύγαδ' ἐμνάοντο ϝέκαστος.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν 698 = Φ 544
Πατρόκλοι' ὑπὸ χερσί, — περὶ πρὸ γὰρ ἔγχε' ἔθυε, — 699ᵇ = Λ 180
εἰ μὴ Ἀπόλλων Φοῖβος ἐὺ δμητοῖ' ἐπὶ πύργου 700ᵃ = Φ 545
ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων. 700ᵇ cf. Μ 154
τρὶς μὲν ἐπ' ἀγκῶνος 'βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων, 703 sq. cf. Ε 437

---

689 ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην 689 sq. = Ρ 177 sq.
ῥηιδίως, ὀτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι. 690ᵇ = Υ 171

---

686 Πηληιάδα' ἐφύλαξε] -δαο φύλ. vel -δεω (ἐ)φύλ. mss.; cf. § 55.

687 *κεν § 326] τ' ἂν mss.

688 τε] γε mss. nonnulla. || κρείσσων] κρείσσω olim quidam (in his Zen.? vid. ad Α 80). || ἀνδρῶν] ἀνδρὸς mss. multa.

689 sq.] om. mss. nonnulla et olim alii teste Eust. 1081,36.

689 φοβεῖ] φέβει? vid. § 244. Praesens aoristo gnomico iungitur etiam Δ 161.

690 ὀτὲ] ὅτε mss., τότε Aristoph., item Ρ 178. || αὐτὸς] αὖτις Bentley. || ἐποτρύνει C] -νῃσι mss. cett. || μαχέσασθαι Bekker] μάχεσθαι mss.; cf. Ρ 178.

691 ἐνὶ] ἐπὶ C (vid. ad Α 55). || στήθεσσ' ἐνέηκε] στήθεσσιν ἐνῆκε vel ἀνῆκε mss.; cf. Ε 422 Ι 700. Praeferendam esse praepositionem ἐν-, aut enim dici θυμόν τινι ἐνιέναι (vid. Ρ 570 etc.) aut θυμός τινα ἀνῆκε (vid. Η 152 Κ 389 etc.), demonstravit Naber.

692] imitatur Verg. Aen. XI 664 *quem telo primum, quem postremum, aspera virgo | deicis?* || δεύτατον Naber] δ' ὕστατον mss.; cf. Ε 703.

693 *Πάτροκλος] Πατρόκλεις mss.; vid. § 51 et 73 (et ad Τ 287). Vitium redit vs. 859.

694] vid. ad Α 9.

695 Ἐπίστορα] Ϝίστορα vHerwerden.

696 Μώλιον Nauck] Μούλιον mss.; cf. Λ 739.

697 ἕλεν] Zen. ἕλες. || φύγαδ' ἐμνάοντο] cf. φόβονδ' ἀγόρευ'(ε) Ε 252. || ἐμνάοντο § 190 et 191] ἐμνώοντο mss.

699 Πατρόκλοι' § 59] -κλου mss. || ἔγχε' ἔθυε § 71] ἔγχεϊ θῦε (θυῖεν Α Η).

700 δμητοῖ' § 59] δμητοῦ mss.

702 ἀγκῶνος] hoc uno loco de *muri angulo*; alias *cubitum* vel *bracchium* significat.

χείρεσσ' ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ϝῖσος, — 705 sq. = *E* 438 sq.
δϝεινά ϝ' ὁμοκλήσας προσέφη ϝεκάϝεργος Ἀπόλλων·
„χάζεο, διογενὲς Πατρόκλεες· οὔ νύ τοι αἶσα
σῷ ὑπὸ δουρὶ πόλιν Τρώων πέρθεσθ' ἀγερώχων, — 708 cf. *Φ* 584
οὐδ' ὑπ' Ἀχιλλῆος, ὅς περ σέο πολλὸν ἀμείνων." — 709^{b} cf. *H* 114
ὣς 'φάτο, Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω, — 710 cf. *E* 443
μῆνιν ἀλευάμενος ϝεκατηβόλου Ἀπόλλωνος. — 711 = *E* 444
Ἕκτωρ δ' ἐν Σκαιῇσι πύλῃσ' ἔχε μώνυχας ἵππους·
'δϝίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
ἦ λαοὺς εἰς τεῖχος ὁμοκλήσειε ϝαλῆναι.
ταῦτ' ἄρα ϝοι φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
ἀνέρι ϝεισάμενος αἰζηῷ τε κρατερῷ τε, — 716 cf. h. Ap. 449
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
αὐτοκασίγνητος Ϝεκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίῃ 'ναίεσκε ῥοῇσ' ἔπι Σαγγαρίοιο· — [cf. *P* 585
τῷ μιν ϝεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων· — 720 = *P* 326 *Y* 82
„Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή. — 720^{a} = *B* 22
αἴθ', ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην· — 722^{b} sq.^{a} = *φ* 373 sq.
τῷ κε τάχα στυγερῶς πολέμοι' ἀπερωήσειας. — 723^{a} = *ψ* 23
ἀλλ' ἄγε, Πατρόκλῳ ἔπεχε κρατερώνυχας ἵππους, — 724 cf. 732
αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων." — 725 cf. *H* 81
ὣς ϝειπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν, — 726 = *N* 239
Κεβριόνῃ δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
ἵππους εἰς πόλεμον πεπληγέμεν'. αὐτὰρ Ἀπόλλων
'δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργεΐοισι
ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε. — 730 = *M* 255

---

706 *ϝ'] *δ'* (om. L) mss.; cf. *E* 439. || *προσέφη ϝεκάϝεργος Ἀπόλλων*] *ἔπεα πτερόεντα προσηύδα* mss. nonnulla (cf. *Y* 448).

707 *Πατρόκλεες* § 73] *-κλεις* mss. || *τοι*] *πω* Ar. L.

708 **Τρώων πέρθεσθ'*] *πέρθαι* (*-σαι* Harl.) *Τρώων* mss. || *ἀγερώχων*] vid. ad *B* 654.

710 *πολλὸν*] *τυτθὸν* Zen. H, quod praefert Nauck; cf. *E* 443.

713 *'δϝίζε*] †, vid. § 200.

716 *εἰσάμενος*] sic Ar. (alios olim *ἀνδρὶ ἐεισάμενος* legisse suspicatur Ludwich).

717 *ἦν*] *ἔεν*? vid. § 302.

719 *Φρυγίῃ*] *Φρυγίην* Syr. G et Strab. XIII p. 590 (male).

720 *ϝεισάμενος* PKnight] *ἐεισάμενος* mss.

721 *Ἕκτορ*] *Ἕκτωρ* Syr.

722 sq. *εἴην ... ἀπερωήσειας*] de optativi usu vid. ad *Δ* 314 et § 109.

723 *στυγερῶς*] *tuo malo* (vid. ad *ρ* 448). Adverbium nonnisi locis parall. redit. || *πολέμοι'* § 59] *-μου* mss. || *ἀπερωήσειας*] comp. †.

724 *ἔπεχε* L] *ἔφεπε* mss. cett.; cf. vs. 732 et ad *E* 329.

Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα' οὐδ' ἐνάριζε,
αὐτὰρ ὃ Πατρόκλῳ ἔπεχε κρατερώνυχας ἵππους· 732 cf. 724
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε 733ᵇ = 755
σκαιῇ ἔγχος ἔχων, ἑτέρηφι δὲ 'λάζετο πέτρον
μάρμαρον ὀκριόενθ', ὅν ϝοι περὶ χεὶρ ἐκάλυψε· 735ᵃ cf. Μ 380
ἧκε δ' ἐρεισάμενος, οὐδὲ δϝὴν ἄζετο φωτός,
οὐδ' ἁλίωσε βέλος, 'βάλε δ' Ἕκτορος ἡνιοχῆα,
Κεβριόνην, νόθον υἱὸν ἀγακλέεος Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέι λᾶι. 739ᵃ = Θ 121; 739ᵇ cf. Λ 95
ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ ϝοι ἔσχε
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ 'πέσον ἐν κονίῃσι
αὖθι πρόσθε ποδῶν· ὃ δ' ἄρ' ἀρνευτῆρι ϝεϝοικὼς 742 sq. cf. Ε 585 [sq.
κάππεσ' ἀπ' εὖ ϝερκτοῦ δίφρου, 'λίπε δ' ὀστέα θυμός. 742ᵇ = Μ 385; 743 cf. Μ 386
τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεες ἱππεῦ· 744ᵃ = χ 194 cf. Ω 649
„ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ.
εἰ δή που καὶ πόντῳ ἓν ἰχθυόεντι γένοιτο,
πολλούς κεν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρῴσκων, εἰ καὶ δυσπέμφελος εἴη,
ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασι."
ὣς ϝειπὼν ἐπὶ Κεβριόνῃ ἥρω' ἐβεβήκει
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
ἔβλητο πρὸς στῆθος, ἑϝή τέ μιν ὤλεσεν ἀλκή·

---

731 ἔα' § 191] ἔα mss.

732 ἔπεχε G L et l. a. A] ἔφεπε mss. Cf. vs. 724.

734 σκαιῇ ἔγχος] hiatus vitiosus, vid. § 14; *ἔγχος ἔχων σκαιῇ?

735 ὀκριόενθ', ὅν Bentley] -ντα, τόν mss. || ὅν—ἐκάλυψε] locutio non redit.

736 ἄζετο] sic aut ἅζετο mss. pleraque, χάζετο H Eust. (cf. Λ 539). Verba corrupta; frustra enim εὐλαβεῖσθαι verbum interpretatur scholion. Christ versum delet, Naber coniecit πλάζετο coll. Λ 351 ρ 72 (nobis in mentem venerat *αὐτοῦ δὲ 'πλάζετο).

738 ἀγακλέεος Πριάμοιο] Ἀγακλῆος μεγάθυμον C (vid. ad Λ 99). || ἀγακλέεος § 73] -κλῆος mss.

740 σύνελεν] comp. nonnisi υ 95 redit, hinc autem alienum videtur; *ἄνελεν? Nauck θλάσσεν.

742 αὖθι § 322] αὐτοῦ mss.

743 *εὖ ϝερκτοῦ] εὐεργέος mss.; vid. δ 695 χ 319 et § 73. Nauck ἔκπεσ' ἐυξέστου, vid. vs. parall.; Christ olim εὐϝρεγέος, nunc εὐπλεκέος coll. Ψ 436, Menrad εὐϝέργου.

744 Πατρόκλεες § 2 et 73] -κλεις mss.

747 κεν § 326] ἄν mss. || τήθεα] †, *ostreae* significari videntur. || διφῶν] †, *petens*, cf. Hes. Op. 374 Ar. Nub. 192 Herod. Mimiamb. III 54 VI 73 VII 78.

748 δυσπέμφελος εἴη] -λοι εἶεν Zen. (quod interpretabantur δυσάρεστοι). Adiectivum †, quod *maris* epitheton (*aestuosum*) esse sensit Ar.; vid. Hes. Theog. 440 Oper. 618, 722.

751 ἥρω' ἐβεβήκει] ἥρωι βεβ. mss.

752 οἶμα] nonnisi Φ 252 redit (οἰμάω saepius); vid. tamen v. l. Θ 349.

ὣς ἐπὶ Κεβριόνῃ, Πατρόκλεες, ἆλσο μεμαώς.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε. 755^b = 733
τὼ περὶ Κεβριόναο λέονθ' ὣς δῆριν ἐθέσθην,
ὥ τ' ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο, 757^a = 824
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον· 758^b = 824
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀυτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
'ϝίεντ' ἀλλήλων ταμέμεν χρόα νηλέι χαλκῷ. 761 = Ν 501
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ 'λάβεν, οὔ τι μεθίει, 762 cf. Ο 716
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἳ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην. 764 = Ξ 448
ὡς δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιιν
οὔρεος ἐν βήσσῃ βαθέαν πελεμιζέμεν' ὕλην, 766^a = 634
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ϝηχῇ θεσπεσίῃ, πάταγος δέ τε ϝαγνυμενάων,
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες 770 sq. = Λ 70 sq.
'δῄοον, οὐδ' ἕτεροι 'μνάοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρ' ἐπεπήγει
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξαν [sq.
μαρναμένων ἀμφ' αὐτόν· ὃ δ' ἐν στροφάλιγγι κονίης 775^b sq. cf. ω 39
'κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων. 775^b sq.^{a} cf. Σ 26 / 775^b cf. Φ 503 [sq.
ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφεβεβήκει, 777 cf. Θ 68

---

754 *Πατρόκλεες* § 73] *-κλεις* mss. ‖ *μεμαώς*] de -ᾱ- vid. § 160; EGoebel *μεμᾰώς, Πατρόκλεες, ἆλσο* sine iusta causa.

οὔδε' ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι 437 sq. cf. Ψ 283 sq.
θερμὰ κατὰ βλεφάρων χαμάδις 'ρέε μυρομένοιιν
ἡνιόχοιο πόθῳ· θαλερὴ δ' ἐμιαίνετο χαίτη 439ᵇ sq. cf. T 405 sq.
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθε.
μυρομένω δ' ἄρα τώ γε ϝιδὼν ἐλέησε Κρονίων, 441 cf. T 340
κινήσας δὲ κάρη προτὶ ϝὸν 'μυθήσατο θυμόν· 442 = ε 285, 376 cf. P 200
„ἆ δϝειλὼ, τί σφῶι 'δόμεν Πηλῆι ϝάνακτι

Mor., ὣς δέ τις αὖ mss. cett. (ita ut ὣς contra morem Homericum ad sequentia sit referendum; vid. ad Ω 337). PKnight ὧδέ τις αὖ. || ηὐδήσασκε] αὐδ. mss.

422 ἐρωεέτω § 191] -είτω mss.

423 ὤρσασκε] ὄρσασκεν mss. pleraque. || ϝεκάστου] ἕκαστος C, ἑταίρου ed. Rom.

424-542] del. Koechly Bergk alii; vid. ad Π 145-154.

424 σιδήρειος] *invictus*, cf. Y 372 Ψ 177 X 357.

425 χάλκεον] vid. E 504 γ 2 ο 329.

430 θοῇ] E 748 legitur θοῶς.

431 προσηύδα] -δαε? vid. § 191. Apoll. lex. κελεύων.

432 ἐπὶ νῆας] Barnes ποτὶ νῆας.

433 ἴμεναι § 125] ἰέναι mss.

435 ἑστήκῃ GHermann] ἑ(ι)στήκει mss. || τεθνηότος] τεθνειότος (τεθνειῶτος) mss. complura.

436 ἀσφαλέως] ἀστεμφὲς Naber. || ἔχοντε] -ντες mss. multa.

437 οὔδε' § 71] οὔδει mss. || ἐνισκίμψαντε] -σκήψαντε(ς) mss. nonnulla. || καρήατα] vid. § 82.

438 μυρομένοιιν] -νοισιν mss. pleraque.

439 πόθῳ] ποθῇ G Cant.; forma masculina in Iliade non redit. De re vid. T 405 sq. Ψ 283 sq.

440 ζεύγλης] nonnisi loco par. redit; videtur significari culcita iugo supposita ad equorum collum protegendum. Cf. tamen Helbig Hom. Epos[1] p. 109. || ἀμφοτέρωθε] -ρωσε et -ροισι mss. nonnulla.

θνητῷ, ὔμες δ' ἐστὸν ἀγηράω ἀθανάτω τε. 444ᵇ = M 323
ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
οὐ μὲν γάρ τί ποθ' ἐστὶν ὀιζυρότερον ἀνδρὸς 446 cf. σ 130
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει. 447 = σ 131
ἀλλ' οὐ μὰν ὔμίν γε καὶ ἅρμασι δαιδαλέοισι
Ἕκτωρ Πριαμίδης ἐποχήσεται, οὐ γὰρ ἐάσω· 449ᵇ cf. Σ 296
οὐ ϝάλις ὡς καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτως;
σφῶιν δ' ἐν γούνεσσι βαλῶ μένος ἠδ' ἐνὶ θυμῷ,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω,
κτεινέμεν', εἰς ὅ κε νῆας ἐυσσέλμους ἀφίκωνται 454 cf. Λ 193
δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ." 455 = Λ 194
ὣς ϝειπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠύ. 456 cf. Ο 262 Ω 442
τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς. 458 = Λ 533
τοῖσι δ' ἐπ' Αὐτομέδων 'μάχετ' ἀχνύμενός περ ἑταίρου,
ἵπποισ' ἀίσσων ὥς τ' αἰγυπιὸς μετὰ χῆνας.
ῥεῖα μὲν ἂρ 'φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ' ἐπηίξασκε πολὺν καθ' ὅμιλον ὀπάζων. 462ᵇ = E 334
ἀλλ' οὐχ ἥρεε φῶτας, ὅτε σεύαιτο διώκειν·
οὐ γάρ πως ἦν οἷον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ
ἔγχε' ἐφορμᾶσθαι καὶ ἐπισχέμεν' ὠκέας ἵππους.

---

444 *θνητῷ, ὔμες*] hiatus vitiosus, vid. § 14. || *ὔμες* § 92] *ὑμεῖς* mss. || *ἀγηράω* § 62] *ἀγήρω τ'* mss.; cf. *B* 447.

446 *ποθ'* § 322] *που* mss., *ποτ'* Plat. Axioch. p. 367*d*. || *ὀιζυρότερον* § 20] *-ρώτερον* mss.

449 *οὐ γὰρ ἐάσω*] *οὐδέ τις ἄλλος* Harl. et l. a. in schol. V.

450 *οὐ* Brandreth] *ἦ οὐχ* mss.; cf. § 8. || *ἐπεύχεται*] *ἀγάλλεται* Apoll. lex.

451 *βαλῶ*] vitiosum pro *βαλέω*, vid. § 147. Mosc. *βάλω*, sed subiunctivo non est locus; vid. § 108 et ad *I* 121 *μ* 383. Ecquid *'*βάλον*? cf. *E* 125 sqq., Christ *γούνασι δ' ἔν σφῶιν βαλέω*.

454 sq.] del. vHerwerden, pronomen *σφισι* vs. 453 ad *equos* referens. Versum 455 om. C[1] Vat.

454 *κτεινέμεν'* § 125] *κτείνειν* mss.

456 *ἵπποισιν — ἠύ*] sic Ar., *-σι μένος πολυθαρσὲς ἐνῆκεν* Zen. addito versu *αὐτὸς δ' Οὐλυμπόνδε μετ' ἀθανάτοισι βεβήκει* (? — *μετ' ἀθανάτους ἐβεβήκει* LaRoche).

459 *τοῖσι ... ἐπ'*] *adversus Troianos* an *equis* (*curru*) *vectus*?

460 *αἰγυπιὸς*] vid. ad *H* 59.

461 *ῥεῖα μὲν ἂρ* PKnight] *ῥεῖα* vel *ῥέα μὲν γὰρ* mss.; cf. § 8. Nauck *ῥεῖά τε γὰρ*, et *ῥεῖα τ'* vs. 462; Christ *ῥεῖα μὲν ἐκφεύγεσκεν*, quae minus probabilis est coniectura propter Hesiodi versum Op. 5 eodem vitio laborantem.

462 *ἐπηίξασκε*] *ἐπαΐξασκε* vel *-ξεσκε* mss.; fortasse praestat **ἐπηΐσσεσκε*.

463 *ἥρεε* § 191] *ἥρει* mss. || *ὅτε σεύαιτο* A (rec.)] *ὅτ' ἐσσεύαιτο* (*-οντο, -ατο*) mss. cett. Cf. § 26.

464 *ἦν*] *ἔεν*? vid. § 302.

465 *ἔγχε'* § 71] *ἔγχει* mss. || *ἐπισχέμεν'* § 125] *-σχεῖν* Ptolemaeus Asc., sic Vat. et (*-σχιεῖν*) G, *ἐπίσχειν* Ar. mss. cett.

ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἔϜιδ’ ὀφθαλμοῖσι
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
’στῆ δ’ ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
„Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;
οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ’ Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.“ 473ª = Σ 132
τὸν δ’ αὖτ’ Αὐτομέδων προσέφη, Διώρεος υἱός·
„Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος, 477ᵇ = Η 366
ζωὸς ἐών; νῦν Ϝ’ αὖ θάνατος καὶ μοῖρα κιχάνει. 478 = 672 Χ 436 478ᵇ cf. Χ 303
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα 479 cf. Ε 226
δέξαι, ἐγὼ δ’ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.“ 480 = Ε 227
ὣς ἔφατ’, Ἀλκιμέδων δὲ βοηθόον ἅρμ’ ἐπορούσας
καρπαλίμως μάστιγα καὶ ἡνία ’λάζετο χερσὶ, 482 = Ω 441 cf. [Ε 840
Αὐτομέδων δ’ ἀπόρουσε. ’νόησε δὲ φαίδιμος Ἕκτωρ, 482ᵇ = Ε 365
αὐτίκα δ’ Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα· 484 cf. Λ 346
„Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων, 485 = Ε 180
ἵππω τώδ’ ἐνόησα ποδώκεος Αἰακίδαο
εἰς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι. 487ª cf. Ω 332
τώ κεν ἐϜελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ 488ᵇ sq.ª cf. Ψ 894
σῷ ἐθέλοις· ἐπεὶ οὔ κεν ἐφορμηθέντε γε νῶιν
τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηι.“
ὣς ἔφατ’, οὐδ’ ἀπίθησεν ἐὺς πάις Ἀγχίσαο.
τὼ δ’ ἰθὺς ’βήτην βοέῃς ϜεϜλυμένω ὤμους 492ª = Μ 330

---

466 *ἔϜιδ’] ἴδεν mss.
467 Ἀλκιμέδων] vid. ad *T* 392. || Αἱμονίδαο] Ἁρμονίδαο C Townl. Mosc.
470 στήθεσσιν ἔθηκε] -σσι τέθεικε D.
476 δμῆσιν] †.
478 *Ϝ’ αὖ] δ’ αὖ D Z, αὖ mss. cett. || κιχάνει] κάλυψεν mss. complura.
480 ἀποβήσομαι] ἐπιβ. A (rec.) Z inepte, cf. vs. 483 et ad *E* 227.
481 βοηθόον] sic Ar., βοῇ θοὸν Aristarchi discipuli (sic A rec. Z Vrat.); Peppmueller βοηθόος. Cf. *N* 477.
488 τώ Eust. Z] τῶ(ι) mss. cett.
489 ἐθέλοις] -λεις mss. pleraque. || οὔ κεν § 326] οὐκ ἂν (οὔτιν’ D) mss. || νῶιν D G] νῶι mss. cett., sed verbo τλαῖεν accusativus subiungi nequit. Dativus iungendus est participio ἐφορμηθέντε, adverbium ἐναντίβιον alteri participio στάντες (ut *Φ* 266 *ξ* 270 *ϱ* 439, cf. *N* 106), totus autem locus vertendus: *non enim audebunt postquam in nos irruerint se nobis opponere.* Suspicionem tamen movet participiorum ἐφορμηθέντε et στάντες numeri discrepantia.
492 βοέῃς] pro -ῃσι novicium, vid. § 57, βοε(ί)η autem pro *scuto* alibi non legitur;

αὔησιν στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός. 493[b] cf. N 804
τοῖσι δ' ἅμα Χρομίος τε καὶ Ἄρητος θεοϝειδὴς
ἤισαν ἀμφότεροι· μάλα δέ σφισι 'ϝέλπετο θυμὸς 495 cf. 395 495[b] = 234
αὐτώ τε κτενέειν ἐλάειν τ' ἐριαύχενας ἵππους· 496 cf. E 236
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
αὖτις ἀπ' Αὐτομέδοντος. ὃ δ' εὐξάμενος Διὶ πατρὶ
ἀλκῆς καὶ σθένεος 'πλῆτο φρένας ἀμφὶ μελαίνας. 499[a] = 212 499[b] cf. 573
αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
„Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν' ἵππω,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀίω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶι κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν 505[a] cf. X 245
Ἀργεΐων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισι ϝαλώῃ."
ὣς ϝειπὼν Αἴαντε 'καλέσσατο καὶ Μενέλαον·
„Αἴαντ', Ἀργεΐων ἡγήτορε, καὶ Μενέλαε, 508[a] = Δ 285
ἦ τοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' ὅσσοι ἄριστοι
ἀμφ' αὐτῷ βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶιν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ· 511[b] = Λ 588
τῇδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι. 513[a] cf. 534
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται· 514 = Υ 435 α 267 π 129 cf. α 400
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ τοι Διὶ πάντα μελήσει." 515[b] cf. E 430 Ψ 724[b]
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 516 = Γ 355
καὶ 'βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην· 517 cf. Γ 347

---

*βουσὶν? vid. M 105, 137 Π 636 et ad H 238.

495 'ϝέλπετο] ἤλπετο mss. nonnulla.

496 ἐλάειν § 191] ἐλέειν H Vrat., ἐλάειν mss. cett.

497 ἀναιμωτί] vid. ad vs. 363.

499 φρένας ... μελαίνας] vid. ad Α 103.

500 προσηύδα] -δαε? vid. § 191.

501 ἵππω] ἵππους mss. multa.

503 μένεος] μάχης C.

505 τε] δὲ l. a. (Ar.?).

509 ἐπιτράπεθ'] vid. ad vs. 511. || ὅσσοι] οἵ περ mss. pleraque.

510 ἀμύνεσθαι] -νασθαι C Cant. Mor.

511 νῶιν] νῶι D. || ἀμύνετε] -νατε Mor. Barocc., cf. vs. 509; sed veri videtur similius ἐπιτρέπεθ' et ἀμύνετε dedisse poetam.

513 Ἕκτωρ] Ἕκτωρ τ' C; vid. l. parall.

514 θεῶν ἐν γούνασι κεῖται] locutio locis parallelis redit. Genibus deorum, quos prisca ars sedentes repraesentare solebat (vid. Z 92), imponebantur dona; hinc ipsa vota et omnino quaecunque non ex hominum arbitrio pendent ibi collocata esse finguntur.

515 *τοι...μελήσει] κεν...μελήσει (-ση C) mss. Grammatica non admittit κεν μελήσει (cf. § 122), admittit sane κεν μελήσῃ, sed aoristus apud Homerum nonnisi h. Merc. 453 extat neque sic dubitanter loqui Automedontem sinit pietas; cf. E 430. Fortasse tamen non τοι sed *θην dedit poeta.

ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ 'Ϝίσατο χαλκὸς, 518sq.=E 538 sq.
νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσε.
ὡς δ' ὅτε κ' ὀξὺν ἔχων πέλεκυν αἰζήιος ἀνὴρ
κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο
Ϝῖνα τάμῃ διὰ πᾶσαν, ὃ δὲ προθορὼν ἐρίπησι,
ὣς ἄρ' ὅ γε προθορὼν ἔπεσ' ὕπτιος, ἐν δέ Ϝοι ἔγχος
νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον 'λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ· 525ᵇ sq. = N 183 [sq.
ἀλλ' ὃ μὲν ἄντα Ϝιδὼν ἠλεύατο χάλκεον ἔγχος, 526-529 = Π 610 sqq.
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδε' ἐνεσκίμφθη, ἐπὶ δ' οὐρίαχος 'πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην, 530ᵃ = H 273 530ᵇ cf. N 496
εἰ μή σφω' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον ἑταίρου κικλήσκοντος.
τοὺς ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ Αἰνείας τε ἰδὲ Χρομίος θεοϜειδὴς, 534ᵃ cf. 513
Ἄρητον δὲ κατ' αὖθι 'λίπον δεδαϊγμένον ἦτορ, 535ᵃ cf. Ω 470
κείμενον· Αὐτομέδων δὲ θοῷ ἀτάλαντος Ἄρηι
τεύχεά Ϝ' ἐξενάριξε καὶ εὐχόμενος Ϝέπος ηὔδα· 537 = N 619
„ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπεφνών."
ὣς Ϝειπὼν εἰς δίφρον ἑλὼν ἔναρα βροτόεντα
'θῆκ', ἀνὰ δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθε 541ᵇ = E 122
αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.

ἂψ δ' ἐπὶ Πατρόκλῳ 'τέτατο κρατερὴ ὑσμίνη
ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη.

---

518 'Ϝίσατο § 201] εἴσατο mss. || χαλκὸς] καὶ τῆς C, vid. ad *E* 538.
520 ὅτε κ' § 326] ὅτ' ἂν mss.
523 *ἔπεσ'] πέσεν mss.
524 νηδυΐοισι] †, cf. νηδύς *N* 290 etc.
527 κατέκυψε] vid. ad *Π* 611.
528 οὔδε' § 71] οὔδει mss. || ἐνεσκίμφθη] ἐνισκίμφθη (-σκήφθη Vrat., cf. *Π* 612 *P* 437) mss. || οὐρίαχος] vid. ad *K* 153.
530 ὡρμηθήτην] ὁρμ. A (rec.) Vrat.
531 σφω' § 92] σφω mss. multa.
532 ἑταίρου] -ροο? vid. § 2 et 59.
533 ὑποταρβήσαντες] comp. †.
534 'Εκτωρ] Ἕκτωρ τ' Barocc. Vat. Mosc.; vid. l. parall. || τε ἰδὲ IHVoss] τ' ἠδὲ mss.
535 δεδαϊγμένον] -νοι Heyne coll. ν 320. Vulgatam satis tueri videtur Σ 236, ἦτορ igitur interpretandum esse *vitam* (ut *O* 252 *Π* 660), non ipsum *cor* (vid. vs. 519, 524).
537 *Ϝ'] τ' mss.
541 ἀνὰ] ἂν mss. complura.

ἠύτε πορφυρέην Ϝῖριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε Ϝέργων
ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
ὣς ἡ πορφυρέῃ νεφέλῃ πυκάσασά μιν αὐτὴν
'δύσετ' Ἀχαιῶν Ϝέθνος, ἔγειρε δὲ φῶτα Ϝέκαστον.
πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα,
ἴφθιμον Μενέλαον — ὃ γάρ ῥά Ϝοι ἐγγύθεν ἦεν —
Ϝεισαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν· 555 cf. N 45
„σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος 556ᵇ = Π 498
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχε' ὕπο Τρώων ταχέες κύνες ἑλκήσωσι. 558ᵃ = 404
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.“ 559 = Π 501
τὴν δ' αὖτε προσέϜειπε βοὴν ἀγαθὸς Μενέλαος·
„Φοίνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη 561ᵃ = Ι 607
δοίη κάρτος ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν· 562ᵇ cf. Δ 542
τῷ κεν ἐγώ γ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν 563ᵇ = Ο 255
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐπεμάσσατο θυμόν. 564ᵇ cf. Υ 425
ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
χαλκῷ δηιόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.“ 566ᵇ cf. Θ 141
ὣς 'φάτ', ἐγήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη, 567 sq. cf. γ 52 sq. 567 cf. ν 287
ὅττι ῥα Ϝοὶ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκε,
καί Ϝοι μυίης θάρσος ἐνὶ στήθεσσιν ἕηκε,

---

545 οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύϜοπα Ζεὺς 545ᵃ = υ 31 cf. Λ 184
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ. 546ᵇ cf. η 263

545 Zen. —, alii om., teste schol. V. Suspicatur Ludwich Aristarchum obelo notasse versum, Zenodotum aliosque omisisse. Praeterea certum videtur, non de solo vs. 545 sed simul de vs. 546 iudicium tulisse veteres criticos.

546] damnavit Heyne; quo deleto versus 545 ne ferri quidem potest. || *αὐτοῦ*] novicium, cf. § 98.

547 sqq.] cf. Δ 75 sqq.

547 *πορφυρέην*] aptumne arcus coelestis epitheton (cf. P 551)? an **μαρμαρέην* dedit poeta (vid. P 594)? || *Ϝῖριν*] vid. § 66.

549 *δυσθαλπέος*] †, *δυσταρπέος* A (rec.) male.

550 *ἀνέπαυσεν*] comp. †.

551 *μιν αὐτὴν* Nauck] *ἑαυτὴν* aut *ἑ αὐτὴν* mss., *ἑωυτὴν* Zen.; cf. Ξ 162 et § 94. Redit error ρ 387, vid. etiam θ 396.

558 *τείχε'* § 71] *τείχει* mss. || *ἑλκήσωσι(ν)* Harl.] *ἑλκήσουσιν* aut *-ύσ(σ)ουσιν* (vid. X 62, 336 λ 580) mss. cett.

559 *ἅπαντα*] vid. ad Π 501.

564 *ἐπεμάσσατο* Cant.] *ἐπεβάσσατο, ἐσεβάσσατο, ἐσεμάσσατο, ἐσεμά(σ)σετο* mss. cett. Verbum = *καθήψατο*, cf. *ἐπεμαίετ' ἄρ' ἵππους* E 748 etc. — Redit varietas Γ 425.

567 *'φάτ', ἐγήθησεν*] *φάτο, γ.* mss.

569 *γούνεσσιν*] *-α(σ)σιν* mss. nonnulla (male).

570 **ἕηκε*] *ἐνῆκε(ν)* aut *ἔθηκε(ν)* mss.

ἦ καὶ ϝεργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰχανάει δακέμεν, λαερὸν δέ ϝοι αἷμ' ἀνθρώπου·
τοίου μιν θράσεος 'πλῆσε φρένας ἀμφὶ μελαίνας. 573^{b} cf. 499
'βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
ἧσκε δ' ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
ἀφνειός τ' ἀγαθός τε, μάλιστα δέ μιν 'τίεν Ἕκτωρ 576^{a} = Ν 664
δήμου, ἐπεί ϝοι ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
τόν ῥα κατὰ ζωστῆρα 'βάλε ξανθὸς Μενέλαος 578 cf. Ε 615
ἀΐξαντα φόβονδε, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε· 579^{b} = Ν 388
'δούπησεν δὲ πεσών. ἀτὰρ Ἀτρεΐδης Μενέλαος
νεκρὸν ὑπ' ἐκ Τρώων 'ϝέρυσεν μετὰ ϝέθνος ἑταίρων.
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς ϝοι ἁπάντων
ξείνων φίλτατος ἧσκεν, Ἀβυδόθι ϝοικία ναίων·
„Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειε;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ' οἴχεται οἶος ἀείρας
νεκρὸν ὑπ' ἐκ Τρώων, σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον,
ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος.“ 590^{a} = Δ 458
ὣς 'φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα, 591 = Σ 22 ω 315

585 τῷ μιν ϝεισάμενος προσέφη ϝεκάϝεργος Ἀπόλλων· 585 cf. Π 720; 585^{a} = Β 22

571 ᾗ Bentley] ἥ τε mss. || ϝεργομένη] ἐεργομένη Mosc., quod recepit Heyne coll. Ν 525.

572 ἰχανάει] ἰσχανάᾳ mss.; de -άᾳ vid. § 191. Verbum redit Ψ 300 (ubi sinceram formam praebent Syr. A D) ϑ 288; verbum *ἰχανάω cupio* (ἰχανᾶν· ἐπιθυμεῖν, γλίχεσθαι Hesych., cf. Herodae Mimiamb. VII 26) a verbo ἰσχάνω sive ἰσχανάω *cohibeo* (Ξ 387 Ε 89 etc.) iure distinxit Hermann ad Aesch. Suppl. 850 (816). || δακέμεν § 126] δακέειν mss. || *λαερὸν] λαρὸν mss., λιαρὸν Sittl, item Τ 316 β 350 μ 283 ξ 408; cf. § 20. || δέ Eust.] τέ mss.

573 θράσεος Christ coll. Ξ 416] θάρσευς (-ους) mss. || φρένας...μελαίνας vid. ad Α 103.

575 ἧσκε δ' ἐνὶ] ἔσκε δ' ἐνὶ mss. pleraque, ἦν δέ τις ἐν Harl. Athen. VI p. 236 c. Cf. Ε 9. || Ποδῆς] Πόδης? Si contractum est nomen, recentis est originis; Menrad Τρωσὶν Ποδέης, at vid. vs. 590 et Ε 9, 27. || υἱὸς] cf. § 17.

577 ἔην] ἔεν? cf. § 302. || εἰλαπιναστής] †, cf. εἰλαπινή Κ 217 etc., εἰλαπινάζειν Ξ 241 etc.

578 ζωστῆρα 'βάλε] -ρ' ἔβαλε mss. pauca.

582] Zen. Ἕκτορα δὲ φρένα δῖος (LaRoche θοῦρος) Ἄρης ὄτρυνε μετελθών.

584 ἧσκεν] ἔσκεν mss.

585] om. A C Mosc. Townl., neque Zenodoto notus erat (vid. ad vs. 582). Cf. Κ 191. || ϝεισάμενος PKnight] ἐεισάμενος mss.

587 περ] γε A, cf. vs. 270.

588 μαλθακὸς] adi. forma, de qua cf. § 34, nonnisi h. XXIX 15 redit.

590 Ποδῆν] vid. ad vs. 575; Menrad ἐσθλὸν τὸν πρόμαχον, Ποδέην (poterat lenius ἐν προμάχοισ' ἐσθλὸν, Ποδέην). || υἱὸν] cf. § 17.

591 νεφέλη ἐκάλυψε μέλαινα] μεγάλη ἐκάλυψεν ἀχλὺς C et metro invito et sententia (vid. ad Ο 668-673 et η 41).

ʼβῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ. 592 = Δ 495
καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσανόεσσαν 593[b] cf. E 738
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσ' ἐκάλυψε,
ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξε·
νίκην δὲ Τρώεσσ' ἐδίδου, ἐφόβησε δ' Ἀχαιούς.
  πρῶτος Πηνέλεος Βοιώτιος ἦρχε φόβοιο.
ʼβλῆτο γὰρ ὦμον δουρὶ, πρόσω τετραμμένος αἰεὶ,
ἄκρον ἐπιλλίγδην· ʼγράψεν δέ ϝοι ὀστέον ἄχρις
αἰχμὴ Πολυδάμαντος· ὃ γάρ ϝ' ἔβαλε σχεδὸν ἐλθών.
Λήιτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ, 601[b] = E 458
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, ʼπαῦσε δὲ χάρμης·
ʼτρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ʼϝέλπετο θυμῷ 603[a] = Δ 546
ἔγχος ἔχων ἐν χειρὶ μαχέσσεσθαι Τρώεσσι.
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήιτον ὁρμηθέντα
ʼβεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῷ δ' ἐϝάγη δολιχὸν δόρυ, τοὶ δ' ἐβόησαν 607[a] cf. N 162
Τρῶες. ὃ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
δίφρῳ ἐφεσταότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτε,
αὐτὰρ ὃ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε,
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋ κτιμένης ἕπετ' αὐτῷ, —
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιϝελίσσας
ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἠγγυάλιξε, 613[b] = Δ 753

593 θυσανόεσσαν] θυσσ. mss. complura; vid. § 21 et ad B 448.

594 νεφέεσσ' ἐκάλυψε] -σσι κ. mss.

595 τὴν] γῆν Zen. non recte; cf. § 58.

596 Τρώεσσ' ἐδίδου] -σσι δ. mss.

597] cf. B 494. || Πηνέλεος] -ως mss.; vid. § 62 et ad B 494.

598 πρόσω — αἰεὶ] vert. *usque respiciens*, πρόσω enim *in adversum*, i. e. *in hostem* significat.

599 ἐπιλλίγδην Z Cant.] ἐπιλίγδην (vel ἐπὶ λίγδην) mss. cett.; cf. § 27. Adv. †, de quo vid. χ 278. An ἔπι, λίγδην?

600 Πολυδάμαντος § 21] Πουλ. mss. || ϝ'(ε) Heyne] ῥ' mss. (om. Harl. Vrat.); cf. Δ 524.

602 υἱὸν Ἀλεκτρυόνος] Nauck υἷ' Ἀλ. probabiliter. || μεγαθύμου] -μοο? cf. § 59.

603 ἔλπετο] sic Ar., ἤλπετο G Z et olim alii; cf. vs. 234.

604 μαχέσσεσθαι § 291] -χέσσασθαι L, -χήσασθαι Barocc., -χήσεσθαι mss. cett.

607 καυλῷ] vid. ad N 162. || ἐβόησαν] sic Ar., ἐφόβηθεν mss. multa.

608-610] intellegi vix posse in schol. observatur. Ingeniose Grashof vs. 608 *Μηριόναο* coniecit pro *Δευκαλίδαο* (δουρὶ φαεινῷ Harl.), cum δίφρῳ iungens. Bentley vero, sedem mali in vs. **610** quaerens, pro ὃ *Μηριόναο* scripsit ὅ γ' Ἰδομενῆος, Nauck ὃ *Δευκαλίδαο*. Heyne versus 610 sq. delebat. Res sic se habere videtur: Idomeneum inermem (vid. vs. 607) Coeranus recipit in currum Merionis, qui pedes in vicinia pugnat. Coerano interfecto Meriones Idomeneo habenas ex solo sublatas porrigit, ipse pugnare pergit (vid. vs. 668 sqq.). Solus igitur Idomeneus in castra redit.

611 αὐτῷ] novicium, cf. § 98.

612-616] rhapsodo, qui haec cum N 210-329 pugnare viderit, tribuit Nauck.

612 πεζὸς] nempe *Idomeneus*.

613 ἠγγυάλιξε] ἐγγ. mss.

εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ, 615^{b} cf. *Λ* 484
αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο —
τὸν 'βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας 617^{a} = *Ν* 671
ὦσε δόρυ πρυμνὸν, διὰ δὲ γλῶσσαν 'τάμε μέσσην·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία 'χεῦεν ἔραζε. 619^{b} cf. *ο* 527
καὶ τά γε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσι
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
„μάστιε νῦν, ἧός κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γιγνώσκεις δὲ καὶ αὐτὸς ὅ τ' οὐκέτι κάρτος Ἀχαιῶν.“
ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους 624 $sq.^{a}$ cf. *Λ* 280 sq.
νῆας ἔπι γλαφυράς· δὴ γὰρ δϝέος ἔμπεσε θυμῷ.
οὐδ' ἔλαθ' Αἴαντε μεγαλήτορε καὶ Μενέλαον
Ζεύς, ὅ τε δὴ Τρώεσσι 'δίδου ἑτεραλκέα νίκην. 627^{b} = *χ* 236
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
„ὢ πόποι, ἤδη μέν κε, καὶ ὃς μάλα νήπιός ἐστι,
γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅς τις ἀφήῃ
ἢ κακὸς ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην, 634 cf. 712
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ 635 = 713
χάρμα φίλοισ' ἑτάροισι γενώμεθα νοστήσαντες,
οἵ ποθι δεῦρ' ὁράοντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶ

---

638 *Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους* 638^{b} = *Η* 309

614] *nisi citatis equis in locum, ubi pedes pugnabat Idomeneus, adegisset currum.*

618 πρυμνὸν] πρυμνοὺς Duentzer probabiliter.

622 μάστιε] pro μάστιζε notabile; vid. ad *Υ* 171. || ἧος § 323] εἵως mss.

623 ὅ τ' Bekker] ὅτ' mss.

626 *Αἴαντε μεγαλήτορε* Naber] -ντα -ρα mss. Cf. vs. 508, 668 sq., 707, 719 sqq., et vid. l. a. *Κ* 53 *Μ* 342 *Ο* 301.

627 *ὅ τε] ὅτε mss., Doederlein ὅτι.

630 ἀρήγει] l. a. ἀμύνει.

631 ἀφήῃ Duentzer] ἀφήει ἀφείη ἐφείη(ι) mss.; cf. § 122.

635 ἐρύσσομεν] neglecto ϝ, item vs. 713; Bentley νεκρόν τε ϝερ., sic vero abundat τε.

637 ποθι § 322] που mss. || δεῦρ'] sic Ar., νῦν mss. nonnulla. || ὁράοντες § 191] ὁρόωντες mss.; pro δεῦρ' ὁρόωντες legitur νῦν παρὰ νηυσὶν Cram. Epim. 73,33 Etym. M. 48,6. || ἀκηχέδατ'] forma vitiosa; cf. § 240. Buttmann ἀκηχέατ' (vid. e. g. *Μ* 179), nos coniecimus *οἵ ποθι δεῦρ' ὁράουσ' ἀκαχημένοι (cf. v. l. *Θ* 207) aut, quo ducit l. a., *οἵ ποθι νῦν παρὰ νηύσ' ἀκαχήαται.

638] del. Heyne; si servaretur, non vertendus esset *dicunt se Hectorem non posse sustinere* (nam σχήσεσθαι accusativum non admittit), sed *dicunt Hectorem non iam cunctaturum esse*; vid. praeterea ad *Ι* 235.

σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνησιν πεσέεσθαι. 639 = I 235
εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλεΐδῃ, ἐπεὶ οὔ μιν ὀίομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι ϝοι φίλος ὤλεθ' ἑταῖρος.
ἀλλ' οὔ πῃ δύναμαι ϝιδέμεν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι. 644ª cf. 368
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσι ϝιδέσθαι.
ἐν φάεϊ καὶ ὄλεσσον, ἐπεί νύ τοι ἔϝϝαδεν οὕτως."
ὥς 'φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα· 648 = Θ 245
αὐτίκα δ' ἠέρα μὲν 'σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσ' ἐφαένθη.
καὶ τότ' ἄρ' Αἴας 'ϝεῖπε βοὴν ἀγαθὸν Μενέλαον· 651 = 237
„σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αἴ κε ϝίδηαι
ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν· 653 cf. E 565
ὄτρυνον δ' Ἀχιλῆι δαΐφρονι θᾶσσον ἰόντα
ϝειπέμεν' ὅττι ῥά ϝοι πολὺ φίλτατος ὤλεθ' ἑταῖρος." 655 cf. 411
ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος, 656 = 246
'βῆ δ' ἴμεναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο, 657 cf. Λ 548
ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
οἵ τέ μιν οὐκ ἐάουσι βοῶν ἐκ πῖαρ ἑλέσθαι 659-664 = Λ 550 sqq.
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρεάων ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει, θαμέες γὰρ ἄκοντες
ἀντίον ἀίσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάς τε τρέει ἐσσυμένος περ·
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ.

---

640 ἑταῖρος] ἑταίρῳ Bothe.
643 πῃ] l. a. που (?). ‖ ϝιδέμεν § 126] ἰδέειν mss. ‖ τοιοῦτον] suspectum Nauckio.
644 κατέχονται] l. a. κεκάλυπται.
646 αἴθρην] vid. ad vs. 371. ‖ ϝιδέσθαι] l. a. ὁρᾶσθαι.
647 *φάεϊ] δὲ φάει mss.; cf. § 71. Praeterea pro καὶ tentavimus *δ' ἄρ', sed vid. E 685 Φ 274 η 224. ‖ ἔϝϝαδεν § 40] εὔαδεν mss.
650 ἐπέλαμψε] comp. nonnisi h. Merc. 141 redit. ‖ πᾶσ' ἐφαένθη] πᾶσα φαάνθη mss. De -άνθη cf. § 280.
651 Μενέλαον] vid. ad M 60.
652 σκέπτεο] vid. ad Π 361.
655 ϝειπέμεν § 125] εἰπεῖν mss.
657 ἴμεναι § 125] ἰέναι mss.
658 ὅς] mutata structura omittitur verbum. Cf. Ω 42. ‖ ἄρ κε κάμῃσι] ἆρ κεκάμῃσι L; e mutilis Aristonici verbis apparet fuisse qui ἂν κεκάμῃσι vel ἄν κε κάμῃσι legerent; de qua varietate vid. N 127, ad Λ 168 H 5 et § 326.
659 sq.] om. C Mor. Barocc.
659 ἐάουσι § 191] εἰῶσι mss.
660 κρεάων § 72] κρειῶν mss.
662 ἀντίον] -οι mss. pleraque; cf. Λ 553.
663 τρέει § 191] τρεῖ mss. vitio metrico, vid. § 14.
664 τετιηότι θυμῷ] l. a. τετιημένος ἦτορ.

ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
ἤιε πόλλ' ἀϝέκων· περὶ γὰρ 'δϝίε μή μιν Ἀχαιοὶ — 666^{a} = Λ 557; 666^{b} cf. χ 96
ἀργαλέου πρὸ φόβοιο ϝέλωρ δηίοισι λίποιεν.
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ' ἐπέτελλε·
„Αἴαντ', Ἀργεΐων ἡγήτορε, Μηριόνη τε, — 669^{a} = Δ 285
νῦν τις ἐνηεΐης Πατροκλέεος δϝειλοῖο
μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
ζωὸς ἐών· νῦν ϝ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.“ — 672 = 478
ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασι — 674^{a} = Ν 649
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ
θάμνῳ ὕπ' ἀμφικόμῳ κατακείμενος, ἀλλά τ' ἐπ' αὐτῷ
ἔσσυτο καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινὼ — 679 cf. 702
πάντοσ' ἐδινείσθην πολέων κατὰ ϝέθνος ἑταίρων,
εἴ ποθι Νέστορος υἱὸν ἔτι ζώοντα ϝίδοιτο.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης — 682 sq. = 116 sq.
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι. — 683 $sq.^{a}$ = Ν 767 sq.
ἄγχι δέ ϝ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
„Ἀντίλοχ', εἶ' ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι — 685 cf. Ψ 581
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφειλε γενέσθαι. — 686 cf. Σ 19
ἤδη μὲν σὲ καὶ αὐτὸν ὀίομαι εἰσοράοντα — 687^{b} $sq.^{a}$ = ξ 214 sq.
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὄχ' ἄριστος Ἀχαιῶν,
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται. — 690^{b} cf. Λ 471 Ρ 704
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆι, θέων ἐπὶ νῆας Ἀχαιῶν,

---

667 *πρὸ φόβοιο*] verba obscura, parum autem prodest collatus Δ 382. Idem quod *ὑπὸ φόβοιο* (*prae timore*) valere coll. Ω 734 putabat Ar. || *δηίοισι*] cf. § 17.

670 *ἐνηεΐης*] †, cf. *ἐνηής* Ρ 204 etc. || *Πατροκλέεος* § 73] *-κλῆος* mss.

672 **ϝ' αὖ*] *αὖ* (*γὰρ* C) mss.

677 *ἀμφικόμῳ*] † (cf. *κόμη* sensu *frondis* ψ 195, *ὑψίκομος* Ξ 398 etc.).

680 *ἐδινείσθην*] contractio necessaria, cf. § 191.

681 *ποθι* § 322] *που* mss. || *ἴδοιτο*] sic Ar. et mss. pleraque, mente supplentes subiectum *ὄσσε*, vid. ad Μ 466; alii olim *ἴδοιντο* (male, vid. § 119), Aristarchi autem discipuli *ἴδοιο*, fortasse recte; sic G H Z Eust.

684 **ἄγχι δέ ϝ'* § 318] *ἀγχοῦ δ'* mss.

685 *εἶ'* § 328] *αἴ δ'* vel *εἰ δ'* mss.

686 *ἣ*] *οὐ* vHerwerden, item Σ 19, „quia *ἀγγελία* non *γίγνεται* sed *ἔρχεται*". Poetae haec esse culpa nobis videtur. || *ὤφειλε* Nauck] *ὤφελλε* mss.; cf. § 273.

687 *εἰσοράοντα* § 191] *-ρόωντα* mss.

689 *ὄχ' ἄριστος* PKnight] *ὤριστος* vel *ἄριστος* mss.; cf. Μ 344 et § 9.

Ϝειπέμεν', αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κόρυθ' αἰόλος Ἕκτωρ." 693 = 122
ὣς ἔφατ', Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας.
δϜὴν δέ μιν ἀφασίη Ϝεπέων 'λάβε, τὼ δέ Ϝοι ὄσσε 695 sq. = δ 704 sq.
δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ Ϝοι ἔσχετο φωνή. 695b sq. = Ψ 396 sq. τ 471 sq.
ἀλλ' οὐδ' ὣς Μενελάου ἐφημοσύνης ἀμέλησε,
'βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι 'δῶκεν ἑταίρῳ,
Λαοδόκῳ, ὅς Ϝοι σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
τὸν μὲν δάκρυ χέοντα πόδες 'φέρον ἐκ πολέμοιο, 700b = N 515
Πηλεΐδῃ Ἀχιλῆι κακὸν Ϝέπος ἀγγελέοντα.
οὐδ' ἄρα σοί, Μενέλαε διοτρεφές, ἤθελε θυμὸς 702 cf. 679
τειρομένοισ' ἑτάροισιν ἀμυνέμεν', ἔνθεν ἀπῆλθε 703a = Σ 129
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη· 704 cf. Λ 471 P 690
ἀλλ' ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκε,
αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρῳ' ἐβεβήκει,
'στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα· 707 cf. M 353
„κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσι, 708b cf. ο 299
ἐλθέμεν' εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ Ϝ' οἴω
νῦν ἴμεναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
οὐ γάρ πώς κεν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἧμες δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην, 712 cf. 634
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ 713 = 635
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν." 714a = Π 782
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας· 714b = μ 157
„πάντα κατ' αἶσαν ἔϜειπες, ἀγακλεὲς ὦ Μενέλαε.
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης ὑποδύντε μάλ' ὦκα
νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου, αὐτὰρ ὄπισθε 718 cf. Ξ 429
νῶι μαχεσσόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ,

---

692 *Ϝειπέμεν'* § 125] *εἰπεῖν* mss.
695 *ἀφασίη* § 21] *ἀμφασίη* mss. pleraque; vox δ 704 redit.
696 *ἔσχετο*] sic Ar.? vid. ad δ 705.
705 *τοῖσιν*] *ut illis opem ferret.*
706 *ἥρῳ' ἐβεβήκει*] *ἥρωι β.* mss.
707 *θέων*] *κιὼν* Vrat. Barocc. (cf. vs. par.).
709 *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss. || **Ϝ' οἴω*] *μιν οἴω* mss.
710 *ἴμεναι* § 125] *ἰέναι* mss. || *Ἕκτορι δίῳ*] l. a. *Ἀτρείωνι.*
711 *κεν* § 326] *ἂν* mss.
712 *ἧμες* § 92] *ἡμεῖς* mss.
713] vid. ad vs. 635.
714 *φύγωμεν*] *φύγοιμεν* mss. complura.
716 *ἀγακλεὲς*] notetur forma integra in mss. servata; cf. § 73.
719 *μαχεσσόμεθα* § 291] *μαχησόμεθα* mss. || *τε*] propter caesuram insolitam delebat Ahrens; vid. Ω 593 et § 44. Si quid mutandum (vid. § 3), malumus *Τρώεσσ' ἠδ'*, cf. Γ 227.

ϝῖσον θυμὸν ἔχοντες, ὁμώνυμοι, οἳ τὸ πάρος περ — 720ª cf. N 704
μίμνομεν ὀξὺν Ἄρηα παρ' ἀλλήλοισι μένοντες."
ὣς ἔφαθ', οἳ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἠγκάζοντο
ὕψι μάλα μεγάλως· λαὸς δ' ἐπεϝίϝαχ' ὄπισθε
Τρωικὸς, ὡς ἐϝίδοντο νέκυν αἴροντας Ἀχαιούς.
ἴθυσαν δὲ κύνεσσι ϝεϝοικότες, οἵ τ' ἐπὶ κάπρῳ
βλημένῳ ἀίξωσι πρὸ κούρων θηρητήρων·
τῆος μέν ῥα θέουσι διαρραῖσαι μεμαῶτες, — 727ᵇ = B 473
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσι ϝελίξεται ἀλκὶ πεποιθὼς,
ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος. — 729ᵇ cf. Λ 486
ὣς Τρῶες τῆος μὲν ὁμιλαδὸν αἰὲν ἕποντο, — 730 cf. O 277
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι· — 731 = N 147 O 278
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
σταίησαν, τῶν δὲ 'τράπετο χρώς, οὐδέ τις ἔτλη — 733 cf. N 279
πρόσσω ἀίξας περὶ νεκροῦ δηριάεσθαι.
ὣς τώ γ' ἐμμεμαῶτε νέκυν 'φέρον ἐκ πολέμοιο — 735 cf. 746
νῆας ἔπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος 'τέτατό σφι
ἄγριος ἠύτε πῦρ, τό τ' ἐπεσσυμένον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ ϝοῖκοι — 738ª = Φ 14
ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο.

---

720 sq. ἔχοντες ... μένοντες] ἔχοντε Macrob. Sat. V 15 § 13, μένοντε Aristoph., fortasse recte (vid. vs. par.); quae si recipiantur lectiones, simul cum Ahrensio scribendum erit ὁμωνύμω, ὤ. Praeterea Nauck offensus verbo μίμνειν-μένειν iterato coniecit παρ' ἀλλήλοιιν ἐόντε.

720 ὁμώνυμοι] †.

722 ἠγκάζοντο] ἀγκ. mss.; verbum † (ἀγκάς saepius).

723-736] del. Franke, vs. 725-741 Koechly, vs. 735-741 Duentzer.

723 μάλα] Bothe μέγαν coll. Π 776 Σ 26 ω 40. || μεγάλως] nonnisi π 432 redit, ubi suspectum. || *λαὸς δ' ἐπεϝίϝαχ'] ἐπὶ δ' ἴαχε λαὸς mss.; Bentley μάλα· μεγάλως δ' ἐπεϝίϝαχε λαὸς.

724 αἴροντας] pro ἀείροντας novicium; vid. § 256. Fick ὡς ἔϝιδον νέκῡν ἄ̄είροντας (displicet cum -ῡν tum ἄ̄-); nos *ϝερύοντας coll. P 581, 635 Σ 232.

727 τῆος μέν ῥα Nauck] ἕως μὲν γάρ τε mss.; cf. § 323.

729-761] in A interciderunt (textum supplevit manus recentior).

729 ἄψ τ'] ἄψ mss. nonnulla, ἄψ δ' H, αἶψά τ' L Lips.

730 τῆος Nauck] τέως Eust. (Zen.? vid. O 277), εἵως mss.; cf. § 323.

733 σταίησαν] suspectum pro σταῖεν, cf. § 116. LDindorf σταῖεν, τῶν δ' αὖτε, nos *ἑστήτην vel *ἀντ' ἔσταν.

734 πρόσσω ἀίξας] hiatus vitiosus; cf. § 14; *πρόσσω ἐπαΐξας? || νεκροῦ] νεκρόο? vid. § 59. || δηριάεσθαι § 191] δηριάασθαι aut δηρίσασθαι mss.

735 τώ Vat.] τοί mss. cett. || γ' ἐμμεμαῶτε] γε μεμαῶτε mss. complura; cf. vs. 746.

738 ἐξαίφνης] forma brevior nonnisi l. parall. redit.

739 τὸ δ' ἐπιβρέμει ἴς] vocis ϝίς neglectum est ϝ, et τό vix potest verti, ἐπιβρέμειν enim non *afflare, incitare* significat sed *mugire.* Bentley ἐπέβρεμε, sed imperfecto non est locus. Heyne βρεμέει (melius PKnight βρέμεται) δ' ἐπὶ ϝίς (cf. O 627 Π 642),

ὣς μὲν τοῖσ' ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴς ὀρυμαγδὸς ἐπήιεν ἐρχομένοισι.
τὼ δ', ὥς θ' ἡμιόνω κρατερὸν μένος ἀμφιβαλόντε
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήιον· ἐν δέ τε θυμὸς
τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδροῖ σπευδόντεσσι·
ὣς τώ γ' ἐμμεμαῶτε νέκυν 'φέρον. αὐτὰρ ὄπισθε 746 cf. 735
Αἴαντ' ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς,
ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
πλάζων· οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
ὣς αἰεὶ Αἴαντε μάχην ἀνέϝεργον ὀπίσσω 752[b] cf. h. Merc. 211[a]
Τρώων· οἳ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείας τ' Ἀγχισιάδης καὶ φαίδιμος Ἕκτωρ.
τῶν δ', ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκληγῶτες, ὅτε προϝίδωσιν ἰόντα 756[a] = 759
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσι,
ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκληγῶτες ἴσαν, 'λήθοντο δὲ χάρμης. 759[a] = 756
πολλὰ δὲ τεύχεα καλὰ 'πέσον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ 'γίγνετ' ἐρωή. 761[b] = Π 302

---

ipsum tamen versum suspectum habens. Christ τὸ δὲ πίμπρῃ ϝῖς. Activum verbi βρέμειν nonnisi Δ 425 redit, ubi vid.; comp. †, vid. ad Ο 627.

742 *τὼ ... ἡμιόνω ... ἀμφιβαλόντε] οἳ ... ἡμίονοι ... ἀμφιβαλόντες mss.; cf. Ψ 97. Cum *duobus* mulis Menelaum et Merionem comparari indicandum est. Ceterum obscura est locutio μένος ἀμφιβαλόντε(ς) †, quacum frustra comparatur ἐπιϝειμένος ἀλκήν. Expectaveris fere *ζυγὸν ἀμφὶς ἔχοντε, ut γ 486 ο 184.

744 ἐν δέ τε] οὐδέ τι vHerwerden.

745 ἱδροῖ] ἱδρῷ mss. vitiose, nam Fickio a nominativo ἱδρός derivanti non videtur adstipulandum. Novicium tamen est ἱδροῖ pro ἱδρόι, vid. § 77. Coniecimus *ἱδρόι ἑλκόντεσσι; Nauck ἱδρόι τειρομένοισιν, corruptum censens τείρεθ'.

746 τώ Vat.] οἵ mss. cett. || γ' ἐμμεμαῶτε Ar.] γε μεμαῶτε mss. multa (cf. Ν 785); l. a. οἳ μὲν ἄρ' ἐμμεμαῶτε.

747 πρὼν] expectatur πρώων, vid. pluralis πρώονες Θ 557 Μ 282 Π 299 h. Ap. 22, 144. PKnight ὡς πρώων, nos *ὥς τε πρώων 'σχέθεν.

748 τετυχηκὼς] -ηὼς Townl. Perfectum nonnisi κ 88 redit.

751 τι Aristoph.] τε mss. pleraque.

755 τῶν] sc. Ἀχαιῶν. || ψαρῶν] cf. Π 583 et § 5.

756 κεκληγῶτες] -γότες Lips. Vrat. -γοντες mss. cett.; item vs. 759; cf. Π 430. An *κεκληγγῶτες?

757 σμικρῇσι] adi. forma sincera nonnisi h. Ven. 115 redit. Vid. § 45.

759 κεκληγῶτες] vid. ad vs. 756.

760 τάφρον] τάφρῳ D Vat.

761 ἐρωή] vid. ad Π 302.

ΙΛΙΑΔΟΣ Σ.

Ἀχιλλέως ἀνάστασις (vs. 1—242). — *Τρώων ἀγορά* (vs. 243—368). — *Ὁπλοποιία* (vs. 369 sqq.).

ὣς οἳ μὲν ’μάρναντο δέμας πυρὸς αἰθομένοιο· 1 = Λ 596
Ἀντίλοχος δ’ Ἀχιλῆι πόδας ταχὺς ἄγγελος ἦλθε.
τὸν δ’ ηὗρε προπάροιθε νεῶν ὀρθοκραιράων 3ᵇ = Τ 344
τὸ φρονέοντ’ ἀνὰ θυμόν, ὃ δὴ τετελεσμένον ἦεν·
ὀχθήσας δ’ ἄρ’ ἔϝειπε ποτὶ μεγαλήτορα θυμόν· 5 = Λ 403
„ὤ μοι ἐγώ, τί τ’ ἄρ’ αὖτε κάρη κομάοντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔϝειπε
Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο. 11ª = Λ 827, 11ᵇ cf. λ 93
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,
σχέτλιος· ἦ ϝ’ ἐκέλευον ἀπωσάμενον δήιον πῦρ 13ᵇ cf. Π 301
νῆας ἔπ’ ἂψ ἴμεναι, μηδ’ Ἕκτορι ϝῖφι μάχεσθαι.“ 14 cf. Π 87, 14ª = Φ 297

---

10 sq. Rhianus Aristoph. om.

---

3 *ὀρθοκραιράων*] boum epitheton (Θ 231 Σ 573 μ 348 h. Merc. 220) h. l. et Τ 344 ad *naves* transfertur. Erecta cornua habere naves dicuntur eodem sensu quo passim *ἀμφιϝέλισσαι* (*utrinque curvatae*) et *κορωνίδες* audiunt. Cf. Helbig Hom. Epos[1] p. 110 sqq.

4 *τὸ ... ὃ ... τετελεσμένον* Heyne] *τὰ ... ἃ ... τετελεσμένα* mss. hiatu vitioso.

5 *ἄρ’ ἔϝειπε*] *ἄρα εἶπε* mss. || **ποτὶ*] *πρὸς ὃν* mss.; vid. ad Λ 403.

6 *κομάοντες* § 191] *κομόωντες* mss.

7 *πεδίοιο*] vid. ad Β 785.

10 sq.] spreverunt Rhianus et Aristophanes, sive quod cum Ρ 410 sq. eos pugnare intellegerent, sive quod Patroclum Opuntium (cf. Ψ 85 sqq.) non recte Myrmidonem dici putarent.

10 *τόν*] **ὄχ’*? vid. Μ 344 et ad Ρ 80.

13 **ϝ’*] *τ’* mss.

14 *νῆας ἔπ’ ἂψ ἴμεναι* § 125] *νῆας ἐπ’*

ἦος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 15 = Α 193
τόφρα ϝοι ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς
δάκρυα θερμὰ χέων, 'φάτο δ' ἀγγελίην ἀλεγεινήν· 17[a] = Π 3
„ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφειλε γενέσθαι. 19 cf. Ρ 686
κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφὶ μάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κόρυθ' αἰόλος Ἕκτωρ.“ 21 cf. Ρ 122
ὣς 'φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα. 22-24[a] = ω 315
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν 22 = Ρ 591 [sqq. 23 sq. cf. Ω 163[b]-165
'χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς 26 sq.[a] cf. Π 775[b] sq.[a]
'κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
δμῳαὶ δ', ἃς Ἀχιλεὺς 'ληίσσατο Πάτροκλός τε, 28 cf. α 398
θυμὸν ἀκηχεμέναι μέγ' ἐϝίϝαχον, ἐκ δὲ θύραζε
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
στήθε' ἐπεπλήγοντο, 'λύθεν δ' ὑπὸ γυῖα ϝεκάστης. 31[a] = 51
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων, 31[b] = σ 341 32 cf. Χ 79
χεῖρας ἔχων Ἀχιλῆος· ὃ δ' ἔστενε κυδάλιμον κῆρ, 33[b] cf. Κ 16
σμερδαλέον δ' ᾤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι, 36 = Α 358
'κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφήγροντο, 37[a] cf. Ω 703

34 ἔδϝιε γὰρ μὴ λαιμὸν ἀπαμήσειε σιδήρῳ.

(ἔπ') ἂψ ἰέναι mss. pleraque, ἂψ ἐπὶ νῆας ἴμεν Ar. Aristoph. H (ut Φ 297), <αψ επι ν>ηας ιναι pap. 127. Cf. l. a. Φ 535.

15 ἦος § 323] ἕως mss.

19 ἣ] vid. ad Ρ 686. || ὤφειλε Nauck] ὤφελλε mss.; cf. § 273.

20 sq. νέκυος ... γυμνοῦ] *νέκυϊ ... γυμνῷ, vid. ad Ο 391.

25 νεκταρέῳ] feminei vestitus epitheton ratus (vid. Γ 385) vHerwerden coniecit νηγατέῳ. || ἀμφίζανε] comp. †. || τέφρη] nonnisi Ψ 251 redit.

26 μέγας μεγαλωστὶ] cf. Π 776.

29 ἀκηχεμέναι] forma suspecta, vid. § 240; coniecimus *ἀχεύουσαι. || μέγ' ἐϝίϝαχον PKnight] μεγάλ' ἴαχον mss.; vid. ad Α 482.

31 στήθε' ἐπεπλήγοντο] στήθεα πεπλ. mss. || γυῖα ϝεκάστης] φαίδιμα γυῖα Genev.

34] del. vHerwerden Naber Beloch cum propter subiectum bis moleste mutatum, tum propter *ferrei teli* mentionem; vid. ad Δ 123 Ψ 30 π 294 (= τ 13) τ 587. Nam etiamsi non de *gladio* sed de *cultro* poetam loqui existimes, at cultris quoque aeneis utuntur heroes (vid. Γ 292 Τ 266 μ 173). — In Iliade de morte voluntaria alias sermo non fit. || *ἔδϝιε] δείδιε mss.; cf. § 168. Redit vitium Ω 358. Vera lectio tralucet in Hesychii verbis corruptis „εἴδειεν, ἐφοβεῖτο". || ἀπαμήσειε Ar. Townl.] ἀποτμήξειε Zen. et mss. cett.; cf. Λ 146.

35 ᾤμωξεν] οἴμ. mss.

35[b] sq.[a]] imitatur Verg. Georg. IV 333 sq. *at mater sonitum thalamo sub fluminis alti | sensit.*

37 *ἀμφήγροντο] ἀμφαγέροντο mss.; cf. § 255.

38 πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηίδες εἰσίν. 38 cf. 49
τάων ἀργύφεον 'πλῆτο σπέος· αἳ δ' ἅμα πᾶσαι
στήθε' ἐπεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο· 51ª = 31
„κλῦτε, κασίγνηται Νηρηίδες, ὄφρ' ἐὺ πᾶσαι
Ϝείδετ' ἀκούουσαι ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δϜειλή, ὤ μοι δυσαριστοτόκεια, 54ª cf. ε 299
ἥ τ' ἐπεὶ ἂρ 'τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε, 55ᵇ = Δ 89
ἔξοχον ἡρώων, — ὃ δ' ἀνέδραμεν ἔρνεϊ Ϝῖσος, — 56-62 = 437 sqq.
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσι Ϝίλιον εἴσω
Τρωσὶ μαχεσσόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις 59ᵇ sq.ª = τ 257 sq. cf. Σ 89 sq.
Ϝοίκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο, 61ᵇ = δ 833 ξ 44 υ 207 cf. Ω 558
ἄχνυται, οὐδέ τί Ϝοι δύναμαι χραισμῆσαι ἰοῦσα. δ 540 κ 498
ἀλλ' εἶμ', ὄφρα Ϝίδωμι φίλον τέκος, ἠδ' ἐπακούσω

39 ἔνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε 39-49 cf. Hes. Theog. 243 sqq.
Νησαίη Σπεεώ τε Θόη θ' Ἀλίη τε βοῶπις
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυὴ
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα
Δωρὶς καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια
Νημερτής τε καὶ Ἀψευδὴς καὶ ΚαλλιϜάνασσα·
ἔνθα δ' ἔην Κλυμένη Ϝιάνειρά τε καὶ ΦιϜάνασσα,
Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμός τ' Ἀμάθεια
ἄλλαι θ' αἳ κατὰ βένθος ἁλὸς Νηρηίδες εἰσίν. 49 cf. 38

39—49 Zen. Ar. —, non legebantur in libro Argol.

38 Νηρηίδες] vid. ad Α 358. || εἰσίν Lehrs Arist.² p. 409] ἦσαν mss.; item vs. 49.

39 ἔην] ἔεν? vid. § 302.

39ᵇ sq.ª] imitatur Verg. Aen. V 826: *Nisaee Spioque Thaliaque Cymodoceque.*

40 Σπεεώ Nauck] Σπειώ mss.; cf. § 71. || θ' Ἀλίη] sic Ar., Θαλίη olim alii (sic in Hes. Theog. 245 mss.). || τε βοῶπις] τ' ἐρόεσσα Hes. l. l.; de epitheto vid. ad Γ 144.

42 Ἀμφιθόη] -θέη vHerwerden.

43 Πρωτώ] Πλωτώ Εὐρωτώ Ῥωτώ coniecerunt viri docti (item Hes. l. l.), sed vulgata satis defenditur *Protei* nomine notissimo.

45 ἀγακλειτὴ] εὐειδὴς metro invito Hes. Theog. 250.

47 ἔην] ἔεν? vid. § 302.

48 Ὠρείθυια] Ὀρείθυια videtur esse scribendum; cf. § 21. || Ἀμάθεια] Ἀμάθυια mss. pleraque; Eust. confert terminum vocis δυσαριστοτόκεια vs. 54.

49 εἰσίν Lehrs] ἦσαν mss.; videatur ad vs. 38.

50 τάων Fick] τῶν δὲ καὶ mss., cf. § 56.

51 στήθε' ἐπεπλ.] στήθεα πεπλ. mss.

53 ἔνι] ἐπὶ Aristoph.

54 δυσαριστοτόκεια] †, = ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα (schol.).

58 Ϝίλιον εἴσω] vid. ad Α 71.

59 μαχεσσόμενον § 291] μαχησόμενον mss.

63 ἴδωμι AD] ἴδωμαι vel ἴδοιμι mss. cett.; cf. § 112.

ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα.“
ὧς ἄρα φωνήσασα ’λίπε σπέος· αἳ δὲ σὺν αὐτῇ
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
’ρήγνυτο. ταὶ δ’ ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμειαὶ — 68^{a} cf. Ω 97
Μυρμιδόνων ’ϜέϜρυντο νέες ταχὺν ἀμφ’ Ἀχιλῆα. — 69^{b} cf. 354
τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη ’λάβε παιδὸς ἑϜοῖο,
καί Ϝ’ ὀλοφυρομένη Ϝέπεα πτερόεντα προσηύδα·
„τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος; — 73 $sq.^{a}$ = Α 362 sq.
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ’ ηὔχεο χεῖρας ἀνασχὼν,
πάντας ἐπὶ πρύμνῃσι Ϝαλήμεναι υἷας Ἀχαιῶν
σεῖ’ ἐπιδευομένους, παθέμεν τ’ ἀϜεκήλια Ϝέργα.“
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· — 78 = Α 364
„μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι ’Ολύμπιος ἐξετέλεσσε·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ’ ἑταῖρος, — 80^{a} cf. ω 95
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων ’τῖον ἑταίρων,
Ϝῖσον ἐμῇ κεφαλῇ· τὸν ἀπώλεσα, τεύχεα δ’ Ἕκτωρ
δῃώσας ἀπέδυσε πελώρια, θαῦμα Ϝιδέσθαι, — 83^{b} = Κ 439
καλά· τὰ μὲν Πηλῆι θεοὶ ’δόσαν ἀγλαὰ δῶρα, — 84^{b} = Π 381
ἤματι τῷ ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ. — 85^{b} cf. h. Ven. 200
αἴθ’ ὄφελες σὺ μὲν αὖθι μετ’ ἀθανάτῃσ’ ἁλίῃσι — 86^{b} cf. ω 47, 55
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
νῦν δ’ …, ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη

---

66 σφισι] σφι(ν) mss. nonnulla.

68 εἰσανέβαινον] -βησαν A. Loco par. Ω 97 Ar. legebat ἐξαναβᾶσαι, hic igitur ἐξανέβαινον eum legisse veri simile est. || ἐπισχερώ] cf. Λ 668.

69 ’ϜέϜρυντο § 293] εἴρυντο mss. Sed expectatur ’ϜεϜρύατο, ut Ξ 30 Ο 654, cf. § 119. Tentavimus *Μυρμιδόνων νῆες ’ϜεϜρύατο ἀμφ’ Ἀχιλῆα.

71 ἑϜοῖο] ἑῆος vel ἐῆος mss. pauca; vid. ad Α 393.

72 *Ϝ’] ῥ’ (om. Vrat.) mss.; cf. κ 418.

75 ὡς] ᾧ mss. nonnulla.

77 σεῖ’ § 92] σεῦ mss. || παθέμεν § 126] παθέειν mss. || ἀϜεκήλια] †; a voce ἔκηλος repetebat Ar., sed corruptum videtur pro ἀϜεικέλια (δ 244 alibi) vel ἀϜεικέα (Χ 395 Ψ 24 Ω 733 etc.). Fick αὐείκελα, at syllaba initialis in thesi produci nequit.

80 ἦδος] cf. § 41^{3}.

83 sqq.] vid. ad Π 134.

83 ἀπέδυσε] alii olim ἀπέλυσε (male).

86 αἴθ’] ὡς pap. 107 G H L Z Eust. (item apud Apoll. Synt. 249, ubi ipsum tamen Apollonium αἴθ’ scripsisse apparet).

87 ναίειν, Πηλεὺς δὲ θνητὴν] *ναιέμεναι, θνητὴν δὲ πατὴρ?

88 νῦν δ’] mente supplendum *sic in fatis fuit*; inutilis videtur coniectura Nauckii νῦν δέ κε. || εἴη] LaRoche ἤῃ (εἴῃ, vid. § 302).

παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις 89[b] sq.[a] cf. 59 sq.
ϝοίκαδε νοστήσαντ᾽· ἐπεὶ οὐδ᾽ ἐμὲ θυμὸς ἀνώγει
ζωέμεν᾽ οὐδ᾽ ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτον ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ, 92 cf. *Λ* 433
Πατρόκλου δὲ ϝέλωρα Μενοιτιάδα᾽ ἀποτίσῃ.“
τὸν δ᾽ αὖτε προσέϝειπε Θέτις κατὰ δάκρυ χέουσα· 94 cf. *Λ* 413
„ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ᾽ ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ᾽ Ἕκτορα πότμος ἑτοῖμος.“
τὴν δὲ μέγ᾽ ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 97 cf. *Π* 48 · 97[a] ≐ *Α* 517
„αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρα ᾽μέλλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὃ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ᾽, ἐμεῖο δ᾽ ἐδεύετ᾽ ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ᾽,… ἐπεὶ οὐ νέομαί γε φίλην εἰς πατρίδα γαῖαν, 101 = *Ψ* 150
οὐδέ τι Πατρόκλῳ ᾽γενόμην φάος οὐδ᾽ ἑτάροισι
τοῖσ᾽ ἄλλοισ᾽, οἳ δὴ πολέες ᾽δάμεν Ἕκτορι δίῳ,
ἀλλ᾽ ἧμαι παρὰ νηυσὶν, ἐτώσιον ἄχθος ἀρούρης, 104[b] cf. *υ* 379
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι, 108 cf. *ξ* 464
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠύτε καπνός·
ὡς ἐμὲ νῦν ἐχόλωσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 112 sq. = *Τ* 65 sq. · 112[a] = *Π* 60 · 112[b] = *Τ* 8 *Ω* 523 *π* 147
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.

---

90 *ἀνώγει*] *ἄνωγε* mss. multa, cf. § 225.
91 *ζωέμεν᾽* § 125] *ζώειν* mss.
92 *πρῶτον* vHerwerden] *πρῶτος* mss.; vid. *Ἠ* 158 *Ω* 27 etc. || *τυπεὶς*] *δαμεὶς* L fortasse recte.
93 *Πατρόκλου δὲ* Heyne] *-κλοιο δ᾽* mss.; an **ὀλέσσας* | *Πατρόκλοιο ϝέλωρα*? || *Μενοιτιάδα᾽* § 55] *-δαο* mss. nonnulla, *-δεω* pleraque.
94 *αὖτε προσέϝειπε*] l. a. *ἠμείβετ᾽ ἔπειτα.*
95 *οἷ᾽ ἀγορεύεις*] redit locutio *δ* 611 *ρ* 479 *σ* 338, 389 *τ* 255.
97] apud Aeschin. I 150 sic affertur: *τὴν δ᾽ αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς.*
98 *ἄρα ᾽μέλλον*] *ἄρ᾽ ἔμελλον* mss. (vid. § 3). Sed gravius corruptus est locus, nam post *ἔμελλον* requiritur *futurum* (vid. § 107); vHerwerden *ἄρα μ᾽ ἦεν* coniecit.
99 *ὃ — πάτρης*] *ὅ μοι πολὺ φίλτατος ἔσκεν* omisso versu sequenti Aeschin. l. l.
100 *δ᾽ ἐδεύετ᾽* Duentzer] *δὲ δῆσεν* Ar. mss. aperto errore; *ἐμεῦ δὲ δέησεν* Grashof, at vid. § 92, ipsum autem activum vitiosum. Acquievimus in Duentzeri coniectura, sed fortasse gravior subest corruptela. || *ἀρῆς*] sic Zen., cf. *Ξ* 485; *Ἄρεω* Ar., item vs. 213.
101 *νῦν δ᾽*] pergit sententia vs. 114.
104 *νηυσὶν, ἐτώσιον*] *νηυσὶ κορωνίσιν* Plat. Apol. p. 28*d*.
105 *οἷος*] cf. § 17.
109 *καταλειβομένοιο*] comp. †.

νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχήω
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ — 115 cf. X 365
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι. — 116 = X 366
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλέεος 'φύγε κῆρα,
ὅς περ φίλτατος ἦσκε Διὶ Κρονίωνι ϝάνακτι·
ἀλλά ϝε μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ', ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην, — 121b cf. E 3
καί τινα Τρωιάδων καὶ Δαρδανίδων βαθυκόλπων
χείρεσσ' ἀμφοτέρῃσι παρειάων ἁπαλάων — 123a cf. M 382
δάκρυ' ὀμορξαμένην ἀδινὸν στοναχῆσαι ἐφείην· — 124a cf. ϑ 88 λ 530
γνοῖεν δ' ὡς δὴ δϝηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης φιλέουσά περ· οὐδέ με πείσεις." — 126b = Z 360
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα· — 127 = T 28 cf. Ω 89
„ναὶ δὴ τοῦτό γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστι
τειρομένοισ' ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον. — 129a = P 703
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
χάλκεα μαρμαίροντα· τὰ μὲν κόρυθ' αἰόλος Ἕκτωρ — 131a = Π 664
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ϝέ φημι — 132a = P 473
δϝηρὸν ἐπαγλαΐσεσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδηαι· — 135 cf. 190
ἠῶθεν γὰρ νίσσομ', ἅμ' ἠελίῳ ἀνιόντι, — 136b = ψ 362 cf. μ 429
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ϝάνακτος." — 137 cf. 617

---

114 ὀλετῆρα] †. ‖ κιχήω § 122] κιχείω mss.
117 Ἡρακλέεος § 73] κλῆος mss.
118 ὅς] vid. ad Λ 690. ‖ ἦσκε] ἔσκε mss.
119 μοῖρ' ἐδάμασσε] μοῖρα δ. mss. nonnulla.
120 εἰ δή] vid. ad Α 61.
122 βαθυκόλπων] mulierum Troianarum epitheton redit Σ 339 Ω 215, vid. etiam ad B 484.
123 *χείρεσσ' ἀμφοτέρῃσι] ἀμφοτέρῃσιν χερσὶ mss., item δ 116. Cf. M 382; Fick ἀμφοτέρῃσι χέρεσσι, sed χέρεσσι in Homericis non extat.
124 δάκρυ'] δάκρυ mss. multa; vid. ad β 81. ‖ ἀδινὸν] sic Ar., -νὰ pap. 107 A^2 Townl. et olim alii. Singularis etiam δ 721 κ 413, pluralis Ψ 225 Ω 123 η 274 ω 317 adverbii vice fungitur. Cf. praeterea T 314 π 216. ‖ στοναχῆσαι] simplex † (ἐπιστ. Ω 79).
127 θεὰ Θέτις ἀργυρόπεζα] Θέτις κατὰ δάκρυ χέουσα pap. 107.
128 τοῦτο DZ et l. a. apud Eust.] ταῦτα mss. cett.; Ahrens ταῦτα ... ἐτήτυμα.
133 ἐπαγλαΐσεσθαι § 147 et 210] -ιεῖσθαι mss. — Comp. †, simplex K 331; cf. ἐπαγάλλομαι Π 91. ‖ φόνος] μόρος Nauck.
134 μὴ ... καταδύσεο] cf. Δ 410.
136 νίσσομ' Menrad] νεῦμαι mss.; cf. § 292. Correctionem tuetur versus Ψ 76. Nauck νέομαι γάρ, sed voculae γάρ tertius locus nonnisi post μέν, περ, τε (Α 700 post praepositionem) tribuitur; itaque si quis hanc coniecturam probet, praeterea interpunctionis signum post ἠῶθεν ponat et post ϝίδηαι deleat.

ὣς ἄρα φωνήσασα πάλιν ’τράπεθ’ υἷος ἑϜοῖο, 138ª cf. Φ 468
καὶ στρεφθεῖσ’ ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
„ὕμες μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον 140ᵇ = δ 435
ὀψόμεναί τε γέρονθ’ ἅλιον καὶ δώματα πατρὸς,
καί Ϝοι πάντ’ ἀγορεύσατ’· ἐγὼ δ’ εἰς μακρὸν Ὄλυμπον
εἶμι παρ’ Ἥφαιστον κλυτοτέχνην, αἴ κ’ ἐθέλῃσι
υἷἐ’ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανάοντα.“
ὣς ἔφαθ’, αἳ δ’ ὑπὸ κῦμα θαλάσσης αὐτίκ’ ἔδυσαν·
ἣ δ’ αὖτ’ Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
ἤιεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε’ ἐνείκαι.
τὴν μὲν ἄρ’ Οὔλυμπόνδε πόδες ’φέρον· αὐτὰρ Ἀχαιοὶ 148 cf. Ο 405
θεσπεσίῳ ἀλαλητῷ ὑφ’ Ἕκτορος ἀνδροφόνοιο
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο. 150 cf. Ο 233

οὐδέ κε Πάτροκλόν περ ἐυκνήμιδες Ἀχαιοὶ
ἐκ βελέων ’Ϝερύσαντο νέκυν, θεράποντ’ Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε ’κίχεν λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάις, φλογὶ Ϝείκελος ἀλκήν. 154ᵇ cf. Ν 330
τρὶς μέν μιν μετόπισθε ποδῶν ’λάβε φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μεμαὼς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
τρὶς δὲ δύ’ Αἴαντες, θοῦριν ἐπιϜειμένοι ἀλκὴν, 157ᵇ = Η 164
νεκροῦ ἀπεστυφέλιξαν· ὃ δ’ ἔμπεδον, ἀλκὶ πεποιθὼς,
ἄλλοτ’ ἐπηίξασκε κατὰ μόθον, ἄλλοτε δ’ αὖτε 159 cf. Ω 10
’στάσκε μέγα ϜιϜάχων· ὀπίσω δ’ οὐ ’χάζετο πάμπαν.
ὡς δ’ ἀπὸ σώματος οὔ τι λέοντ’ αἴθωνα δύνανται
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,

---

138 *πάλιν ... υἷος*] *πάλιν* c. gen. (abl.) redit Υ 439 η 143, cf. Φ 593 sq. || *ἑϜοῖο*] *ἑῆος* vel *ἐῆος* mss. complura; vid. ad Α 393.

140 *ὕμες* § 92] *ὑμεῖς* mss.

142 *ἀγορεύσατ’*] *ἀγορεῦσαι* Zen., fortasse recte.

144 *υἷἐ’*] *υἷι* H non male, *υἱεῖ* mss. cett.; vid. § 78 et ad vs. 458. Nauck *υἱέι μοι*, praeter necessitatem. || *παμφανάοντα* § 191] *-νόωντα* mss.

146 *δ’ αὖτ’*] *μὲν ἄρ’* Syr.

149 *ἀλαλητῷ*] vid. ad Β 149.

151 *οὐδέ κε*] l. a. *οὐδ’ ἄρα*. — Protasis vs. 166 demum sequitur.

152 *νέκυν*] expectatur *νεκρόν*, nam vere Ar. ad Ρ 240 Ω 108 observavit *νέκυν* substantivum esse (*corpus*) genitivum adsciscens, *νεκρόν* vero adiectivum (*mortuum*), coll. μ 10. Eadem est difficultas Χ 387.

153 *’κίχεν* § 208] *κίχον* mss.

154 *φλογὶ*] *συῒ* Zen.

155 sq.] *ὅς μιν τρὶς μετόπισθε ποδῶν λάβε καὶ μέγ’ ἀύτει, | ἑλκέμεναι μεμαὼς, κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει | πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ’ ἁπαλῆς ἀπὸ δειρῆς* Zen.; cf. vs. 176 sq.

155 *ποδῶν*] *ποδὸς* D.

157 *δύ’*] *μιν* Bentley. || *Αἴαντες*] *-ντε* D H Lips

159 *ἐπηΐξασκε*] *ἐπαΐξ.* mss.

160 *ϜιϜάχων*] *ἀχέων* Zen. vitio manifesto.

162 *πεινάοντα*] cf. § 190.

ὣς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ 163 cf. Ν 201
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δεδϜίξασθαι.
καί νύ κέ Ϝ' εἴρυσσέν τε καὶ ἄσπετον ἤρετο κῦδος, 165 = Γ 373
εἰ μὴ Πηλεΐωνι ποδήνεμος ὠκέα Ϝῖρις
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι, 167 = Λ 715
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἄγχι δέ Ϝ' ἱσταμένη Ϝέπεα πτερόεντα προσηύδα· 169 = Δ 92
„ὄρσεο, Πηλεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν· 170ᵇ = Α 146
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν. οἳ δ' ἀλλήλους ὀλέκουσι,
οἳ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
οἳ δὲ Ϝερύσσασθαι ποτὶ Ϝίλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ Ϝε θυμὸς ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω
Πάτροκλον Τρωίῃσι κυσὶν μέλπηθρα γενέσθαι· 179 = Ρ 255
σοὶ λώβη, αἴ κέν τι νέκυς ᾐσχυμμένος ἔλθῃ.“
τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
„Ϝῖρι θεά, τίς τ' ἄρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;“
τὸν δ' αὖτε προσέϜειπε ποδήνεμος ὠκέα Ϝῖρις·
„Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις· 184ᵇ cf. λ 580

176 sq. („immo 175—177" Christ) Zen. om.

164 ἀπὸ νεκροῦ] ἀπὸ νεκρόο? cf. § 59. An *νεκροῖ' ἄπο?

165 *κέ Ϝ'] κεν mss. || εἴρυσσέν τε] vid. ad Γ 373. || ἤρετο § 284] ἤρατο mss.

167 Ὀλύμπου] -οο? cf. § 59. || θωρήσσεσθαι] coll. vs. 134 et 189 Bekker interpretatur καταδῦναι μῶλον Ἄρηος, satis contorte; Friedlaender suspicatur verbum ex Λ 715 huc irrepsisse, ubi vid.

168] del. Hoffmann, item vs. 182-187. || κρύβδα] † (vid. tamen h. Cer. 241), alias κρύβδην (λ 455 π 153).

169 *ἄγχι δέ Ϝ'(οι) § 318] ἀγχοῦ δ' mss.

171 Πατρόκλῳ] -κλου Ar. coll. Π 522, vix recte, vid. Ζ 362 Θ 414 Μ 369 Ν 465 Ξ 357 Σ 99.

173 τεθνηῶτος § 160] -ειῶτος mss. multa.

174 ποτὶ] προτὶ mss. multa. || ἠνεμόεσσαν] αἰπὺ θέλοντες Zen.; vid. Ο 71. De syllaba ἠ- vid. § 21.

175 ἐπιθύουσι] vid. ad π 297.

176 sq.] Zen. post vs. 155 collocabat.

176 δέ] τέ Syr. A. || ἀνώγει § 225] ἄνωγε(ν) mss. pleraque.

177 σκολόπεσσι] muri Troiani? Vid. η 45.

178 μηδ' ἔτι] μηκέτι Apoll. de coni. 500 et Apoll. lex.

179 Τρωίῃσι] cf. § 17. || μέλπηθρα] vid. Ν 233.

180 ἔλθῃ] Duentzer εἴη, Doederlein νέκυς pro accusativo plur. habens vulgatam nimis acute interpretatur *tibi dedecori erit si Patroclus specie deformatus ad manes pervenerit.*

182 τ' ἄρ Z Cant., sic (τάρ) Ar. in altera ed.] γάρ mss. cett.; cf. Α 8 Σ 188 γ 22 ο 509.

185 οὐ ϝοῖδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.“
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχεα κεῖνοι·
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴαε θωρήσσεσθαι,
190 πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσι ϝίδωμαι· — 190 cf. 135
191 'στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν' ἔντεα καλά.“
196 τὸν δ' αὖτε προσέϝειπε ποδήνεμος ὠκέα ϝῖρις·
„εὖ νυ καὶ ἧμες ϝίδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται· — 197a = Θ 32, 463
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
199 αἴ κέ σ' ὑποδϝείσαντες ἀπόσχωνται πολέμοιο.“ — 199b = Λ 799
202 ἣ μὲν ἄρ' ὣς ϝειποῦσ' ἀπέβη πόδας ὠκέα ϝῖρις, — 202 = Θ 425
αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διὶ φίλος· ἀμφὶ δ' Ἀθήνη
ὤμοισ' ἰφθίμοισι 'βάλ' αἰγίδα θυσανόεσσαν, — 204b cf. Ε 738
205 ἀμφὶ δέ ϝοι κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ 'δαῖε φλόγα παμφανάουσαν.
ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται, — 207 cf. Φ 522

---

192 ἄλλου δ' οὔ τευ ϝοῖδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
195 ἔγχεϊ δηιόων περὶ Πατρόκλοιο θανόντος.
200 Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν — 200 sq. = Λ 800 sq.
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.

---

185 οὐ Heyne] οὔτ' Syr., οὐδ' mss. cett. || οὐδέ] οὔτε Syr.

188 τ' ἄρ'] γὰρ H; cf. vs. 182. || τεύχεα κεῖνοι § 97] τεύχε' ἐκεῖνοι mss.

189 εἴαε § 191] εἴα mss.

190 ϝίδωμαι] vid. ad Α 158.

191] deest iusta caesura; cf. Α 53.

192-195] del. PKnight, Duentzer etiam vs. 191.

192] novicia τευ, τεῦ (§ 99), ἂν (§ 326). Pro τευ G Z Cant. habent θην, pro τευ in L extat τοῦ; si genuinum esset, τεο esset scribendum, sed interrogativum τεῦ pro relativo monstri instar est et praeterea totus versus obscurus. Tentavimus *ἄλλον δ' οὔ τινα ϝοῖδα ὅο κλυτὰ τεύχεα δύω.

193 μὴ Αἴαντος] hiatus illegitimus, vid. § 14.

194 ὅ γ', ἔλπομ'] ὅ, ϝέλπομ' Bentley. || πρώτοισιν] Τρώεσσιν A C Townl. Mosc.

197 ἧμες § 92] ἡμεῖς mss. || ὅ τοι] ὅτι C G et l. a. apud Eust. || κλυτὰ] alii olim καλὰ metro invito.

198 αὔτως] αὐτὸς Zen. Aristoph. L Lips.

200 sq.] om. Syr., vs. 201 mss. complura.

203 ἀμφὶ δ'] αὐτὰρ Syr. H Vrat.

204 θυσανόεσσαν] θυσσ. mss. multa; vid. § 21 et ad Β 448.

205 sqq.] cf. Ε 4.

206 παμφανάουσαν § 191] -νόωσαν mss.

207 πῦρ ἐπὶ πόντον ἀριπρεπὲς Ar.] καπνὸς ἰὼν ἐξ ἄστεος mss. (cf. Φ 522). E Dionysii Thracis auctoritate Didymus refert Aristarchum prius (in commentariis?) secutum esse vulgatam, postea (in editionibus, certe in posteriore) exhibuisse lectionem meliorem, quacum cf. Τ 375 sq., micantis galeae fulgorem cum fumo comparari posse iure negantem. Non de coniectura autem sed librorum auctoritate fretum Aristarchum ita versum mutasse probabiliter statuit Ludwich Arist. II p. 93 (cf. Ζ 4 Ι 458-461).

τηλόθεν ἐκ νήσου, τὴν δήιοι ἀμφιμάχωνται· —
οἳ δὲ πανημέριοι στυγερῷ κρίνονται Ἄρηι 209 cf. Β 385
Ϝάστεος ἒκ σφετέροι'· ἅμα δ' ἠελίῳ καταδύντι 210ᵇ = Α 592
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀίσσουσα, περικτιόνεσσι Ϝιδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται· —
ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε. 214 cf. Τ 379
'στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐς Ἀχαιοὺς
'μίσγετο, μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤυσ', ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη 217ᵃ cf. Ε 784
'φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν. 218 cf. Κ 523
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε 'ϜίϜαχε σάλπιγξ
Ϝάστυ περιπλομένων δηίων ὕπο θυμορραιστέων, 220ᵇ = Π 591
ὣς τότ' ἀριζήλη φωνὴ 'γένετ' Αἰακίδαο.
οἳ δ' ὡς οὖν ἄιον Ϝόπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι 223ᵃ = Ε 29
ἂψ ὄχε' ἐτρόπαον· ὤσσοντο γὰρ ἄλγεα θυμῷ. 224ᵇ cf. σ 154
ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ 'Ϝίδον ἀκάματον πῦρ
δϜεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλεΐωνος
δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μέγ' ἐϜίϜαχε δῖος Ἀχιλλεύς,
τρὶς δ' ἐκυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι. 229ᵇ cf. Ζ 227
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι

---

208 ἀμφιμάχωνται] sic GHermann, -ονται mss. multa.

209 δὲ Heyne] τε mss. || κρίνονται] κρίνωνται mss. complura.

210 Ϝάστεος ἒκ σφετέροι' § 59] ἄστεος ἐκ σφετέρου mss., ἄστυ ποτὶ σφέτερον Zen. vitiose, vid. § 95 et ad Ι 327. Uni eidemque errori debentur τε, κρίνωνται, ποτί.

211 πυρσοί] †. Notabilis est antiquissima haec φρυκτωρίας mentio, de qua vid. Aesch. Ag. 30, 292 sqq., Herod. VII 182 IX 3, Thuc. II 94 § 1 III 22 § 7 sq., 80 § 2, Polyb. X 38-44. || ἐπήτριμοι] *densi?* an *ordinatim?* Vox incertae originis redit Σ 552 Τ 226.

213 ἀρῆς Heyne] Ἄρεω Ar., Ἄρεως vel Ἄρεος mss.; cf. Ξ 485 Σ 100.

219 ἀριζήλη φωνή] -λη φωνῇ D. De adiectivo ἀρίζηλος vid. ad Ν 244. || ὅτε Bentley] ὅτε τ' mss. || σάλπιγξ] †, sed cf. σαλπίζω Φ 388. Tuba ab heroum arte bellica est aliena. Cum haec comparatio tum praecedens postmodo inserta esse videtur, certe non eidem poetae debentur ambae.

220 δηίων] cf. § 17. || θυμορραιστέων] θυμοραϊστέων mss.; vid. ad Ν 544. De termino novicio -έων vid. § 56.

221 ἀριζήλη] vid. ad Ν 244.

222 χάλκεον] masculina forma suspecta (cf. § 53). Zen. χαλκέην, at vid. § 61. Coniecimus *χαλκείην Ἀχιλῆος, vocem Αἰακίδαο e vs. praecedenti huc irrepsisse rati.

224 ὄχε' ἐτρόπαον] ὄχεα τρόπεον mss.; de termino -αον vid. § 251. || ὤσσοντο] ὄσσοντο mss.

228 μέγ' ἐϜίϜαχε PKnight] μεγάλ' ἴαχε mss.

230 καὶ τότ'...φῶτες] κοῦροι... πάντες Zen. non male.

ἀμφὶ σφοῖσ' ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων Ϝερύσαντες
κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι 233^{a} cf. ω 44
μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἶπετ' Ἀχιλλεὺς 233^{b} = Ψ 695; 234^{a} = Ψ 14
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσϜιδε πιστὸν ἑταῖρον 235^{a} = Π 3
κείμενον ἐν φέρτρῳ, δεδαϊγμένον ὀξέι χαλκῷ. 236^{b} = Τ 283, 292 cf. Τ 211 Χ 72
τόν ῥ' ἦ τοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφι
εἰς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
'πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀϜέκοντα νέεσθαι·   240 cf. Φ 48
ἠέλιος μὲν ἔδυ, 'παύσαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδος κρατερῆς καὶ ὁμοιίοο πτολέμοιο. 242^{b} = Ν 358

Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης
χωρήσαντες ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
εἰς δ' ἀγορὴν ἤγροντο, πάρος δόρποιο μέδεσθαι.
ὀρθῶν δ' ἑσταότων ἀγορὴ 'γένετ', οὐδέ τις ἔτλη
ἑζέσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς 247^{b} sq. = Τ 45 sq. Υ 42 sq.
ἐξεφάνη, δϜηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τοῖσι δὲ Πολυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν   [461; 249 cf. Η 347 χ
Πανθοΐδης· ὃ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω.   250 cf. ω 452
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νύκτ' ἐγένοντο·
ἀλλ' ὃ μὲν ἂρ μύθοισιν, ὃ δ' ἔγχεϊ πολλὸν ἐνίκα.
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέϜειπε·
„ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ γε
Ϝάστυδε νῦν ἴμεναι, μὴ μιμνέμεν' ἠόα δῖαν

---

231 ἀμφὶ σφοῖσ' ὀχέεσσι] οἷσιν ἐν<ὶ> βελέεσσι Zen.; neque οἷσιν recte dictum esse neque βελέεσσι καὶ ἔγχεσιν vidit Ar. Pro ὀχέεσσι alii olim legebant ξιφέεσσι.

232 ἀσπασίως] ἀσπάσιοι Cobet; videatur ad vs. 270. || Ϝερύσαντες] ἐρύσαντο coniecit Duentzer, deletis vs. 233-240 propter vs. 314 sqq.

236 φέρτρῳ] †.

239 δ' ἀκάμαντα] l. a. μὲν ἔπειτα.

240 'πέμψεν] πέμπεν A Harl.

242 ὁμοιίοο § 59] -ίου mss. De adi. vid. ad Δ 315. || πτολέμοιο] πολ. mss. complura.

243 ἀπὸ κρατερῆς ὑσμίνης] l. a. ἐπὶ θρωσμῷ πεδίοιο (cf. Δ 56).

245 *ἤγροντο] ἀγέροντο mss., cf. § 255. || μέδεσθαι] de inf. vid. ad Α 99.

247 ἔχε] ἕλε A^2 H Vrat. (Zen.?), cf. Τ 14. || τρόμος] φόβος Zen. male, item Τ 14, vid. etiam ad Δ 402.

249 Πολυδάμας § 21] Πουλ. mss.

251 νύκτ' ἐγένοντο] νυκτὶ γέν. mss.

252 πολλὸν] πάντας Nauck.

253 ὅ] ὅς Syr. G L.

255 ἴμεναι § 125] ἰέναι mss. || μιμνέμεν' § 125] μίμνειν mss. || ἠόα § 2 et 77] ἠῶ mss.

ἐν πεδίῳ παρὰ νηυσί· Ϝεκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι 'μήνιε δίῳ,
τόφρα δὲ ῥηίτεροι πολεμιζέμεν' ἦσαν Ἀχαιοί·
'χαίρεσκον γὰρ ἐγώ γε θοῇσ' ἐπὶ νηυσὶν ἰαύων,
Ϝελπόμενος νῆας αἱρησέμεν' ἀμφιϜελίσσας.
νῦν δ' αἰνῶς δέδϜοικα ποδώκεα Πηλεΐωνα·
οἷος κείνοο θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει 262ª = ο 212 cf.
μιμνέμεν' ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ Ο 94
ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχεσσόμεθ' ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ Ϝάστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται."

νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλεΐωνα
ἀμβροσίη· εἰ δ' ἦμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται· ἀσπάσιος γὰρ ἀφίξεται Ἴλιον ἱρὴν
ὅς κε φύγῃ, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται 271ᵇ cf. Χ 42
Τρώων. αἶ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο. 272 cf. Χ 454
εἰ δέ κ' ἐμοῖσι Ϝέπεσσι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν ἐν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῇσ' ἀραρυῖαι
μακραὶ ἐύξεστοι ἐζευγμέναι εἰρύσονται.
πρῶι δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντες 277 = Θ 530
στησόμεθ' ἂμ πύργους. τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλησι 278ᵇsq.ª cf. vs. 306
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἦμι μάχεσθαι·
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθήμεν' ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.

258 *ῥηίτεροι πολεμιζέμεν'*] cf. *Ω* 243. || *πολεμιζέμεν* Vat.] -*ζειν* mss. cett.; cf. § 125.

260 *νῆας*] *νῆάς γ'* G Eust.

262 *κείνοο* § 59] *κείνου* Ar. (cf. *Ο* 94)? sic aut *ἐκείνου* mss.; vid. § 97.

263 *μιμνέμεν'* § 125] *μίμνειν* mss.

265 *περὶ*] cf. *Μ* 142, 170, 243 *Ρ* 182 etc. || **μαχεσσόμεθ'*] *μαχήσεται* mss., -*έσσεται* olim alii (vid. § 291). Versum de *obsidente* dici non potuisse intellegens Heyne delebat coll. *Ι* 327, ubi vid.; cf. etiam *λ* 403.

266 *μοι*] *δέ μ'* L. || *ὧδε γὰρ ἔσται*] *ὣς γὰρ ἄμεινον* l. a. in L.

267-283] del. Heyne.

268 *ἦμε* § 92] *ἄμμε* mss. — De pluribus *ἄμμε* (*ἦμε*) non recte dicitur; corrigi posset *εἰ δ' ἔνθα κιχήσεται ἧμας ἐόντας*, nisi spurium esse locum e pluribus indiciis colligeretur, vid. ad vs. 270, 274, 276, 278, 282.

270 *ἀσπάσιος* Cobet] *ἀσπασίως* mss. Cf. *Θ* 488 *Κ* 35 *Φ* 607 *ε* 394, 397 *ψ* 233, 238, 296. Redit error *δ* 523 *ϑ* 450 *ξ* 502; sed *Η* 118 *Λ* 327 *Σ* 232 *Τ* 72 *κ* 131 *ν* 33, 333 toleravimus adverbium. || *Ἴλιον*] neglecto Ϝ.

273 *δέ κ'* § 326] *δ' ἂν* mss. || *ἐμοῖσι Ϝέπεσσι*] *ἐμοῖς ἐπέεσσι* mss.; cf. § 60. || *πιθώμεθα*] -*οίμεθα* Harl. et l. a. in schol.

274 *ἐν* § 315] *εἰν* mss. || *σθένος ἕξομεν*] verba obscura. || *ἄστυ*] neglecto Ϝ; Bentley *ἕξετε, Ϝάστυ*, sed vid. ad vs. 268.

275 *τ'*] *δ'* Syr.

276 *εἰρύσονται* § 164] -*σσονται* mss. pleraque.

279 *ἦμι* § 92] *ἄμμι* mss.

282 *ἐφορμηθήμεν'* § 125] -*θῆναι* mss. || *ἐάσει*] **ἀνήσει*? vid. ad *Π* 691. Heyne: „debebat esse *ἐφήσει ἐνήσει*".

τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 284 sq. = M 230 sq.
„Πολυδάμαν, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,
ὃς κέλεαι κατὰ ϝάστυ ϝαλήμεναι αὖτις ἰόντας.
ἦ οὔ πω κεκόρησθε ϝεϝελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες ἐμυθέσκοντο πολύχρυσον πολύχαλκον· 289b cf. K 315
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ καὶ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν 291 cf. Γ 401
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου πάις ἀγκυλόμητις
κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ καὶ ἀμφ' ἅλα ϝέλσαι Ἀχαιούς, 294b = A 409
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ.
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω. 296b cf. P 449
ἀλλ' ἄγεθ', ὥς κεν ἐγὼ ϝείπω, πειθώμεθα πάντες. 297 = B 139
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσι, 298 cf. H 380; 298a = H 370
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ϝέκαστος· 299 = H 371
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζῃ,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν' ἤ περ Ἀχαιούς.
πρῶι δ' ὑπηόιοι σὺν τεύχεσι θωρηχθέντες 303 sq. = Θ 530 sq.
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
ἄλγιον, αἴ κ' ἔλθῃσι, τῷ ἔσσεται. οὔ μιν ἐγώ γε 306 cf. 278b sq.a
φεύξομαι ἐκ πολέμου δυσϝηχέος, ἀλλὰ μάλ' ἄντην 307 cf. A 590
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος ἤ κε φεροίμην. 308 cf. N 486

---

285 Πολυδάμαν § 21] Πουλυδάμαν Zen. (cf. M 231)? Πουλυδάμα Ar. mss.; vid. ad A 86.

287] imitatur Verg. Aen. IX 598. || κεκόρησθε] -σθον Zen. noto errore.

288 sqq.] cf. I 402 sq.

288 μέροπες ἄνθρωποι] nominativus non redit, durus autem est versus exitus.

289 ἐμυθέσκοντο] μυθ. mss. Hoc uno loco μυθέομαι duplicem acc. adsciscit; vid. ad Φ 462.

291 καὶ Φρυγίην Syr.] δὴ Φρ. mss. cett., quod e vs. praecedenti videtur irrepsisse.

293 ἀγκυλόμητις Nauck] -μήτεω mss.; cf. § 55.

294 καὶ ἀμφ' ἅλα Heyne coll. A 409] θαλάσσῃ τ' mss.

297 ὥς κεν § 326] ὡς ἂν mss.

299 ἐγρήγορθε] vid. ad H 371.

300 ἀνιάζῃ vHerwerden] -ζει mss.

301 καταδημοβορῆσαι] †, cf. δημοβόρος A 231.

306 κ' ἔλθῃσι vHerwerden] κ' ἐθέλῃσι vel κε θέλῃσι mss., Christ κε μένῃσι.

307 πολέμου L Eust.] -μοιο mss. cett.

308 φέρῃσι] φέροιτο Syr. Verba corrupta; subiunctivum requiri observarunt Cobet et Naber (vid. e. g. I 619). Non tamen φέρῃσι... φέρωμι verum esse potest, nam activum neque alibi ita usurpatur neque versu parallelo. Poeta videtur dedisse *ἤ κε φέρωμαι ἐγὼ κράτος ἤ κε φέρηται aut *ἤ κε φέρηται ὅ γε κράτος ἤ κε φέρωμαι. || κράτος ἤ κε] κράτος ἠὲ Vrat.

ξυνὸς Ἐνυάλιος, καί τε κτενέοντα κατέκτα."
ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες 'κελάδησαν 310 = Θ 542
νήπιοι· ἐκ γάρ σφι φρένας εἵλετο Παλλὰς Ἀθήνη. 311 cf. Ζ 234
Ἕκτορι μὲν γὰρ ἐπήνεσσαν κακὰ μητιάοντι,
Πολυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐσθλὴν 'φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν. 314 cf. Η 380

αὐτὰρ Ἀχαιοὶ
παννύχιοι Πάτροκλον ἀνεστέναχον γοάοντες. 315 cf. 355
τοῖσι δὲ Πηλεΐδης ἁδινοῖ' ἐξῆρχε γόοιο, 315[b] cf. ι 467 316 sq. = Ψ 17 sq.
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσφιν ἑταίρου, 316 cf. Χ 430 Ω 747
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠυγένειος, 318[a] cf. Φ 417
ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ 318[b] = Ρ 109
ὕλης ἐκ πυκινῆς· ὃ δέ τ' ἄχνυται ὕστερος ἐλθών,
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνε' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
ὣς ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσι·
„ὢ πόποι, ἦ ῥ' ἅλιον Ϝέπος ἔκβαλον ἤματι κείνῳ,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
'φῆν δέ Ϝοι εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ϝίλιον ἐκπέρσαντα, λαχόντα τε ληίδος αἶσαν. 327[b] cf. ε 40 ν 138
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύσειν
αὐτόθ' ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα

309 κτενέοντα Cobet] κτανέοντα mss., vid. § 269 et ad Ζ 409.

311 *σφι] σφεων mss. Locis simillimis Ι 377 Τ 137 genitivum non admittit metrum. || εἵλετο Παλλὰς Ἀθήνη] ἐξέλετο Ζεὺς Syr. (cf. Ζ 234 Τ 137).

312 ἐπήνεσσαν L] -νεσαν Lips., -νησαν mss. cett.; cf. § 295. || μητιάοντι § 191] -όωντι mss.

313 Πολυδάμαντι § 21] Πουλ. mss. || τις] τι Epaphroditus grammaticus.

315 ἀνεστέναχον γοάοντες] -χοντο γοῶντες mss. Vitium redit ι 467, emendavit Fick ad Σ 355; cf. Ψ 211.

316 ἁδινοῖ' § 59] -νοῦ mss.

317 ἀνδροφόνους] l. a. -νου ab Ar. reiecta, item Ψ 18. Similis verborum est ordo Ε 219, cum sententia cf. Ω 478 sq. || στήθεσφιν] -σσιν mss.; vid. ad Μ 401.

318 sqq.] *leaenae* potius quam leonis in hac imagine expectaveris mentionem, sed vid. ad Ρ 134.

318 πυκνὰ] πολλὰ Syr.

319 σκύμνους] †. || ἐλαφηβόλος] nonnisi h. XXVI 2 redit.

321 *ἴχνε'] ἴχνι' mss.; vid. ad Ν 71. In scholio V leguntur verba corrupta Ἀρίσταρχος γὰρ ἰχνεύ ει, quae correxit Ludwich ἄριστα γὰρ ἰχνεύει.

322 ἐξεύροι] comp. †.

323 μετεφώνεε] -νει A C; cf. § 191.

329 ὁμοίην] pro ὁμὴν †. || ἐρεύσειν Harl.] ἐρεύθειν Aeschin. I § 144, ἐρεῦσαι mss. cett.; aoristum defendit vHerwerden, pro dativo habens ἄμφω coll. h. Cer. 15 et Γ 211, ubi vid. — De verbo cf. Δ 394.

330 αὐτόθ' § 322] αὐτοῦ mss.

δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτόθι γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σέ' ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτερίσω, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλὴν μεγαθύμου, σοῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω — 336 cf. Ψ 22
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς. — 337 = Ψ 23
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,
ἀμφὶ δὲ σὲ Τρῳιαὶ καὶ Δαρδανίδες βαθύκολποι
κλαύσονται νύκτας τε καὶ ἤματα δάκρυ χέουσαι, — 340 cf. Ω 745 λ 183 ν 338
τὰς αὐτώ γ' ἀρόμεσθα βίηφί τε δουρί τε μακρῷ,
πιείρας πέρθοντε πόλις μερόπων ἀνθρώπων."
ὣς ϝειπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα — 344 cf. X 443 Ψ 40 [ϑ 434
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα. — 345 cf. Ψ 41
οἳ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ, — 346 sq. cf. ϑ 435 sq.
ἐν δ' ἄρ' ὕδωρ ἔχεον, ὑπὸ δὲ ξύλα 'δαῖον ἑλόντες·
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, 'θέρμετο δ' ὕδωρ. — 348 = ϑ 437
αὐτὰρ ἐπεὶ δὴ 'ζέσσεν ὕδωρ ἐνὶ ϝήνοπι χαλκῷ, — 349 = κ 360
καὶ τότε δὴ 'λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ, — 350[b] cf. τ 505
ἐν δ' ὠτειλὰς 'πλῆσαν ἀλείφατος ἐννεώροιο·
θέντες δ' ἐν λεχέεσσι ϝεανῷ λίτ' ἐκάλυψαν — 352 cf. Ψ 254
εἰς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λεύκῳ. — 353[a] = Ψ 169

---

332 *αὐτόθι* § 322] *αὐτοῦ* mss.

333 *νῦν — Πάτροκλε*] *ἀλλ' ἐπεὶ οὖν φίλ' ἑταῖρε* Aeschin. I § 148. || *σέ'* § 92] *σεῦ* mss.

334 *κτερίσω* § 147 et 210] *κτεριῶ* mss. || *γ'*] om. Z Vrat., vid. § 18.

335] virgulam vulgo post *κεφαλὴν* scriptam transposuit Duentzer, quod *μεγάθυμος* propriis tantum nominibus additur alias. || *μεγαθύμου*] *-μοο*? cf. § 59. || *σοῖο* Harl.] *σεῖο* mss. cett.

336-342] inserti esse videntur cum additus est liber Ψ; vs. 338-342 del. Duentzer, 341 sq. PKnight.

338 *αὔτως*] sic Ar., alii (Zen.?) olim *οὕτως*? vid. ad vs. 584.

339 *Τρῳιαι*] cf. § 17. || *βαθύκολποι*] cf. vs. 122.

341 *αὐτώ* vHerwerden] *αὐτοὶ* mss. || **γ' ἀρόμεσθα*] *καμόμεσθα* mss.; vulgata *facere* significat, non *acquirere*, aoristus autem medii nonnisi ι 130 redit. PKnight *κταόμεσθα* corrigeret nisi spurios duceret vs. 341 sq.

345 *λούσειαν*] *λοέσειαν*? vid. § 295.

346 *κηλέῳ*] vid. § 8.

347 *ἔχεον* PKnight] *ἔχεαν* mss.

348 *γάστρην*] vox nonnisi versu par. redit. || *ἄμφεπε*] cf. Π 124.

349 *ἐνὶ*] *ἐπὶ* C Vat.

350 *'λοῦσαν*] *'λόεσαν*? cf. § 295. || *τε*] **ϝε*? || *λίπ'*] vid. § 13.

351 *ὠτειλὰς*] vid. ad Δ 140. || *ἐννεώροιο*] vid. § 8. Vox dubiae originis et potestatis redit κ 19, 390 λ 311 τ 179; *longae noctes* dicuntur *νύκτες ἐννέωροι* Herod. Mimiamb. VIII 5. Christ coniecit *ἐννεαώρου*.

352 **θέντες δ' ἐν λεχέεσσι*] *ἐν λεχέεσσι δὲ θέντες* mss.; cf. Ψ 254. || *λίτ' ἐκάλυψαν*] *λιτὶ κάλ.* Ar. mss.

παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα 354[a] = *H* 476 354[b] cf. 69
Μυρμιδόνες Πάτροκλον ἀνεστέναχον γοάοντες· 355 cf. 315
Ζεὺς δ' Ἥρην προσέϝειπε κασιγνήτην ἄλοχόν τε· 356 cf. *Π* 432
„ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη, 357 cf. *Ο* 49
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆς ἐγένοντο κάρη κομάοντες Ἀχαιοί."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· 360 sq. = *Α* 551 sq.
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔϝειπες;
καὶ μὲν δή ποθί τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα ϝοῖδε· 363 = υ 46
πῶς δὴ ἐγώ γ', ἥ φημι θεάων ἔμμεν' ἀρίστη,
ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις 365 sq. = *Δ* 60 sq.
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισι ϝανάσσεις,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;"
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.

Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
ἄφθιτον ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισι,
χάλκεον, ὅν ῥ' αὐτὸς 'ποιήσατο κυλλοποδίων.
τὸν δ' ηὗρ' ἱδρώοντα ϝελισσόμενον περὶ φύσας,
σπεύδοντα· τρίποδας γὰρ ἐϝείκοσι πάντας ἔτευχε
ἑστάμεναι περὶ τοῖχον ἐυσταθέος μεγάροιο, 374[b] = χ 120, 127, 257, 274, 441, 458 cf. υ 258
χρύσεα δέ σφ' ὑπὸ κύκλα ϝεκάστῳ πυθμέν' ἔθηκε,
ὄφρα ϝοι αὐτόματοι θεῖον δυσοίατ' ἀγῶνα 376 cf. *H* 298

356—368 damnabat Zenodorus grammaticus teste Porphyrio

355 *ἀνεστέναχον γοάοντες* Fick] *-χοντο γοῶντες* mss.; vid. ad vs. 315.

357 *ἔπρηξας καὶ ἔπειτα*] *re vera opus perfecisti.* Ironice haec verba dicuntur; spectantur vs. 168 (ubi vid.) et 181-186. || *βοῶπις*] *-πι* A C H; cf. *Ο* 49.

359 *κομάοντες* § 191] *-μόωντες* mss.

362 *ποθί* § 322] *πού* mss. || *βροτὸς*] *ϝέπος* Bentley.

364 *ἐγώ γ'*] *ἐγὼν* Zen. fortasse recte.

367 *κακὰ ῥάψαι*] redit locutio γ 118 π 423 (*κακορραφίη* *Ο* 16 etc.); vid. praeterea π 379, 422.

368 *ἀγόρευον*] de confabulantibus insolite dictum esse observavit Ar.

370 *ἀστερόεντα*] vid. ad *Π* 134.

371 *κυλλοποδίων*] redit epitheton *Υ* 270 *Φ* 331; vid. ad *Α* 607.

372 *ἱδρώοντα*] neglecto ϝ. || *φύσας*] vox in vicinia tantum redit (vs. 409, 412, 468, 470).

374 *ἐυσταθέος*] praeter ψ 178 (ubi vid. v. l.) nonnisi locis parallelis epitheton redit.

375 *ὑπὸ κύκλα*] una voce C, ut δ 131, minus recte. De rotulis hisce, Phoenicum arti propriis, cf. Helbig Hom. Epos[1] p. 85 adn. 9. || *πυθμέν' ἔθηκε*] *-νι θῆκε* mss.; vHerwerden coll. *Ξ* 240 *Τ* 383 (= *Χ* 316) τ 57 mavult *ἧκε*, quoniam non nunc tantum supposuit sed in perpetuum aptavit.

376 *δυσοίατ'* Bekker] *δυσαίατ'* Ar. AC (Townl.)

ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα Ϝιδέσθαι.
οἱ δ' ἦ τοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔ πω
δαιδάλεα προσέκειτο· τά ῥ' ἤρτυε, 'κόπτε δὲ δεσμούς. 379^{b} = θ 274
ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο Ϝιδυίῃσι πραπίδεσσι,
τόφρα Ϝοι ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
τὴν δ' ἔϜιδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
καλή, τὴν ὤπυιε περικλυτὸς ἀμφιγυήεις·
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 384-386 = 423 sqq.
„τίπτε, Θέτις τανύπεπλος, ἱκάνεις ἡμέτερον δῶ 384 = Z 253
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις. 386 cf. ε 88
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θήω.“ 387 = ε 91; 387^{b} = ι 517
ὣς ἄρα φωνήσασα πρόσω Ϝ' ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου, 389^{b} sq. = κ 314 sq., 366 sq.; 389^{b} = η 162
καλοῦ δαιδαλέοι', ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν· 390 cf. I 187 α 131; 390^{b} = δ 136
'κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην 'Ϝεῖπέ τε μῦθον·
„Ἥφαιστε, πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει.“
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις· 393 = 462 cf. θ 357
„ἦ ῥά νύ μοι δϜεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησε
κρύψαι χωλὸν ἐόντα· τότ' ἂν 'πάθον ἄλγεα θυμῷ,
εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
τῇσι πάρ' εἰνάϜετες 'χάλκευον δαίδαλα πολλά,

Mosc., δύσονται vel δύσωνται mss. cett. Vid. § 152 et ad Ψ 739. Lectionem κατὰ δῶμα νέοιντο, quam commemorat scholion, ad πρὸς vs. 377 iure rettulit Dindorf. || ἀγῶνα] cf. H 298.

377 πρὸς] vid. ad vs. 376.

378 τόσσον] vid. ad Δ 130.

381] om. pap. 107 A D.

382 sq.] vid. ad θ 266 sqq.

382 λιπαροκρήδεμνος] redit epitheton h. Cer. 25, 439, 460; cf. λιπαρὰ κρήδεμνα α 334 etc. Vid. X 468 sq.

383 ἀμφιγυήεις] vid. ad A 607.

385 Θέτις τανύπεπλος Zen.] Θέτι τανύπεπλε (Ar.) mss.; item vs. 424. Barnes Θέτις τανύπεπλε; cf. § 51. || δῶ] δὲ (-δε) Zen., item vs. 424.

387 θήω § 122] θείω mss.

388 * Ϝ'] addidimus.

390 δαιδαλέοι' § 59] -λέου mss.

392 ὧδε] *sic, actutum*; cf. α 182 ρ 544, § 49, Lehrs Arist.[2] p. 379 sqq.

393 ἀμφιγυήεις] vid. ad A 607.

395 sq.] cf. A 591.

396 κυνώπιδος] l. a. βοώπιδος.

397 τότ' ἂν] novicium, vid. § 326; tentavimus *ἦ κεν aut *'πάθον δέ κεν.

398 ὑπεδέξατο] de singulari vid. ad A 255.

399] insolite admodum duorum nominum prius per epanalepsin (de qua vid. ad B 672) iteratur; versum del. PKnight. || ἀψορρόου] Oceani epitheton nonnisi υ 65 redit.

400 'χάλκευον] † (χαλκεύς saepius). || πολλὰ] πάντα Zen. Aristoph. Barocc., Nauck coniecit χαλκεύων δαίδαλα μίμνον.

πόρπας τε γναμπτάς ϑ' ἕλικας κάλυκάς τε καὶ ὅρμους, 401 = h. Ven. 164
ἐν σπέεϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο cf. h. Ven. 87 sq.
ἀφρῷ μορμύρων 'ρέεν ἄσπετος· οὐδέ τις ἄλλος 403ᵃ cf. E 599 Φ 325
'Ϝείδεεν οὔτε ϑεῶν οὔτε ϑνητῶν ἀνϑρώπων,
ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη 'Ϝίσαν, αἵ μ' ἐσάωσαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῷ με μάλα χρὴ
πάντα Θέτι καλλιπλοκάμῳ ζῳάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν Ϝοι παράϑες ξεινήια καλά,
ὄφρα κ' ἐγὼ φύσας ἀποϑήομαι ὅπλα τε πάντα."
ἦ, καὶ ἀπ' ἀκμοϑέτοιο πέλωρ αἴητον ἀνέστη
χωλεύων· ὑπὸ δὲ κνῆμαι 'ρώοντο Ϝαραιαί. 411 = Y 37
φύσας μέν ῥ' ἀπάνευϑε 'τίϑει πυρός, ὅπλα τε πάντα
λάρνακ' ἐς ἀργυρέην συνελέξατο, τοῖσ' ἐπονεῖτο·
σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ
αὐχένα τε στιβαρὸν καὶ στήϑεα λαχνήεντα, 415ᵃ = ϑ 136
'δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, 'βῆ δὲ ϑύραζε
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι 'ρώοντο Ϝάνακτι
χρύσειαι, ζῳῇσι νεήνισσιν ϜεϜικυῖαι.
τῇσ' ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ
καὶ σϑένος, ἀϑανάτων δὲ ϑεῶν ἄπο Ϝέργα Ϝίσασι.
αἳ μὲν ὕπαιϑα Ϝάνακτος ἐποίπνυον· αὐτὰρ ὃ Ϝέρρων
πλησίον, ἔνϑα Θέτις περ, ἐπὶ ϑρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα Ϝοι 'φῦ χειρὶ Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· 423-425 = 384 sqq.

401] del. PKnight. — De ornamentis femineis quae hic enumerantur cf. Helbig Hom. Epos[1] p. 190-194. Voces *πόρπαι, κάλυκες, ἕλικες* (cuius vocis neglectum est Ϝ) nonnisi h. Ven. 87 et 164 redeunt (h. Cer. 428 *κάλυκας* = *florum calyces*); *πόρπαι* (*fibulae*) alias dicuntur *περόναι* (*E* 425 etc.).

402 *σπέεϊ* § 71] *σπῆι* mss.

404 *'Ϝείδεεν*] *ᾔδεεν* Ar. mss., l. a. *ᾔδειν*.

406 *χρὴ*] *χρεὼ* mss. pleraque; cf. § 8.

407 *Θέτι*] forma novicia, vid. § 74; Nauck *ϑεᾷ*. || *ζῳάγρια*] vox redit *ϑ* 462; recte Ar. sono ω addebat iota.

409 *ὄφρα κ'* § 326] *ὄφρ' ἂν* mss. || *φύσας*] vid. ad vs. 372. || *ἀποϑήομαι* § 122] *-ϑείομαι* mss.

410 *αἴητον*] †, cf. *Φ* 395. Nauck *αἰηνὲς* coniecit, sed suspectum est etiam *πέλωρ*, nam *monstrum* (cf. *ι* 428) cur vocetur Vulcanus non facile dixeris, nec non *ἀνέστη*, nam non sedere Vulcanum coll. vs. 372 observavit vHerwerden, *ἀπέστη* postulans.

412 *φύσας*] vid. ad vs. 372.

413 *συνελ(λ)έξατο* H] *συλλέξ*. mss. cett.

417] de viventibus his imaginibus vid. ad *η* 93.

418 *νεήνισσιν ϜεϜικυῖαι* Brandreth] *-νισιν εἰοικυῖαι* (*ἐοικυῖαι*) mss., *νεήνισιν ἔργ' εἰκυῖαι* schol. Pind. Ol. VII 95. De participii forma vid. § 160; *-ισσι* exstat *Δ* 27. Non recte PKnight *νεηνίδεσιν*, vid. § 64. Vitium peperit antiqua scribendi ratio, qua consonae non duplicabantur (*NEENIΣINEIKYIAI*); hinc syllabam (*ἔργ'* vel *-οι-*) excidisse putabant posteri.

419 *μετὰ*] *ἐνὶ* Vrat.

„τίπτε, Θέτις τανύπεπλος, ἱκάνεις ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἀνώγει, 426 sq. = Ξ 195 sq.
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί.“
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα· 428 = Α 413
„Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
τοσσάδ' ἐνὶ φρεσὶ ϝῇσιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε; 431^{b} = Β 375 Ω 241
ἐκ μέν μ' ἀλλάων ἁλιάων ἄνδρ' ἐδάμασσε,
Αἰακίδῃ Πηλῆι, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ' οὐκ ἐθέλουσα. ὃ μὲν δὴ γήραϊ λυγρῷ
κεῖται ἐνὶ μεγάροισ' ἀρημένος, ἄλλα δέ μοι νῦν·
υἱὸν ἐπεί μοι ἔδωκε γενέσθαι τε τραφέμεν τε, 436^{b} = Η 199
ἔξοχον ἡρώων, — ὃ δ' ἀνέδραμεν ἔρνεϊ ϝῖσος, — 437-443 = 56 sqq.
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς
νηυσὶν ἐπιπροέηκα κορωνίσι Ϝίλιον εἴσω
Τρωσὶ μαχεσσόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
ϝοίκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί ϝοι δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην, ἣν ἄρα ϝοι γέρας ἔξελον υἷες Ἀχαιῶν, 444 cf. Π 56
τήν ϝ' ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων. 445 cf. Π 58
ἦ τοι ὃ τῆς ἀχέων φρένας ἤσθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐϝείλεον, οὐδὲ θύραζε
εἴαον ἐξίμεναι. τὸν δ' ἐλλίσσοντο γέροντες 448^{b} = Ι 574

444—456 Ar. —— (in Genevensi vs. 444—461 obelis sunt notati)

424] vid. ad vs. 385.

426 *αὔδα*] *αὔδα'*? vid. § 191. || *ἀνώγει* § 225] *ἄνωγεν* mss. pleraque.

427] om. pap. 107 Syr., et H in textu. || *ἐστί*] *ἔσται* D[1]. Vid. ad Ξ 196.

431 *πασέων*] forma novicia; vid. § 56. || *ἔδωκε*] *ἔθηκεν* L Eust.

432 *μέν μ'*] *μὲν ἔμ'* vHerwerden. || *ἄνδρ' ἐδάμασσε*] *ἀνδρὶ δ.* mss.

433 *εὐνὴν*] *amplexus.* Infeliciter Doederlein *εὐνῇ.*

434 *πολλὰ — ἐθέλουσα*] haec iungenda; cf. *πόλλ' ἀϝέκων* Λ 557 Ρ 666.

435 *ἀρημένος*] *confectus*; participium ignotae originis nonnisi in Odyssea redit (ζ 2 ι 403 λ 136 σ 53, 81 ψ 283). || *ἄλλα — νῦν*] sc. *Ζεὺς ἄλγε' ἔδωκε* (cf. vs. 431).

436 *ἔδωκε*] *δῶκε* mss.

439 *Ϝίλιον εἴσω*] vid. ad Α 71.

440 *μαχεσσόμενον* § 291] *-ησόμενον* mss.

441] om. pap. 107.

445 *ϝ'] addidimus; cf. vs. parall.

446 *ἤσθιεν* (*ἔσθιεν*) Blass] *ἔφθιεν* mss.; vid. § 166 et ad β 368. Nos conieceramus **ἔφθιτο*, Nauck *φθῖνεν φρένας.*

447 *ἐϝείλεον*] vix Homericum pro *ἔϝελλον*, vid. § 265.

448 *εἴαον* § 191] *εἴων* mss. || *ἐξίμεναι* § 125] *ἐξιέναι* mss. || *δ' ἐλλίσσοντο* Mor.] *δὲ λίσσοντο* vel *δ' ἐλίσσοντο* mss. cett.; cf. Ι 574.

Ἀργεΐων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον. 449ᵇ cf. Ι 121
ἔνθ' αὐτὸς μὲν ἔπειτα ἀναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν ἑϜὰ τεύχε' ἔϜεσσε,
'πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
πᾶν δ' ἦμαρ 'μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε. 456 = Τ 414
τούνεκα νῦν τεὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα 457 = γ 92 δ 322
υἷ' ἐμῷ ὠκυμόρῳ δόμεν' ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας, ἐπισφυρίοισ' ἀραρυίας, 459ᵇ = Γ 331
καὶ θώρηχ'· ἃ γὰρ ἦν Ϝοι, ἀπώλεσε πιστὸς ἑταῖρος
Τρωσὶ δαμείς· ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων."
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις· 462 = 393
„θάρσεε· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων. 463 = ν 362 π 436 ω 357 cf. Τ 29
αἲ γάρ μιν θανάτου δυσϜηχέος ὧδε δυναίμην
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι,
ὥς Ϝοι τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κε Ϝίδηται."
ὣς Ϝειπὼν τὴν μὲν 'λίπεν αὐτόθι, 'βῆ δ' ἐπὶ φύσας, 468ᵃ cf. Δ 292
τὰς δ' εἰς πῦρ ἔτρεψε 'κέλευσέ τε Ϝεργάζεσθαι.
φῦσαι δ' ἐν χοάνοισιν ἐϜείκοσι πᾶσαι ἐφύσων
παντοίην εὔπρηστον ἀυτμὴν ἐξανιεῖσαι,

---

450 ἔπειτα ἀναίνετο Nauck] ἔπειτ' ἠναίνετο vel ἠνήνατο mss.; de forma ἀναίνετο vid. ad Ι 585.
451 ἑϜὰ (PKnight)] τὰ ἃ mss. Vid. Θ 430. || τεύχε' ἔϜεσσε] τεύχε' ἔσσε D, τεύχεα ἕσσε mss. cett.
452 δ' ἅμα] δέ οἱ C (ὤπασε λαὸν? vid. Ι 483), δ' ὅ γε mss. multa.
453 πᾶν ... ἦμαρ] per *reliquam* diei partem; vid. ad Α 472.
457 τεὰ PKnight] τὰ σὰ mss. Vid. ad Α 185.
458 υἷ' ἐμῷ ὠκυμόρῳ G Z] υἱεῖ ἐμῶκυμόρῳ Ar., sic vel υἱεῖ (υἷι) ἐμῷ ὠκυμόρῳ mss. cett. male, vid. § 8 et 9. Bentley υἷί μου, Nauck υἷί μοι (cf. β 50), Peppmueller υἱέι ὠκυμόρῳ. Cf. Σ 144 et de vocali ι elisa § 13.
460 ἃ quidam olim] ὃ Ar. mss. || ἦν Ϝοι] ἦεν Nauck, vid. § 302.
462 ἀμφιγυήεις] vid. ad Α 607.
463 θάρσεε § 191] θάρσει mss. || μετὰ] ἐνὶ Nauck.
464 θανάτου Bekker] -τοιο mss. || ὧδε] vid. Θ 538. || δυναίμην] de optativo vid. ad Δ 314.
465 ἱκάνοι] -νει mss. complura.
466 παρέσσεται] παρέξομαι Zen. Aristoph.
468 αὐτόθι § 322] αὐτοῦ mss. || φύσας] vid. ad vs. 372.
469 ἔτρεψε] ἔστρεψε L Vrat.; cf. Σ 544, 546 κ 528.
470 φῦσαι] vid, ad vs. 372. || χοάνοισιν] †.
471 εὔπρηστον] †; alii olim εὔπρηκτον. Cf. Α 481. || ἐξανιεῖσαι] comp. †.

ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε, 472 cf. δ 102 λ 303 π 209
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ϝέργον ἄνοιτο.
χαλκὸν δ' ἐν πύρ' ἔβαλλεν ἀτειρέα κασσίτερόν τε
χρυσόν τ' αἰγλήεντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
'θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, 'γέντο δὲ χειρὶ 476 cf. ϑ 274
ῥαιστῆρα κρατερὸν, ἑτέρηφι δὲ 'γέντο πυράγρην.
'ποίεε δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε
πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα 'βάλλε φαεινὴν
τρίπλακα μαρμαρέην, ἓκ δ' ἀργύρεον τελαμῶνα.
πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ 481 cf. Γ 270
'ποίεε δαίδαλα πολλὰ ϝιδυίῃσι πραπίδεσσι.
ἓν μὲν γαῖαν ἔτευξ', ἓν δ' οὐρανὸν, ἓν δὲ θάλασσαν,
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
ἓν δέ τε τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται, 485 cf. Hes. Theog. 382
Πληιάδας θ' Ὑάδας τε ἰδὲ σθένος Ὠαρίωνος

483—608 Zen. —

472 αὖτε] ellipsis durior e versu sequenti videtur supplenda; vHerwerden αὖ μή. Cf. δ 102 λ 303 π 209.

473 τ'] γ' mss. complura. || ἄνοιτο] ἄνυτο mss. nonnulla, fortasse recte, vid. (ε 243 et) § 257; sed ipsum verbum suspectum: vHerwerden ἀνώγοι.

474 πύρ' ἔβαλλεν] πυρὶ βάλλεν mss.

475 χρυσόν τ' αἰγλήεντα Nauck] καὶ χρυσὸν τιμῆντα mss. male pro τιμήεντα (ϑ 393 λ 327); vid. § 69 et ad Ι 605. PKnight χρυσὸν τιμήεντα deleta copula, quae tamen vix potest abesse; IMeurad τιμήεντά τε χρυσὸν ἰδ'.

476 ἐν] ἐπ' mss. multa.

477 ῥαιστῆρα] †, cf. σφῦρα γ 434. || κρατερὸν Zen.] -ρήν Ar. et mss. pleraque male.

478 'ποίεε § 191] ποίει mss.

480 τρίπλακα] †, vid. ad Γ 126.

481 ἐν αὐτῷ] ἐπ' αὐτῷ Townl. et l. a. apud Eust. — Aeream laminam, qua more solito obductum est corium clipei (vid. Η 223 et ad Γ 269-272), imaginibus multicoloribus ex auro argento stanno cyano (vid. ad η 87) ornat Vulcanus.

482 'ποίεε § 191] ποίει mss.

483 sqq.] apparet poetam artis Phoeniciae (cf. vs. 375) opera ante mentis oculos habuisse, non tamen certum aliquem clipeum accurate descripsisse, sed libere in ingenii sui fetu exornando versatum esse. Oceanus clipei oram tenet, coelestia corpora circa umbonem sunt disposita, mediae intersertae sunt imagines vitam humanam (pacem bellumque, anni tempora, [saltationem]) referentes, per zonas autem concentricas ordinatae. Similem descriptionem in *Herculis clipeo* dedit pseudo-Hesiodus; vid. etiam Vergilius de Aeneae clipeo Aen. VIII 626 sqq.

485 τε L Lips. Harl.] τά mss. cett. || τείρεα] estne vocis τέρας pluralis? vid. § 72. Alcaeum τερέων dixisse sensu *siderum* refert Eust. Nauck coniecit σείρια (vid. Ibyc. fr. 3). || οὐρανὸς ἐστεφάνωται] οὐρανὸν ἐστήρικται Zen. (? — Duentzer -νῷ; cf. h. Merc. 11), οὐρανὸν ἐστεφάνωκε l. a. ab Ar. commemorata. Vid. Ε 739 Λ 36.

486 Ὑάδας] †. || ἰδὲ Nauck] τό τε mss. || Ὠαρίωνος PKnight] Ὠρίωνος mss. Diductam formam, qua Pindarus usus est Isthm. IV 49 (III 67) Nem. II 12, in Homero suo legisse videtur Callimachus, vid. in Dian. 265. Nomen redit Σ 488 Χ 29 ε 121, 274 λ 310, 572. Fortasse Ὀαρίων sincera est nominis forma, cf. § 21.

Ἄρκτον θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσι, 487-489 = ε 273 sqq.
ἥ τ' αὖθι στρέφεται καί τ' Ὠαρίωνα δοκεύει, 487^{b} = Χ 29, 506
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
ἐν δὲ δύω 'ποίησε πόλις μερόπων ἀνθρώπων
καλάς. ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν εἰλαπίναι τε, [Scut. 274 sq.
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων 492 sq. cf. Hes.
ἤγινον ἀνὰ ϝάστυ, πολὺς δ' ὑμέναιος ὀρώρει· 492^{b} = τ 48 ψ 290
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσι
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἳ δὲ γυναῖκες
ἱστάμεναι 'θαύμαζον ἐπὶ προθύροισι ϝεκάστη.
λαοὶ δ' ἐν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
ὠρώρει, δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποκταμένοι'· ὃ μὲν ηὔχετο πάντ' ἀποδοῦναι,
δήμῳ πιφαύσκων, ὃ δ' ἀναίνετο μή τι ἑλέσθαι·
ἄμφω δ' ἱέσθην ἐπὶ ϝίστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἳ δὲ γέροντες
ἤατ' ἐπὶ ξεστοῖσι λίθοισ' ἱερῷ ἐνὶ κύκλῳ, 504 cf. ϑ 6 π 408
σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·

---

487 ἅμαξαν] ἄμ. mss. multa.

488] vert. *quae eodem loco (prope polum) circumvertitur et venatorem Orionem anxia observat.* || αὖθι § 322] αὐτοῦ mss. || Ὠαρίωνα PKnight] Ὠρίωνα mss.; vid. ad vs. 486.

489 οἴη] οἶος (?) Crates sec. Strabonem I p. 3, ἡ (?) sec. Apoll. lex.; quid revera legerit Crates latet. Quod *sola* nunquam occidere dicitur *Ursa*, ceteras stellas circumpolares (*Ursam minorem, Draconem* etc.) nondum nominibus distinctas fuisse apparet. Duentzer coniecit αἰεί. — Locum imitantur Verg. Georg. I 246 Ovid. Met. XIII 293. || λοετρῶν Ὠκεανοῖο] cf. *E* 6.

492 ἐκ θαλάμων] ἐς θαλάμους Zen. Didymo non improbante.

493 ἤγινον Fick] ἠγίνεον mss. male, synizesis enim vel contractio novicia, cf. § 8 et 191. Correxit Fick coll. infinitivo ἀγινέμεναι υ 213 et verbo ὀρίνειν. Eadem correctio adhibenda videtur ξ 105 χ 198, ceteri loci (Ω 784 κ 104) eam non admittunt. In h. Ap. autem saepius futurum ἀγινήσουσι occurrit. || ἀνὰ] κατὰ Z Apoll. lex. || ὑμέναιος] †.

494 ὀρχηστῆρες] †, cf. -τής *Π* 617 Ω 261.

495 αὐλοὶ] vid. ad *K* 13. || ἔχον] cf. *Π* 105. Nauck χέον.

497 ἐν § 315] εἰν mss.

498 sqq.] cf. *I* 632 sq.

499 ἀποκταμένοι' § 59] -κταμένου Zen. et „αἱ πλεῖσται", -φθιμένου nunc mss.

499^{b} sq.] *affirmabat se poenam exsolvisse, alter vero negabat se quidquam accepisse.*

500 πιφαύσκων] vid. ad *K* 478. || ἀναίνετο] vid. ad *I* 585. || *μή τι] μηδὲν mss.; vid. § 100 et de hiatu ad ϑ 136. Praeterea coniecimus *μή τι λαβέσθαι (vid. vs. sequens), vHerwerden μή μιν (i. e. ποινῇ) ἑλέσθαι.

501 ἱέσθην] neglecto ϝ, vid. § 201. Fortasse *ἄμφω ἐϝιέσθην; cf. γ 344. || ϝίστορι] redit vox Ψ 486 h. XXXI 2. || ἑλέσθαι] ἀρέσθαι Zen., ἱκέσθαι Barnes.

502 ἀμφοτέροισιν] ἀμφοτέρωθεν Zen. Aristoph. cum libro Massil. || ἐπήπυον] comp. †, ἐποίπνυον liber Massil. (ἐπιπν. cod., correxit PKnight).

504 ἤατ' § 220] εἵατ' (εἴατ') mss. || ξεστοῖσι λίθοισ'] cf. γ 406 (ζ 267?) ϑ 6.

505 σκῆπτρα] unum sceptrum, quod sin-

τοῖσιν ἔπειτ' ἤισσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.
'κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα, 507 cf. h. Merc. 324
τῷ δόμεν' ὃς μετὰ τοῖσι δίκην ἰθύντατα ϝείποι.
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ ἥατο λαῶν
τεύχεσι λαμπόμενοι, δίχα δέ σφισι 'ϝάνδανε βουλή· 510ᵇ = γ 150 cf. ϑ 506
ἠὲ διαπραθέμεν ἠ' ἄνδιχα πάντα δάσασθαι, 511ᵇ sq. cf. Χ 120 sq.
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔϝεργε·
οἳ δ' οὔ πω 'πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
'ρύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας·
οἳ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
ἄμφω χρυσείω, χρύσεια δὲ ϝείματ' ἐϝέσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ,
ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπ' ὀλείζονες ἦσαν.

---

gulis iudicibus sententiam dicturis praebet praeco; vid. ad Α 234. || ἠεροφώνων] †. Vox obscura, quae a verbo ἀείρω vix potuit apte deduci; ἱεροφώνων (i. e. μεγαλοφώνων) Phot. lex. fortasse recte, vid. ad Π 407. Alienum hinc est adi. ἱμερόφωνος, quo usa est Sappho fr. 39.

506 ἀμοιβηδὶς] -δὸν Harl. Vrat., quam lectionem Ar. novit, fortasse recepit. Adv. redit σ 310 h. Cer. 327, cf. ἐπαμοιβαδὶς ε 481.

507] duo talenta auri apud H. summam efficiunt multo minorem quam quae pro cive occiso potuerit offerri; vid. Ψ 269 ϑ 393 δ 129 Ω 232. Itaque non multam significari apparet sed *sacramentum* (πρυτανεῖον), iudici cuius sententia vicerit destinatum.

508 ἰθύντατα] cf. ἰθεῖα Ψ 580. || ϝείποι] εἴπῃ mss. nonnulla.

509-540] locum, qui multum torsit veteres, sic interpretamur. Urbem hostes obsessam tenent, minantes se eam direpturos nisi cives alteram bonorum suorum partem ex pactione sibi dedere velint (de re cf. Χ 120 ab Ar. allatus). Cives vero cedere nolunt insidiasque struunt oppugnantibus: prope flumen postquam locis tectis consederunt, gregem bovesque aliquot illuc mittunt cum duobus pastoribus; in quam praedam hostes dum incautius irruunt, ab oppidanis necopinati occupantur; hinc conseritur pugna.

509] quod *duo* commemorantur hostium exercitus, probabiliter Murray Hist. of greek sculpture p. 49 explicavit ex artis Assyriae operibus, in quibus urbs oppugnata ita solet repraesentari ut utrinque eam adoriantur hostes (cf. Helbig Hom. Epos[1] p. 305). Nam quominus alterum exercitum hostium alterum civium (ut Hes. Scut. 239 sq.) interpretemur obstat σφισι vs. 510. Quod ut vitaret incommodum Doederlein post vs. 510 huiusmodi versum inserebat: οἳ μὲν ἄρ' ἠπείλησαν ἐϋ κτίμενον πτολίεθρον (sic vero sequi deberent *futura* διαπέρσειν et δάσεσθαι), Christ vs. 511 legit τοῖσι μὲν ἐκπραθέμεν. || ἥατο § 220] εἵατο (εἴατο) mss.

510 'ϝάνδανε] ἥνδανε (ἧνδ.) mss.

511 διαπραθέμεν § 126] -έειν mss.

512] del. PKnight, ante vs. 511 collocat Nauck. || ἔϝεργε] ἐέργει mss. complura, ἐϝέργοι Bekker.

513 οἳ] cives. || πω] πως vHerwerden. || ὑπεθωρήσσοντο] ὑποθ. mss. pauca. Comp. †, neque alias in Homero ὑπο- in compositione significat *clam*; Vrat. ὑπὸ θωρήσσοντο, sed in insidiarum locum nondum pervenerunt (vid. vs. 520).

516 οἳ] cives, qui arma ferre possunt.

517 ϝείματ' ἐϝέσθην] εἵματα ἕσθην (ἤσθην D) mss.

518] del. Bekker.

519 ἀμφὶς] *seorsum*, i. e. non commixti bellatoribus. || ἀριζήλω] vid. ad Ν 244. ||

οἱ δ' ὅτε δή ῥ' ἵκανον ὅθι σφίσι 'Ϝεῖκε λοχῆσαι, 520 cf. Ψ 138
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσι, 520^a = Κ 526
ἔνθ' ἄρα τοί γ' ἷζον ϜεϜλυμένοι αἴθοπι χαλκῷ.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ ἥατο λαῶν
δέγμενοι ὁππότε μῆλα Ϝιδοίατο καὶ Ϝέλικας βοῦς, —
αἳ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆε 525^b = ρ 214 υ 175
τερπομένω σύριγξι, — δόλον δ' οὔ τι προνόησαν.
οἱ μὲν τὰ προϜιδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
'τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ 528 cf. λ 402 ω 112
ἀργεννῶν οἰῶν, 'κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶ
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας, 533 cf. ι 54
'βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι. 534 = ι 55
ἒν δ' Ἔρις, ἒν δὲ Κυδοιμὸς ὁμίλεον, ἒν δ' ὀλοὴ Κὴρ 535 cf. Hes. Scut. 156
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, 536-538 = Hes. Scut. 157 sqq.
ἄλλον τεθνηῶτα κατὰ μόθον εἷλκε ποδοῖιν·

ὑπ'] i. e. *ὑπὸ τοῖς θεοῖς infra deos.* || *ὀλείζονες*] comp. †; vertatur *statura minores* (quam dei). Una voce *ὑπολίζονες* mss. multa, et sic locum accepit poeta Scuti vs. 258 (*ὑφήσσων*), male, *ὑπο-* enim in Homero nusquam *paulo* significat.

520 *οἳ*] cives. || *δή ῥ' ἵκανον*] *χῶρον ἵκοντο* Nauck coll. Ψ 138. || *'Ϝεῖκε*] a verbo *Ϝείκειν* = *ἐγχωρεῖν* (schol.); vid. § 242 et ad Ρ 354. Attice sic dicitur *ᾗ, ὅπη, καθόσον παρείκει.*

521 *ἔην*] *ἔεν*? vid. § 302. || *βοτοῖσι*] †.

522 *ἷζον* Bentley] *ἷζοντ'* mss.; cf. Ι 13, 87 Ν 281 Υ 15. || *ϜεϜλυμένοι* § 265] *εἰλυμένοι* mss.

523 *τοῖσι*] hostibus. || *ἥατο* § 220] *εἵατο* mss.

525 *αἳ* Bekker] *οἳ* mss. || *προγένοντο*] *προχέοντο* Naber coll. Β 465 Ο 360 Π 259, 267 Φ 6 et nostra annotatione ad Τ 360. || *νομῆε* Ahrens] *-ες* mss.

526 *τερπομένω* Aristoph. Vrat.] *-μενοι* mss. cett. || *σύριγξι*] vid. ad Κ 13.

527 *οἳ*] hostes.

528 *'τάμνοντ' ἀμφὶ*] *intercipiebant*; eodem sensu usurpatur *περιτάμνεσθαι* λ 402 ω 112 et *ἀποτάμνεσθαι* h. Merc. 74. || *πώεα καλὰ*] *πῶυ μέγ' οἰῶν* Zen. (= Λ 696 Ο 323 μ 299, cf. Γ 198), versum igitur 529 omittens; *πώεα μήλων* Apoll. lex., vid. ad vs. sq.

529 *ἀργεννῶν*] si ad *ὀίων* pertinet, novicium est pro *-άων* (Γ 193 Σ 588), cf. § 56. || *μηλοβοτῆρας*] redit tantum h. Merc. 286 (*βοτήρ* ο 504).

530 *οἳ*] cives. || *παρὰ βουσὶ*] cave iungas cum participio *καθήμενοι*. Oppidani in *εἰραῖς* (vid. ad vs. sq.) collocati *procul* audiunt mugientes boves, quapropter conscensis curribus illuc festinant.

531 *εἰράων*] †, cf. Hes. Theog. 804. Dubiae originis vocem (a radice *Ϝερ* § 306^2, *Ϝειράων*?) Ar. interpretabatur *ἀγοράς*; expectamus tamen vocem *locum tectum* significantem.

535 *ὁμίλεον*] apud Hesiodum vs. par. legitur *ἐθύνεον*.

535-537] notetur structura liberior: *ἐν ... κὴρ (ὡμίλει) ... ἔχουσα ... εἷλκε.*

536 *ἄουτον*] †, cf. *ἀνούτατος* Δ 540, *νεούτατος* h. l. et Ν 539.

537 *τεθνηῶτα*] sic Ar., *-ειῶτα* mss. complura; cf. § 160. || *εἷλκε*] *ἕλκε* mss.

ϝεῖμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ' ὥς τε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο,
νεκρούς τ' ἀλλήλων 'ϝέρυον κατατεθνηῶτας.
ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιϝηδέος οἴνου 545ᵇ = γ 46
'δόσκεν ἀνὴρ ἐπιών· τοὶ δ' ἐστρέψασκον ἀν' ὄγμους
ϝιέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
ἡ δ' ἐμελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δ' ἐϝεϝοίκει,
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμ' ἐτέτυκτο. 549ᵇ cf. h. Merc. 196
ἐν δ' ἐτίθει τέμενος βαθυλήιον· ἔνθα δ' ἔριθοι
ἤμαον, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα 'πίπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσ' ἐδέοντο.
τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
ἀσπερχὲς πάρεχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
σκῆπτρον ἔχων εἱστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.

538] cf. Verg. Aen. VI 555. || *δ'*] *τ'* liber Massil. || *δαφοινεὸν*] vid. ad *M* 202. Ceteris locis (*B* 308 *K* 23 *Λ* 474 h. Ap. 304) brevior adiectivi forma *δαφοινός* legitur.

539 sq. *ὡμίλεον ... ἐμάχοντο ... 'ϝέρυον*] sc. *milites.*

539 *ὡμίλευν*] forma novicia, vid. § 7 et 191; *ὡμίλεον* Harl. Mosc., nihilo melius, cf. § 8.

540 *κατατεθνηῶτας*] sic Ar., *-ειῶτας* mss. complura; cf. § 160.

542 *τρίπολον*] adi., cuius obscurior est vis, redit *ε* 127 = Hes. Theog. 971.

543 *ζεύγεα*] †. || *ἐλάστρεον*] †.

545 *οἴνου*] neglecto *ϝ*; cf. *γ* 46 h. Cer. 206.

548 *ἀρηρομένῃ*] *ἀρηρεμένῃ* A et l. a. apud Eust. vitio manifesto. || *δ' ἐϝεϝοίκει*] *δὲ ἐῴκει* mss.

549 *θαῦμ' ἐτέτυκτο* papp. 107 et Paris. et cod. Z[2]] *θαῦμα τέτυκτο* Ar. et mss. cett.

550 *βαθυλήιον*] *βασιλήιον* pap. 107 et Paris. et codd. A B C[1] G Mosc. — Adi. † (*πολυλήιος* *E* 613 h. Merc. 171); cf. *Λ* 560 Hes. Scut. 288. || *ἔριθοι*] nonnisi *Σ* 560 (et translate h. Merc. 296) redit; cf. *συνέριθος* *ζ* 32. Ignotae originis vocem *mercenarios* designare patet; eosdemne qui *θῆτες* dicuntur *δ* 644? *ἀμητῆρες* audiunt *Λ* 67.

551 *ἤμαον* § 191] *ἤμων* mss. || *δρεπάνας*] †, cf. *δρέπανον* *σ* 368. || Versui quidam subiungebant *καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου.*

552 *δράγματα*] redit vox *Λ* 69 (ubi vid.); vid. praeterea *N* 393. || *μετ'*] *κατ'* vHerwerden. || *ἐπήτριμα*] cf. vs. 211. || *'πίπτον*] *-τεν* pap. 107 DH.

553 *ἀμαλλοδετῆρες*] vox nonnisi vs. 554 redit. || *ἐλλεδανοῖσ'*] † (a verbo *ϝέλλω*, cf. *οὐτιδανός* etc.). || *-νοῖσ' ἐδέοντο*] *-νοῖσι δέοντο* mss.; sed verum videtur *-νοῖσ' ἐδίδεντο* (sic Cobet), vid. § 198.

554 *ἀμαλλοδετῆρες*] vid. ad vs. 553.

555 *δραγμεύοντες*] †, vid. ad *N* 393.

557 *εἱστήκει*] sic pap. Paris., *ἑστ.* Ar. et mss. multa. || *ὄγμου*] *ὄγμοο*? cf. § 59.

κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτ' ἐπένοντο,
βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἳ δὲ γυναῖκες
δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πόλλ' ἐπάλυνον. 560b cf. Λ 640
 ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν
καλὴν χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν,
εἱστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσι.
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτήν,
τῇ 'νίσσοντο φορῆες, ὅτε τρυγάοιεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠίθεοι ἀταλὰ φρονέοντες
πλεκτοῖσ' ἐν ταλάροισι 'φέρον μελιϝηδέα καρπόν.
τοῖσιν δ' ἐν μέσσοισι πάις φόρμιγγι λιγείῃ
ἱμερόεν 'κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε 570 cf. h. Merc. [502
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ 570b cf. φ 411a
μολπῇ τ' ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο. 571b cf. h. Ap. 516
 ἐν δ' ἀγέλην 'ποίησε βοῶν ὀρθοκραιράων· 573b = Θ 231
αἳ δὲ βόες χρυσοῖο 'τετεύχατο κασσιτέρου τε,
μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
πὰρ ποταμὸν κελάδοντα, διὰ ῥαδινὸν δονακῆα.
χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχάοντο βόεσσι
τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο. 578b cf. β 11 ρ 62 υ 145

---

558 *δαῖτ' ἐπένοντο*] -*τα π.* mss.

560 *ἐρίθοισιν*] cf. vs. 550. || *πόλλ' ἐπάλυνον* pap. 107 Paris. et cod. H] *πολλὰ πάλυνον* mss. pleraque (-*ναν* D, *πόλλ' ἄλφιτα λεύκ' ἐπάλυνον* Mosc.). — De re vid. ξ 77, 429.

562 *βότρυες*] †, cf. *βοτρυδόν* B 89.

563 *εἱστήκει*] *ἑστ.* mss. complura; vid. vs. 557. || *κάμαξι*] †, id est *χάραξι* (*δόρασι*); cf. Hes. Scut. 298 Aesch. Ag. 66. || *ἀργυρέῃσι*] -*οισιν* Zen. et mss. nonnulla.

565 *ἐπ'*] *ἐς* Zen. pap. 127. || *αὐτήν*] i. e. *ἀλωήν*. In D Mosc. legitur *αὐτῇ*.

566 *φορῆες*] †. || *τρυγάοιεν* § 191] *τρυγόωεν* mss.

568 *πλεκτοῖσ' ἐν*] *πλεκτοῖσιν* Ar.; vid. ad Θ 337. || *καρπόν*] vid. ad Γ 246.

570 *'κιθάριζε*] nonnisi in hymnis redit (*κιθαριστύς* B 600). || *λίνον*] sic Ar., *λίνος* Zen. Vox †; non *chordam* (ut Zenodotus aliique putabant coll. φ 411, vid. Callim. Dian. 242), sed *cantus genus* (alibi *παιᾶνα*) significari docuit Ar.; vid. Herod. II 79, et Hesiod. fr. 211 et Carm. pop. 2 Bergk. in schol. V allata. Verbum *ὑπαείδειν* de voce canentis potuisse dici apparet h. Merc. 502, cf. Ar. Ran. 874.

571 *λεπταλέῃ*] † (*λεπτός* passim). || *ῥήσσοντες*] nonnisi h. Ap. 516 redit (*ἐπιρρήσσειν* Ω 454, 456). Est verbi *ἀράσσειν* *percutere* forma brevior. || *ὁμαρτῇ*] *ἁμ.* vel *ἀμ.* mss. nonnulla; cf. § 322.

572 *ἰυγμῷ*] †, l. a. *ἰωγμῷ*. Cf. *ἰύζω* P 66 ο 162.

573 *ὀρθοκραιράων*] vid. ad Σ 3.

576 *διὰ* Zen.] *παρὰ* Aristoph. (Ar.?) mss. || *ῥαδινὸν* Aristoph. Ar. (?), cf. Ψ 583] *ῥαδαλὸν* Zen. (quod *mobilem*, *εὐκράδαντον* interpretabantur, *irriguum* PKnight), *ῥοδανὸν* (*Ῥοδανόν*, vid. ad Δ 99) mss.; cf. Ludwich Arist. I p. 437 sq. Adi. nonnisi h. Cer. 183 redit. || *δονακῆα*] †, cf. *δόναξ* K 467 Λ 584 ξ 474 h. Merc. 47 h. XVIII 15; absurde quidam olim *δονακῆεν*.

577 *ἐστιχάοντο* § 191] -*χόωντο* mss. Nauck *ὁμοῦ στιχ.*

σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
ταῦρον ἐρύγμηλον ἐχέτην· ὃ δὲ μακρὰ μεμυκὼς
εἵλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην   582b = Ρ 389
ἔγκατα καὶ μέλαν αἷμα 'λαφύσσετον· οἳ δὲ νομῆες   583 cf. Λ 176
αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες.
οἳ δ' ἦ τοι δακέμεν μὲν ἀπετροπάοντο λεόντων,
ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο.
Ἐν δὲ νομὸν 'ποίησε περικλυτὸς ἀμφιγυήεις,
ἐν καλῇ βήσσῃ, ὀίων μέγαν ἀργεννάων,
σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν 'ποίκιλλε περικλυτὸς ἀμφιγυήεις,
τῷ Ϝίκελον οἷόν ποτ' ἐνὶ Κνωσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.   594 cf. h. Ap. 196
τῶν δ' αἳ μὲν λεπτὰς ὀθόνας ἔχον, οἳ δὲ χιτῶνας
'Ϝείατ' ἐὺ νητούς, ἦκα στίλβοντας ἐλαίῳ·
καί ῥ' αἳ μὲν καλὰς στεφάνας ἔχον, οἳ δὲ μαχαίρας

---

579 σμερδαλέω] κυάνεον Zen. sec. schol. A (κυανέω ei tribuunt Villoison alii). || δύ' ἐν] δύο Ar. in altera ed., cf. vs. 568; δύω L Lips., Nauck ἐνὶ (omisso δύο), quod verum videtur. || πρώτῃσι Ar.] -οισι mss. complura.

580 ἐρύγμηλον] †; a stirpe ἐρυγ *rugire* (cf. Γ 403 sq., 406) nasci debuit vox ἐρυγμός, hinc ductum est ἐρύγμ-ηλος ut Ϝέκ-ηλος.

581 εἵλκετο] ἕλκετο Ar. mss. || τὸν] τοὺς Zen.

583 'λαφύσσετον] vid. § 115.

584 αὔτως] οὕτως Zen. || ἐνδίεσαν] *incitarunt*; forma dubia, vid. § 199. || ὀτρύνοντες] -ναντες mss. nonnulla.

585 δακέμεν ... ἀπετροπάοντο λεόντων] vert. *a leonibus se avertebant mordere* (*recusantes*); δακέμεν enim infinitivus est qui *relationis* appellatur. || δακέμεν § 126] δακέειν mss. || ἀπετροπάοντο § 191 et 251] -τρωπῶντο mss.

586 ἀλέοντο] imperf. † (aor. frequens, praesens non reperitur, vid. § 180), sed cf. ἀλέηται δ 396, ἀλεώμεθα Ε 34 Ζ 226.

587 ἀμφιγυήεις] vid. ad Α 607.

588 ὀίων μέγαν Heyne] μέγαν οἰῶν mss.

590-606] originem Cretensem prae se ferre videntur, cf. Π 617; PKnight partim expunxit, Homeridae alicui tribuit Christ. Daedali apud H. alias non fit mentio.

590 'ποίκιλλε] † (ποίκιλμα Ζ 294 ο 107); Nauck ποίησε, vHerwerden δαίδαλλε coll. Σ 479 ψ 200. || ἀμφιγυήεις] vid. ad Α 607.

591 οἷον] οἶον non recte quidam, ne mortalem deus imitatus esse videretur.

592 Ἀριάδνῃ] sic Ar., Ἀριήδνῃ Zen. (vid. § 5).

593 ἀλφεσίβοιαι] †, cf. ζ 159. Epitheton bene explicuit Ar.

594 ὠρχεῦντ'] forma recens, cf. § 7 et 191. || ἔχοντες] ἔχουσαι Dionys. Hal. Antiqu. VII 68 et Athen. V p. 181 *a* (male).

595 λεπτὰς] l. a. καλάς. || ὀθόνας] vid. ad Γ 141 et η 107.

596 'Ϝείατ'] cf. § 303. || στίλβοντας ἐλαίῳ] vid. ad η 107.

597 sq.] damnavit Ar., μαχαιρῶν mentione offensus.

597 καί ῥ' ... καλὰς] τῶν δ' ... πλεκτὰς Pollux V 96. || στεφάνας] hic et h. VI 7 capitis ornamentum muliebre indicat (epitheton ἐυστέφανος saepius), cf. Helbig Hom. Epos[1]

εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
οἳ δ᾽ ὁτὲ μὲν ᾿θρέξασκον ἐπισταμένοισι πόδεσσι
ῥεῖα μάλ᾽, ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσι 600b = ε 234
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσι·
ἄλλοτε δ᾽ αὖ ᾿θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
πολλὸς δ᾽ ἱμερόεντα χορὸν περιίσταθ᾽ ὅμιλος [sqq.
604a 605b τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ᾽ αὐτοὺς 604-606 = δ 17 604 = ν 27
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
ἐν δ᾽ ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο 607b = Φ 195
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ ἔτευξε σάκος μέγα τε στιβαρόν τε,
᾿τεῦξ᾽ ἄρα Ϝοι θώρηκα φαεινότερον πυρὸς αὐγῆς,
᾿τεῦξε δέ Ϝοι κόρυθα βριαρὴν κροτάφοις᾽ ἀραρυῖαν,
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκε, 612 cf. Ι 187
᾿τεῦξε δέ Ϝοι κνημῖδε Ϝεανοῦ κασσιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ᾽ ὅπλα ᾿κάμε κλυτὸς ἀμφιγυήεις,
μητρὸς Ἀχιλλῆος ᾿θῆκε προπάροιθεν ἀείρας.
ἡ δ᾽ ἴρηξ ὣς ἆλτο κατ᾽ Οὐλύμπου νιφόεντος,
τεύχεα μαρμαίροντα παρ᾽ Ἡφαίστοιο φέρουσα. 617 cf. 137

604b μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
φορμίζων·
597 sq. Aristoph. om., Ar. —

p. 157; alia vis vocis est *H* 12 etc. et *N* 138. || *μαχαίρας*] vid. ad *Γ* 271.

599 *᾿θρέξασκον*] forma suspecta redit vs. 602, cf. *N* 409 et § 310; Naber *ῥήξασκον* coll. vs. 571.

600] de rota figulari locus notabilis, aetatem recentiorem prodens; cf. Strab. VII p. 303.

601 *κεραμεύς*] †.

602 *᾿θρέξασκον*] vid. ad vs. 599.

604 *τερπόμενοι*] sic Ar., *-νος* olim alii, nunc Mor. et Athen. V p. 181 *d*.

604b sq. *μετὰ — φορμίζων*] addit Athenaeus l. l. (cf. *δ* 17 sq.), ab Aristarcho deleta esse perhibens; desunt in mss. Homericis. Textui inseruit Wolf, quem temere Athenaeo credidisse ostendit Ludwich Arist. I p. 439 sq.; similis est versuum *I* 458-461 condicio.

605 *κατ᾽ αὐτούς*] *καθ᾽ αὐτούς* male grammaticus quidam apud Athen. V p. 180 *e*.

606 *ἐξάρχοντες*] sic Ar., *-ντε* H, *-ντος* Athenaeus poscit l. l., item *δ* 19; sic ad *cantorem* referendum esset participium, *μολπή* igitur non *ludum* (saltationem) significaret sed *cantum*; cf. *ἔξαρχοι* *Ω* 721 et vid. ad *Λ* 458. Vulgatam Lucianus de Salt. 13 recte interpretatur *saltatores duos ἡγουμένους τοῦ χοροῦ*.

609 *ἔτευξε*] *τεῦξε* mss.

611 *κόρυθα*] *κυνέην* G Barocc.

612 *χρύσεον*] cf. § 18 et 61.

613 **κνημῖδε*] *κνημῖδας* mss. || *κασσιτέροιο*] stanno *obductas* puta; vid. *Λ* 25 *Ψ* 561.

614 *ὅπλα*] vid. ad *Θ* 55. || *ἀμφιγυήεις*] vid. ad *Λ* 607.

617 *τεύχεα μαρμαίροντα*] Verg. Aen. VIII 616 vertit: *arma ... radiantia*. || *μαρμαίροντα ... φέρουσα*] *καλὰ φέρουσα ... ἄνακτος* (= vs. 137) olim alii, nunc pap. 107 et codd. complures.

ΙΛΙΑΔΟΣ Τ.

Μήνιδος ἀπόρρησις.

Ἠὼς μὲν κροκόπεπλος ἀπ᾽ Ὠκεανοῖο ῥοάων   1ª = Θ 1
ὤρνυθ᾽, ἵν᾽ ἀθανάτοισι φάος φέροι ἠδὲ βροτοῖσι·   2 = Λ 2
ἡ δ᾽ εἰς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
ηὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱὸν
κλαίοντα λιγέως· πολέες δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
᾽μύρονθ᾽. ἡ δ᾽ ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἐν τ᾽ ἄρα Ϝοι ᾽φῦ χειρὶ Ϝέπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·   7 = Ζ 253
„τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ   8ª cf. Ι 254
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητ᾽ ἐδαμάσθη·   8ᵇ = Σ 112
τύνη δ᾽ Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο
καλὰ μάλ᾽, οἷ᾽ οὔ πώ τις ἀνὴρ ὤμοισ᾽ ἐφόρησε."
ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε᾽ ἔθηκε
πρόσθεν Ἀχιλλῆος· τὰ δ᾽ ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ᾽ ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη   14ᵇ cf. Χ 136
ἄντην εἰσϜιδέμεν, ἀλλ᾽ ἔτρεσαν. αὐτὰρ Ἀχιλλεὺς
ὡς ἔϜιδ᾽, ὣς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ Ϝοι ὄσσε   16ª cf. Ξ 294
δϜεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάενθεν·   16ᵇ sq. cf. 365 sq.

---

1 sq. Ἠὼς — ὤρνυθ᾽] cf. Verg. Aen. IV 129 *Oceanum interea surgens Aurora reliquit.*

2 φάος § 71] φόως mss.

3 ἡ] *Thetis,* vid. Σ 616 sq.

4 ὃν] vitiosum pro Ϝόν. Heyne χύμενον περὶ Ϝόν coll. Τ 284 Θ 527, Bekker περικείμενον υἱὸν ἑῆα (quae forma accusativi non extat).

9 θεῶν ἰότητ᾽(ι)] l. a. θεοῦ ὑπὸ χειρί. || ἰότητ᾽ ἐδαμάσθη] -τι δ. mss.

11 ὤμοισ᾽ ἐφόρησε] -σι φ. mss.

14 ἕλε τρόμος] ἕλεν φόβος Zen.; cf. Σ 247.

15 εἰσϜιδέμεν § 126] εἰσιδέειν mss.

17 βλεφάρων] -ροις A² Harl. Barocc. || ἐξεφάενθεν] -άανθεν Ar., sic aut -αάνθη mss. (de singulari vid. ad *Μ* 466).

'τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶ Ϝῆσι 'τετάρπετο δαίδαλα λεύσσων,
αὐτίκα μητέρ' ἑϜὴν Ϝέπεα πτερόεντα προσηύδα·
„μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς 'πόρεν οἷ' ἐπιϜεικὲς
Ϝέργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ' ἦ τοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς — 23^{b}sq.^{a} = K 38 sq.
δέδϜια μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς
εὐλὰς ἐγγείνωνται, ἀϜεικίσσωσι δὲ νεκρόν — — 26^{b} = Π 545
ἐκ δ' αἰὼν πέφαται — κατὰ δὲ χρόα πάντα σαπήῃ.“
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα· — 28 = Σ 127
„τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων. — 29 cf. Σ 463
τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκέμεν ἄγρια φῦλα,
μυίας, αἵ ῥά τε φῶτας Ἄρηι φατοὺς κατέδουσι· — 31 cf. Ω 415
ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς, — 34 cf. α 272
μῆνιν ἀποϜϜειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,
αἶψα μάλ' εἰς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν.“ — 36^{b} cf. I 231
ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκε, — 37^{b} cf. P 156
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν — 38 sq. cf. 347 sq.
'στάξε κατὰ ῥινῶν, ἵνα Ϝοι χρὼς ἔμπεδος εἴη. — 38^{b} cf. ε 93 h. Ven. 207

32 εἴ περ γὰρ κέεταί γε τελεσφόρον εἰς ἐνιαυτόν, — 32^{b} = δ 86 κ 467 ξ 292 ο 230
αἰεὶ τῷ γ' ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων.

18 *ἐν χείρεσσιν ἔχων*] l. a. *ὀφθαλμοῖσιν ὁρῶν*. Vulgatam legit Vergilius Aen. VIII 619 sic vertens: *interque manus et bracchia versat.*

19 *'τετάρπετο*] *ἐτάρπετο* G L^{1} fortasse recte.

20 *μητέρ' ἑϜὴν* PKnight] *μητέρα ἣν* mss. metro peringrato.

21 *ὅπλα*] vid. ad Θ 55.

22 *ἄνδρα*] *ἀνδρὶ* Naber coll. Σ 362.

24 *δέδϜια* § 168] *δείδω* mss. || *ἄλκιμον*] l. a. *ἀγλαόν*. || *υἱὸν*] non participii *καδδῦσαι* est obiectum, sed cum verbo *ἀϜεικίσσωσι* mente est iungendum.

25 *χαλκοτύπους*] †. || *ὠτειλὰς*] vid. ad Δ 140.

26 *ἐγγείνωνται*] *ἐγγίνωνται* Zen.

27 *ἐκ — πέφαται*] *vita ex eo est expulsa*; item h. Merc. 42. || *σαπήῃ*] sic Ar., *σαπείη(ι)* mss. multa; cf. X 73.

29 *τοι*] *μοι* C Mosc.; cf. η 208. || *μετὰ*] *ἐνὶ* Nauck.

30 *ἀλαλκέμεν* Aristoph. D Barocc.] *-κεῖν* mss. cett.; cf. § 125.

32 sq.] delevimus.

32 *εἴ* Eust. Harl.] *ἢν* mss. cett.; cf. § 326. || *κέεται* § 169] *κῆται* vel *κεῖται* mss. De syllaba *κε-* pro *κει-* vid. § 17. || *τελεσφόρον εἰς ἐνιαυτὸν*] locutio Odysseae (et hymnis) propria Iliadis hoc uno loco occurrit.

33 *γ'*] *δ'* mss. complura; cf. X 420.

34 *σύ γ'*] *γὰρ* D.

35 *ἀποϜϜειπὼν*] vid. § 27.

38 sq.] Aegyptiorum morem condiendi corpora poetae cognitum fuisse ex hoc loco iure effecit Heyne coll. Herod. II 86; vid. ad H 85.

39 *'στάξε*] verbum nonnisi in vicinia (vs. 348, 354) redit; cf. *ἐνστ.* β 271. || *ῥινῶν*] absurde *βυρσῶν* interpretabantur quidam a voce *ῥινός* *cutis* derivantes (vid. E 308 etc. et ad α 198). || Versum *ἣ μὲν ἄρ' ὣς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα* subiungunt H Harl. Mosc., olim alii (vid. Ludwich Arist. I p. 441).

αὐτὰρ ὃ ’βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς
σμερδαλέα ϝιϝάχων, ὦρσεν δ’ ἥρωας Ἀχαιούς.
καί ῥ’ οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶν’ ἐμένεσκον, 42 cf. Π 239
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήια νηῶν
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες,
καὶ μὲν τοὶ τότε γ’ εἰς ἀγορὴν ἴσαν, οὕνεκ’ Ἀχιλλεὺς 45ᵇ sq. = Σ 247 sq.
ἐξεφάνη, δϝηρὸν δὲ μάχης ἐπέπαυτ’ ἀλεγεινῆς.
τὼ δὲ δύω σκάζοντε ’βάτην Ἄρεος θεράποντε,
Τυδεΐδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεὺς,
ἔγχε’ ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά· 49ᵃ cf. Ξ 38
κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντε.
αὐτὰρ ὃ δεύτατος ἦλθε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀϝολλίσθησαν Ἀχαιοὶ,
τοῖσι δ’ ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„Ἀτρεΐδη, ἦ’ ἄρ τι τόδ’ ἀμφοτέροισιν ἄρειον
ἔπλετο, σοὶ καὶ ἐμοὶ, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ
θυμοβόρῳ ἔριδι ’μενεήναμεν εἵνεκα κούρης.
τὴν ὄφελ’ ἐν νήεσσι κατακτάμεν’ Ἄρτεμις ἰῷ,
ἤματι τῷ ὅτ’ ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τῷ κ’ οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας 61ᵇ = Ω 738 χ 269
δυσμενέων ὑπὸ χερσὶν, ἐμεῖ’ ἀπομηνίσαντος. 62ᵇ = Ι 426
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
δϝηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀίω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ, 65 sq. = Σ 112 sq.
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
νῦν δ’ ἦ τοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν’· ἀλλ’ ἄγε θᾶσσον

---

40 θαλάσσης] l. a. ποδάρκης.
41 ἥρωας] ἐρίηρας Rhian. Aristoph.
42 ἀγῶν’ ἐμένεσκον] -νι μένεσκον (γένοντο C) mss.
43 sq.] hos versus delet Renner; constructio est impedita, quapropter Axt coniecit οἵ γε κυβερνῆται μὲν ἔχον.
44 δοτῆρες] vid. ad Θ 325.
45 *μὲν τοὶ] μὴν οἱ mss.; cf. § 18.
47 Ἄρεος] Ἄρεως mss. pauca.
49 ἔγχε’ § 71] ἔγχει mss. || ἕλκεα] ἄλγεα mss. pauca. Cf. Π 523.
50 κιόντε L Vrat.] κιόντες mss. cett.
56 ἄρειον] ὄνειαρ liber Chius, ἄμεινον Massil.
62 ἐμεῖ’ § 92] ἐμεῦ mss. || ἀπομηνίσαντος] ἐπιμ. Chamaeleon; at vid. Ι 426 et ad Β 772.
67 ἦ τοι] ἤδη Apoll. lex. || μὲν ἐγὼ παύω] παύω μὲν ἐγὼ C. || με] σε Apoll. lex.
68 ἀσκελέως] vid. ad κ 463.

ὄτρυνον πόλεμόνδε κάρη κομάοντας Ἀχαιούς, 69 cf. Β 443 · 69a cf. Β 589
ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθών, 70 cf. Υ 352
αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰανέμεν· ἦ τιν' ὀίω
ἀσπασίως αὐτῶν γόνυ καμψέμεν, ὅς κε φύγῃσι 72 sq. cf. Η 118 sq.
δηίου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο."
ὣς ἔφαθ', οἳ δ' ἐχάρησαν ἐυκνήμιδες Ἀχαιοί. 74a = Γ 111
τοῖσι δὲ καὶ μετέϝειπε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, 78 = Β 110
ἑσταότος μὲν καλὸν ἀκουέμεν', οὐδὲ ϝέϝοικε
ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένῳ περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι
ἢ ϝείποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής. 82b = Β 246
Πηλεΐδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἳ ἄλλοι
σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ϝέκαστος.
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔϝειπον,

75 μῆνιν ἀπειπόντος μεγαθύμου Πηλεΐωνος.
77 αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς· 77a cf. ν 56 φ 420
77 Zen. om.

69 κομάοντας § 191] κομόωντας mss.
70 ἀντίος] -ον Ar. (? cf. Ζ 54) et mss. complura.
71 ἰανέμεν' § 125] -ειν mss. || *ἦ τιν' ὀίω] ἀλλά τιν' οἴω mss.; cf. § 295.
72 ἀσπασίως] ἀσπάσιον Cobet; vid. ad Σ 270. || αὐτῶν] novicium; cf. § 98, αὐτὸν D Z Vat., IMHoogvliet ὀλίγον coll. Λ 547. || καμψέμεν' § 125] -ψειν mss. || ὅς] αἴ L et l. a. apud Eust.
73 δηίου] φεύγων A C; cf. Η 119.
74 ἐχάρησαν] ὁμάδησαν vHerwerden; cf. Τ 81 α 365 Β 96.
75] del. Bentley. || ἀπειπόντος] sic (ἔξω τοῦ ο) etiam Ar., neglecto ϝ (cf. Α 555 α 91); Heyne dubitanter ἀποϝϝειπόντος ἀγαυοῦ coll. Τ 35 (vid. § 27).
76 sq.] sic Aristoph. Ar. mss.; libri Massil. et Chius τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων, | μῆνιν ἀναστενάχων καὶ ὑφ' ἕλκεος ἄλγεα πάσχων (Nauck πέσσων), item Zen. omisso versu 77 (e ν 56 fortasse nato), quem ab Aristarcho perperam insertum (immo toleratum) esse statuit Alexander Cotyaënsis; vid. ad vs. 79.
79 ἑσταότος] l. a. ἑσταότως (absurde). Vert. *eius qui ad verba facienda surrexit*, i. e. *oratoris* (Heyne); Aristarchus putabat Agamemnonem dicere: *ignoscite mihi quod sedens vos alloquar, sed vulnus stare me non sinit*, ab Alexandro Cotyaënsi ideo iure reprehensus: manu enim, non pede Agamemnonem laborare (cf. Λ 252); ipsam autem manum, qua heros mox (Τ 266) hostiam mactet, satis iam convaluisse videri. || μὲν] γὰρ Apoll. lex. || ἀκουέμεν'] -ειν Ar. et mss. pauca; cf. ο 393 et § 125.
80 ὑββάλλειν] cf. § 10. Ar. et Apollonius interpretabantur *suggerere*, melius Sidonius et Alexander Cotyaënsis *interpellare* (ὑποκρούειν, *subicere* Verg. Aen. III 314) collato adverbio ὑποβλήδην Α 292. Non redit verbum ita adhibitum (κ 353 sensu vulgari). || ἐπισταμένῳ περ ἐόντι Ar.] -νον περ ἐόντα mss. Apoll. lex. (item Alexander Cotyaënsis?) non recte; vert.: *vel perito enim oratori id molestum est.* — Raro verbi εἶναι participium alteri participio iungitur; item Eur. Hec. 358 Ar. Ran. 721.
82 βλάβεται] vid. § 244.
83 ἐνδείξομαι] comp. †; supple τὴν γνώμην (Herod. VIII 141).
85 τοῦτον] corruptum aut lacunae vicinae indicium censet vHerwerden.

καί τέ μ᾽ ἐνεικείεσκον· ἐγὼ δ᾽ οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ μοῖρα καὶ ἠεροφοῖτις ἐρινύς,
οἵ τέ μοι ἐν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην
ἤματι τῷ ὅτ᾽ Ἀχιλλῆος γέρας αὐτὸς ἀπέϝραν.
ἀλλὰ τί κε ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
πρέσβα Διὸς θυγάτηρ Ἀάτη, ἣ πάντας ἄασσε, 91 cf. 129
ὀλομένη· τῇ μέν θ᾽ ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ᾽ οὔδει
πίλναται, ἀλλ᾽ ἄρα ἥ γε κατ᾽ ἀνδρῶν κράατα βαίνει
βλάπτουσ᾽ ἀνθρώπους· κατὰ δ᾽ οὖν ἕτερόν γ᾽ ἐπέδησε.
καὶ γάρ δή νύ ποτε Ζῆν᾽ ἄασε, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ᾽ ἔμμεναι· ἀλλ᾽ ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃ ἀπάτησε
ἤματι τῷ ὅτ᾽ ἔμελλε βίην Ἡρακλεεείην
Ἀλκμήνη τέξεσθαι ἐυστεφάνῳ ἐνὶ Θήβῃ.
ἦ τοι ὅ γ᾽ εὐχόμενος μετέφη πάντεσσι θεοῖσι·
‚κέκλυτέ μοι, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι, 101 sq. = Θ 5 sq.
ὄφρ᾽ ἔσπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φάοσδε μογοστόκος Εἰλείθυια 103ᵇ = Π 187

94 Ar. —

86 *μ᾽ ἐνεικείεσκον*] *με νεικείεσκον* mss., *με νεικείουσιν* Aristoph. cum libro Chio.

87 *ἠεροφοῖτις*] cf. *I* 571. Quidam legebant (*ε*)*ἰαροπῶτις*, in dialecto Cyprica *sanguinis avidam* id significare perhibentes.

88 *ἐν* § 315] *εἰν* mss. || *ἄτην*] pro *ἀάτην* ferendum videtur in recentissima hac carminis parte ex Heraclea fortasse quadam inserta (vs. 88-136 del. PKnight, vs. 75-133 Heyne). Cf. *οὔδει* vs. 92. Etiam adi. masc. *ἄγριον* suspectum (cf. § 53); Sittl coniecit *ἀάτην φρεσὶν ἔμβαλον αἰνήν*.

89 *ἀπέϝραν* § 150] *ἀπηύρων* mss.

90 *κε* Ar.] *κεν* mss. || *θεὸς διὰ πάντα τελευτᾷ*] in simplicibus his verbis (*deus omnia perficit*) mire errarunt veteres; Hellanicus *θεόσδια* interpretabatur *θεόσδοτα*, Lesbocles legebat *θεὸς δ᾽ ἴα* (*dea una*); alias lectiones commemorat Didymus *θεοὺς διὰ πάντα τελευτᾷ* et *θεοὺς διὰ πάντα τέτυκται*.

91-94] simillima est allegoria *I* 502-512.

91 *Ἀάτη*] *Ἄτη* mss. || **ἄασσε*] *ἀᾶται* mss. Cf. *Θ* 237 *κ* 68 *λ* 61 *φ* 296. Nauck *ἄασε πάντας*. Medium hinc alienum, item vs. 95 et 129.

92 *ὀλομένη* § 21] *οὐλ.* mss. || *τῇ*] sic Ar., *τῆς* olim alii, nunc Z et Plat. Symp. 195 *d*. || *οὔδει*] forma novicia, vid. § 71 et ad vs. 88; *οὔδεος* Plat. l. l.

93 *ἀλλ᾽ ἄρα ἥ γε*] hiatus vitiosus; Cauer coniecit *ἀλλὰ* (*ϝ*)*αραιὴ ἐπ᾽* coll. *E* 425 *Σ* 411, Bentley *ἀλλὰ γὰρ ἥ γε* vel *ἠερίη δὲ*, Duentzer *ἀλλ᾽ ἄτη* (*ἀάτη*) *γε*, vHerwerden *ἀλλ᾽ ἄρ᾽ ἀεί γε*, Naber *ἀλλὰ ῥέ᾽ ἥ γε*. || *κράατα*] cf. § 82.

95 *ἄασε* Nauck] *ἄσατο* mss.; cf. vs. 91. Ar. *Ζεὺς ἄσατο* (leg. *ἀάσαθ᾽*) *ὅν*.

96 *φασ᾽*] *φαμεν* liber Chius. — De his verbis a prisci poetae arte alienis vid. ad *B* 783. || *ἀλλ᾽ ἄρα*] *ἀλλά νυ* Aristoph.

97 *δολοφροσύνῃ* Vrat.] *-νης* mss. cett.

98 *Ἡρακλεεείην* § 73] *-κληείην* mss.

99 *ἐυστεφάνῳ*] *bona corona murali* (i. e. *bonis muris*) *praedita*. Ceteris locis epitheton a voce *στεφάνη ornamentum muliebre* derivatur; vid. ad *Σ* 597.

101 **μοι*] *μευ* mss.; vid. *Α* 37 et § 92.

102 *ἔσπω* § 246] *εἴπω* mss. Cf. *H* 68. || *στήθεσσιν ἀνώγει*] *-σσι κελεύει* mss. complura.

103 *φάοσδε* Dionys. de Comp. verb. 19] *φόωσδε* mss.; cf. § 71. || *μογοστόκος*] cf. *Λ* 270.

ἐκφανέει, ὃς πᾶσι περικτιόνεσσι Ϝανάξει, 104 cf. 109
τῶν ἀνδρῶν γενεῆς οἵ θ' αἵματος ἐξ ἐμοῦ εἰσι.'
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· 106 = Ξ 300
‚ψεύστης ἔσσ', οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις. 107ᵇ cf. Υ 369
εἶ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσι Ϝανάξειν, 109 cf. 104
ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
τῶν ἀνδρῶν οἵ σοῖ' ἐξ αἵματός εἰσι γενέθλη.'
ὣς ἔφατο· Ζεὺς δ' οὔ τι δολοφροσύνην ἐνόησε,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀίξασα 'λίπε ῥίον Οὐλύμποιο, 114 = Ξ 225
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιικόν, ἔνθ' ἄρ' ἐϜείδει
ἰφθίμην ἄλοχον Σθενέλου Περσηιάδαο.
ἣ δ' ἐκύει φίλον υἱόν, ὃ δ' ἕβδομος εἱστήκει μείς·
ἐκ δ' ἄγαγεν πρὸ φάοσδε καὶ ἠλιτόμηνον ἐόντα, 118ᵃ cf. Π 188
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, 'σχέθε δ' εἰλειθυίας.
αὐτὴ δ' ἀγγέλλουσα Δία Κρονίωνα προσηύδα·
‚Ζεῦ πάτερ, ἀργικέραυνε, Ϝέπος τί τοι ἐν φρεσὶ θήσω. 121ᵇ = h. Ap. 257
ἤδη ἀνὴρ γέγον' ἐσθλός, ὃς Ἀργείοισι Ϝανάξει,
Εὐρυσθεύς, Σθενέλοιο πάις Περσηιάδαο,
σὸν γένος· οὔ Ϝοι ἀϜεικὲς ἐν Ἀργείοισι Ϝανάσσειν.'
ὣς 'φάτο, τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα 'τύψε βαθεῖαν.

---

104 *ἐκφανέει, ὃς πᾶσι* dubitanter IMenrad] *ἐκφανεῖ, ὃς πάντεσσι* mss., cf. § 147.

105 *θ'*] om. Aristoph. || *ἐμοῦ* l. a. apud Apollon. Pron. 137] *ἐμεῦ* (id est *ἐμέ'*, § 92) mss. Vid. *ν* 130 et ad *Ξ* 118.

106 *προσηύδα*] *-δαε*? vid. § 191.

107 *ψεύστης ἔσσ'*] *ψευστήσεις* (†) Ar. mss., *ψεύστης εἶ(ς)* olim alii. De adi. *ψεύστης* vid. *Ω* 261, de forma *ἔσσ'* § 302. || *μύθῳ*] *μύθου* (*μύθοι'*) D.

108 *εἶ'*] *εἰ δ'* mss., vid. § 328.

111 **σοῖ' … γενέθλη*] *σῆς … γενέθλης* mss. (ut *ν* 130). Cf. *E* 270 *T* 105.

114 *'λίπε ῥίον Οὐλύμποιο*] secundum Aristarchum aptius in ore Agamemnonis fuisset *λίπ' οὐρανὸν ἀστερόεντα.*

115 *ἄρ' ἐϜείδει*] *ἄρα ἤδη* (*-ει*) mss.

117 *εἱστήκει*] *ἑστ.* mss. complura. || *μείς*] *μής* liber Chius. Nominativus h. Merc. 11 redit.

118 *πρὸ φάοσδε* § 71] *πρὸ φόωσδε*. Vert. *in lucem*, Ar. male interpretabatur *ante tempus legitimum*. Cf. *Π* 188. || *ἠλιτόμηνον*] adi. †; hinc Bentley correxit Hes. Scut. 91 *Εὐρυσθῆ' ἠλιτόμηνον* pro *ἀλιτήμενον Εὐρυσθῆα*, Fick autem Odyss. p. 328 utrobique Aeolicam formam *ΑΛΙΤΕΜΕΝΟΝ* (*ἀλλιτέμηννον*) olim lectam fuisse putat.

120 *ἀγγέλλουσα* Nauck] *ἀγγελέουσα* mss., item Ar., qui participium futuri nonnisi *movendi* verbo iunctum ab Homero usurpari observavit.

124 *ἐν Ἀργείοισι Ϝανάσσειν* Bentley Dawes coll. *η* 62] mss. *ἀνασσέμεν Ἀργείοισι* (*ἀνθρώποισι* Genev. Et. M. 21,53, idem olim legebant alii).

125 *ὀξὺ*] *βαθὺ* C. || *κατὰ φρένα … βαθεῖαν*] cf. Verg. Aen. I 26 *alta mente* (*repostum*). || *'τύψε*] *'δῦνε?

αὐτίκα δ' εἷλ' Ἀάτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶ Ϝῆσι, καὶ ὤμοσε καρτερὸν ὅρκον — 127^{b} cf. δ 253 κ 381 μ 298 σ 55
μή ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἀάτην, ἣ πάντας ἄασσε. — 129 cf. 91
ὣς Ϝειπών Ϝ' ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος — 130^{b} = υ 113
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο Ϝέργ' ἀνθρώπων.
τὴν αἰεὶ 'στενάχεσχ', ὅθ' ἑϜὸν φίλον υἱὸν ὁρῷτο
Ϝέργον ἀϜεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων. — 133^{b} = Θ 363
ὣς καὶ ἐγών, ὅτε δ' αὖτε μέγας κόρυθ' αἰόλος Ἕκτωρ
Ἀργείους ὀλέκεσκεν ἐπὶ πρυμνῇσι νέεσσι, — 135^{b} = Ν 333
οὐ 'δυνάμην λελαθέσθ' ἀάτης, ᾗ πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην καί μοι φρένας ἐξέλετο Ζεύς, — 137^{a} = Ι 119, 137^{b} cf. Ζ 234
ἂψ ἐθέλω σ' ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα. — 138 cf. Ι 120
ἀλλ' ὄρσο πτόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς· — 139^{a} = Δ 264, 139^{b} = Ο 475
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν', ὅσσα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ Ἄρηος· — 142 cf. α 309
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες — 142^{a} = ρ 277 h. Cer. 160, 142^{b} = 189
οἴσουσ', ὄφρα Ϝίδηαι ὅ τοι μενοϜεικέα δώσω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· — 145 sq. = 198 sq.
„Ἀτρεΐδη κύδιστε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον, — 146 = Β 434
δῶρα μέν, αἴ κ' ἐθέλῃσθα, παρασχέμεν', ὡς ἐπιϜεικές,

136—140 (immo 137—141) in Genevensi obelis sunt notati.

126-326] in A interciderunt; manus recentior supplevit textum additis scholiis B.

126 *Ἀάτην*] *Ἄτην* mss. || *λιπαροπλοκάμοιο*] †, cf. *λιπαροκρήδεμνος* Σ 382.

129 *Ἀάτην*] *Ἄτην* mss. || **ἄασσε*] *ἀᾶται* mss.; vid. ad vs. 91.

130 *Ϝ'] addidimus.

131 *Ϝέργ' ἀνθρώπων*] *res hominum* huius loci poeta voluisse videtur, cf. *P* 549 sq.; sed *Π* 392 et *M* 283 (*ἀνδρῶν Ϝέργα*) *hominum arva.*

132 *τὴν ... 'στενάχεσχ'*] cf. δ 261.

135 *ὀλέκεσκεν* D Harl. Mor.] *ὤλεσκεν* (cf. ξ 220) vel *ὀλέεσκεν* mss. cett. An **ὤλλυσκεν*?

136 *ἀάτης*] *ἄτης* mss. || *ᾗ*] *ἣν* vel *τὴν* mss. nonnulla.

137 *μοι* Genev.] *μευ* mss. pleraque, cf. Σ 311 et § 92; *με* D H Barocc. non male, sed dativum magis commendant versus *Z* 234 *I* 377. || Secundum Eustathium Dioscurides addebat *ἢ οἴνῳ μεθύων ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί* (item *I* 119 teste Athenaeo).

138 *σ'] addidimus; cf. *I* 120.

139 *ὄρσο πτόλεμόνδε* Nauck] *ὄρσευ πόλ.* mss.; cf. § 117.

140 *ἐγὼν ὅδε*] *ἐγὼ τάδε* mss. pauca; cf. φ 207 χ 367. || *παρασχέμεν'*] *-σχεῖν* mss. pleraque; cf. § 125.

141 *χθιζὸς*] *tertia* abhinc nocte legatio ad exorandum Achillem missa fuerat, nox igitur prior pars *τοῦ νυχθημέρου* habetur more antiquo, item vs. 195.

143 *παρὰ*] *ἀπὸ* Syr. Vrat.

145] *τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς* Syr.

147 sq. *αἴ κ' ... ἤ τ'*] *εἴ τ' ... εἴ* (sic mss. pauca) *τ'* proponitur apud Nauckium.

ἤ τ' ἐχέμεν· πάρα σοί. νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ', — οὐ γὰρ χρὴ κλοτοπευέμεν' ἐνθάδ' ἐόντας
οὐδὲ διατρίβειν, ἔτι γὰρ μέγα Ϝέργον ἄρεκτον —
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισι Ϝίδηται
ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας. 152ᵇ = Θ 279
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„μὴ δ' οὕτως, ἀγαθός περ ἐών, θεοϜείκελ' Ἀχιλλεῦ, 155 = Α 131
νήστιας ὄτρυνε προτὶ Ϝίλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχεσσομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτέ κε πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισι.
ἀλλὰ πάσασθαι ἄνωχθι θοῇσ' ἐπὶ νηυσὶν Ἀχαιοὺς
σίτου καὶ Ϝοίνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή. 161 = Ι 706
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα 162 cf. Λ 601
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ περ γὰρ θυμῷ γε μενοινάει πολεμίζειν,
ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι. 166ᵇ = ν 34
ὃς δέ κ' ἀνὴρ Ϝοίνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ, 168ᵇ cf. Λ 279
θαρσαλέον νύ Ϝοι ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι 171ᵇ sq.ᵃ = Ψ 158 sq.
ὁπλεῖσθαι· τὰ δὲ δῶρα Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω εἰς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοὶ
ὀφθαλμοῖσι Ϝίδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.
ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστάς,

---

149 sq.] post vs. 153 collocat Peppmueller, Heyne vero vs. 153 delebat.

149 κλοτοπευέμεν' § 125] -εύειν mss. — Verbum †, cuius etymon ignoratur; conferri potest στρεύγεσθαι Ο 512.

150 ἄρεκτον] †, ἄϜερκτον LMeyer; cf. § 224.

153 ὧδέ] ὣς δέ D H Eust.

157 μαχεσσομένους § 291] μαχησομένους (μαχησαμένους D) mss.

158 εὖτέ κε § 326] εὖτ' ἂν mss.

163 ἄκμηνος] ignotae originis adi. (*ieiunum* significare apparet) nonnisi in vicinia (vs. 207, 320, 346) redit. Diversum est ἀκμηνός ψ 191.

164 μενοινάει § 190 et 191] -νάᾳ mss.

166 βλάβεται] § 244.

172 ὁπλεῖσθαι PKnight] ὅπλεσθαι mss. vitio aperto hic et Ψ 159; cf. ζ 73 et § 144.

174 σῇσιν] ᾗσιν G L Vrat. noto errore. || ἰανθῇς] novicium pro -θήῃς, cf. § 122. Coll. Ν 609 coniecimus χαρήῃς; verbo ἰαίνειν dativus alias non additur, vid. ω 382.

175 ὀμνυέτω] vid. § 145. || ὅρκον] ἔργον D.

μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι· 176 = I 133, 275
καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃσ' ἀρεσάσθω
πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχησθα.
Ἀτρεΐδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.“ 183 cf. Ω 369 π 72
τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
„χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός,
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
τῆος μιμνέτω αὖθι, ἐπειγόμενός περ Ἄρηος· 189ᵇ = 142
μίμνετε δ' ἄλλοι πάντες ἀϜολλέες, ὄφρα κε δῶρα
ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω· 192ᵇ cf. K 61
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρ' ἡμῆς παρὰ νηὸς ἐνεικέμεν', ὅσσ' Ἀχιλῆι

177 ἢ θέμις ἐστί, Ϝάναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν 177 = I 276 cf. I 134

176 τῆς] vid. ad I 133. Hoc loco pronomen quo referatur non habet, quapropter Heyne del. vs. 176 sq., vHerwerden vs. 175-177; sic vero ne vs. 178 quidem potest stare.

177] om. mss. multa. || ἢ] ἢ mss. pauca. || ἤ τ' ... ἤ τε] ἠδ' ... ἠδὲ C Cant. in margine.

179 κλισίῃσ'] -ῃ Lips.

180 ἐπιδευὲς ἔχησθα] locutio (= *careas*) †.

182 sq.] coll. (Ω 369) π 72 apparet ἄνδρα esse *obiectum* verbi ἀπαρέσσασθαι, sintne autem βασιλῆα ἄνδρα (*Achillem*) iungenda (cf. Γ 170) an βασιλῆα sit *subiecti* accusativus (*Agamemnonem* igitur significans) dubitatur. Locis parallelis τις et ἄνδρα eundem hominem spectant; quae cum explicandi ratio hic non valeat (vid. B 378), Bentley coniecit ὅν τε πρότερος, Friedlaender ὅτε μιν πρότερος, alii utrumque versum delent.

183 ἀπαρέσσασθαι] comp. †.

185 σεῦ] pro σεῖο vel σέο novicium, vid. § 92. Coniecimus *χαίρω τὸν μῦθον, Λαερτιάδη, σέ' ἀκούσας.

186 ἐν μοίρῃ] hic et χ 54, alias κατὰ μοῖραν.

188 ἐπιορκήσω πρὸς δαίμονος] verbum †; πρὸς δαίμονος *coram numine*, cf. A 239, 339 sq. Z 456 Π 85. Verba corrupta ducit vHerwerden.

189 *τῆος μιμνέτω αὖθι] μιμνέτω αὖθι τέως περ (δέ, γε, καὶ) mss. — Aristarchum omisisse voculam περ refert Did. in schol. B; at hoc fieri non sinit metrum; quapropter eum καὶ ἐπειγόμενος legisse (sic Vrat.) suspicatur Ludwich Arist. II p. 441. GHermann coniecit μιμνέτω αὐτόθι τῆος. De vocula τῆος vid. § 323.

190 κε] τὰ Syr.

193 κούρητας] hic et vs. 248 pro κούρους; Duentzer contulit γυμνής-γυμνός, recte, si sana est lectio.

194 δῶρ' ἡμῆς (ἀμῆς) Peppmueller] δῶρα ἐμῆς mss. pleraque hiatu vitioso, δῶρα δ' ἐμῆς Syr.[2] Townl. et l. a. apud Eust., θοῆς Strab. X p. 467, δῶρά τ' ἐμῆς Heyne, ἡμετέρης Nauck. Frequenter permutantur ἀμός (vel ut nos scribimus ἡμός, § 95) et ἐμός. || ἐνεικέμεν'] ἐνεγκέμεν H L Lips. Eust., ἐνεγκεῖν Strab. l. l. Ceteris locis Homericis (Σ 334 σ 286) legitur ἐνεῖκαι.

χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν 196ᵇ = Α 229
κάπρον ἑτοιμασάτω, ταμέμεν Διί τ' Ἠελίῳ τε."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 198 sq. = 145 sq
„Ἀτρεΐδη κύδιστε, ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφείλετε ταῦτα πένεσθαι,
ὁππότε τις μετὰ πανσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ἧσιν ἐνὶ στήθεσσιν ἐμοῖσι.
νῦν δ' οἳ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσε
Ἕκτωρ Πριαμίδης, ὅτε ϝοι Ζεὺς κῦδος ἔδωκε, 204 = Θ 216 Λ 300
ὗμες δ' εἰς βρωτὺν ὀτρύνετον. ἦ κεν ἐγώ γε
νῦν μὲν ἀνώγοιμι πτολεμιζέμεν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ' ἠελίῳ καταδύντι 207ᵇ = Λ 592
τεύξασθαι μέγα δόρπον, ἐπεὶ τισώμεθα λώβην.
πρὶν δ' οὔ πώς κεν ἐμοί γε φίλον κατὰ λαιμὸν ἰείη
οὐ πόσις οὐδὲ βρῶσις ἑταίρου τεθνηῶτος,
ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέι χαλκῷ 211ᵇ cf. Σ 236
κεῖται, ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
μύρονται· τῷ μ' οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλε,
ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
„ὦ Ἀχιλεῦ, Πηλῆος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν, 216 = Π 21
κρείσσων ἔσσ' ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχε', ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην

195 χθιζὸν] χθιζοὶ Strab. l. l. De re vid. ad vs. 141. || τε] δὲ D Eust.

197 ταμέμεν § 126] ταμέειν mss.

200 ὀφείλετε Nauck] ὀφέλλετε mss.; cf. § 273.

201 πανσωλὴ] nonnisi *B* 386 redit vox. Mss. pleraque μεταπανσωλὴ, vid. ad *P* 373.

202 ἧσιν] novicium pro ἔησιν, cf. § 302; *εἴῃ? an *οὐ τόσσον μοι ἐνὶ στήθεσσιν ἔησι? Menrad οὐκ ἐνέησι τόσον ἐν στήθεσ' ἐμοῖσι. Sed spurius fortasse est versus.

205 ὗμες § 92] ὑμεῖς mss. || δ' εἰς] l. a. δὲ. || ὀτρύνετον] ad *Agamemnonem* et *Ulixem* referri potest dualis, sed probabiliter La-Roche coniecit ὀτρύνετε; cf. vs. 306. || κεν § 326] τ' ἂν mss.

206 πτολεμιζέμεν' § 125] πτολεμίζειν vel πολεμίζειν mss.

207 ἀκμήνους] cf. vs. 163.

208 τεύξασθαι] -ξεσθαι mss. pleraque; Naber mavult τεύχεσθαι. || ἐπεὶ § 326] ἐπὴν mss. || τισώμεθα Thiersch] τισαίμεθα mss.

209 κεν § 326] ἂν mss. || ἰείη § 308] ἱείη mss. nonnulla, ἴῃναι C.

210 ἑταίρου] -ροο? vid. § 59. || τεθνηῶτος] -ειῶτος mss. multa; cf. § 160.

211 κλισίῃ] -ης Syr. || ὀξέι] αἴθοπι D.

213 τῷ μ(οι) Cant. Vat.] τό μοι mss. cetera; cf. § 96. || μετὰ] ἐνὶ Nauck.

216 Πηλῆος Barnes (sic Ar. *Π* 21)] Πηλέος vel -έως mss. || υἱὲ] vid. § 17. || φέρτατ'] κῦδος Plut. Mor. 35 *b*.

217 ἔσσ' § 302] εἷς vel εἶς mss.

218 sq.] ad exemplum versuum *N* 355 *Φ* 440 ab interpolatore insertos esse suspicatur Christ.

218 ἔγχε' § 71] ἔγχει mss. || γε] κε(ν) mss.

πολλόν, ἐπεὶ πρότερος ᾿γενόμην καὶ πλείονα ϝοῖδα. 219 cf. N 355 Φ 440
τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσι. 220ª = Ψ 591
αἶψα δὲ φυλόπιδος πέλεται κόρος ἀνθρώποισι,
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευε,
ἄμητος δ' ὀλίγιστος, ἐπεὶ κλίνῃσι τάλαντα
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται. 224 = Δ 84
γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς· 225ª cf. ρ 286
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο; 227ᵇ cf. O 235
ἀλλὰ χρὴ τὸν μὲν καταθαπτέμεν', ὅς κε θάνῃσι,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
ὅσσοι δὲ πτολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
ϝεσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναέσθω, — 234ᵇ cf. η 161
ἥδε γὰρ ὀτρυντύς· κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων, — ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα.“ 237 = Δ 352
ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο,
Φυλεΐδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον.

---

pleraque; cf. Ω 437. || προβαλοίμην] *excellendi* sensu hoc uno loco.

220 μύθοισιν ἐμοῖσι] suspicionem movet dativus verbo ἐπιτλῆναι (quod nonnisi loco parall. redit) adiunctus, inde Nauck καὶ θυμὸς ἀκούειν coniecit.

221-224] sic vert.: *hominibus* (*ieiunis*) *celeriter fit pugnae satietas, in qua aes iam plurimos calamos* (i. e. *homines*) *deiecit, messis* (i. e. *hominum caedes*) *autem rara fit ubi Iuppiter lances inclinavit* (i. e. *alterutri parti victoriam dedit*).

221 δὲ Syr.] τε mss. cett. (cf. α 392).

222 ἧς] ᾗ vHerwerden, imagine poetam hic uti negans. || καλάμην] cf. ξ 214.

223 ἄμητος] † (item Hes. Oper. 384); cf. ἀμητήρ Λ 67. || ἐπεὶ § 326] ἐπὴν mss.

225 πενθῆσαι] cf. § 295.

226-229] vertit Cic. Tusc. III 27 § 65.

226 ἐπήτριμοι] vid. ad Σ 211.

228 καταθαπτέμεν' § 125] -ειν mss.

229 ἐπ' ἤματι] *per totum diem*; redit locutio μ 105 ξ 105, ubi *per* (*unius*) *diei spatium, quotidie* significat. Vid. etiam ad K 48.

230-237] post vs. 214 ferri potuisse, hinc alienos esse, observat Leaf; vs. 233-237 del. PKnight.

230 *δὲ πτολέμοιο] δ' ἂν πολ. mss.; cf. § 326.

232 νωλεμὲς] νηλεὲς D.

234 ὀτρυντὺν] nonnisi vs. sq. redit vox. || ἰσχαναέσθω § 191] -ναάσθω mss.

235] parenthesin indicavit Cauer et post ὀτρυντύς cum Townleiano interpunxit. Vert. *iam enim datum est iussum, male autem mulcabitur quisquis* etc. || ὀτρυντός] vid. ad vs. 234.

236 νηυσὶν ἔπ'] νηυσὶ παρ' mss. nonnulla.

239 Μέγητα] Μέγην τε Zen. (sic Vat.), vid. Ariston. ad K 175 N 692.

239 sq. Μηριόνην τε — Λυκομήδεα] om. C.

'βὰν δ' ἴμεν' εἰς κλισίην Ἀγαμέμνονος Ἀτρεΐδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην 'τετέλεστό τε ϝέργον· 242 cf. h. Merc. 46
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας 'φέρον, οὕς ϝοι ὑπέστη,
αἴθωνας δὲ λέβητας ἐϝείκοσι, δώδεκα δ' ἵππους· 244 = Ι 123
ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ϝέργα ϝιδυίας 245ᵇ = Ι 128
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηίδα καλλιπάρῃον.
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα 247 cf. Ω 232
ἦρχ', ἅμα δ' ἄλλοι δῶρ' ἔφερον κούρητες Ἀχαιῶν·
καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ 'θέσαν, ἂν δ' Ἀγαμέμνων
ἵστατο· Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρεΐδης δὲ ϝερυσσάμενος χείρεσσι μάχαιραν, 252 sq. = Γ 271 sq.
ἥ ϝοι πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄορτο,
κάπρον ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχὼν
ηὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόθι ἥατο σιγῇ
Ἀργέιοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρ' ἔϝειπε ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 257ª cf. Π 513
„ϝίστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, 257ᵇ = Γ 364; 258-260 cf. Γ 276-279
Γῆ τε καὶ Ἠέλιος καὶ ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν 258 = τ 303; 258ª = ξ 158 ρ 155
ἀνθρώπους τίνυνται, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ, 258ᵇ = Ψ 43 [υ 230
261 μὴ μὲν ἐγὼ κούρῃ Βρισηίδι χεῖρ' ἐπένεικα,

262 οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τέ' ἄλλου·

242 ἔπειθ' ἅμα] ἔπειτά γε Plut. Mor. 782c. ‖ ἔην] ἔεν? vid. § 302. ‖ τε Passow coll. ε 262] δὲ mss.

245 ἀμύμονα] -νας mss. complura (sic Zen. Aristoph.? vid. ad Ι 128). ‖ ϝέργα ϝιδυίας] ἔργ' εἰδυίας mss.

246 ἕπτ'... ὀγδοάτην] ἕξ ... ἑβδομάτην Zen. teste Aristonico ad h. l. et ad Ι 131, 638; cf. Ι 130. Quod Zenodotus praeterea vs. 245 ἐκ δ' ἄγεν ἑπτὰ scripsisse fertur in scholio Aristonici ad Ι 131, id librariorum errori tribuendum esse patet; cf. Ludwich Arist. I p. 447.

248 δῶρ' ἔφερον] δῶρα φ. mss. ‖ κούρητες] cf. vs. 193. ‖ Ἀχαιῶν] -οί Vrat. Strab. X p. 467.

251 χερσὶ] χειρὶ mss. pleraque male; vid. ad γ 51.

252 μάχαιραν] vid. ad Γ 271.

253 ἄορτο D G L Lips.] ἄωρτο mss. cett.; cf. § 256.

254] cf. Γ 273.

255 ἄρα] ἅμα Syr. Vrat. ‖ αὐτόθι Bekker] αὐτόφιν mss., cf. Μ 302. ‖ ἥατο § 220] εἵατο (εἴατο) mss.

257 εὐξάμενος] l. a. εὐχόμενος, vid. ad Ι 509. ‖ ἄρ' ἔϝειπε] ἄρα εἶπε(ν) mss.

259 Γῆ] novicium pro Γαῖα; vid. § 58 et ad Γ 104. Menrad γαῖα καί. ‖ αἵ] quidam olim οἵ, sequens τε pro *copula* habentes, Plutonem autem et Proserpinam invocari putantes; vid. ad Γ 279. ‖ γαῖαν] γαίῃ C; γαίης mavult Nauck.

260 τίνυνται] τίνυσθε Nauck.

261 μὴ] vid. ad Κ 330. ‖ ἐπένεικα D H] ἐπενεῖκαι mss. cett.; cf. Κ 330 Ο 42, et de ipsa locutione vid. ad Α 88.

262] del. Nauck; interpolatorem arguit vox πρόφασιν; cf. vs. 302. ‖ οὔτ' ... οὔτε] εἴτ' ... εἴτε l. a. apud Eust.; vid. ad Ο 511. ‖ τέ' § 92] τευ mss.

ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσι.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ ϑεοὶ ἄλγεα δοῖεν [β 197, 223 λ 280
πολλὰ μάλ', ὅσσα διδοῦσιν ὅ τίς σφ' ἀλίτηται ὀμόσσας." 265^{a} cf. α 278, 292
ἦ, καὶ ἀπὸ στόμαχον κάπρου 'τάμε νηλέι χαλκῷ. 266 cf. Γ 292
τὸν μὲν Ταλϑύβιος πολιῆς ἁλὸς εἰς μέγα λαῖτμα
'ρῖψ' ἐπιδινήσας, βόσιν ἰχϑύσιν· αὐτὰρ Ἀχιλλεὺς 268^{a} = Γ 378
ἀνστὰς Ἀργεΐοισι φιλοπτολέμοισι μετηύδα·
„Ζεῦ πάτερ, ἦ μεγάλας ἀάτας ἄνδρεσσι διδοῖσϑα.
οὔ κεν δή ποτε ϑυμὸν ἐνὶ στήϑεσσιν ἐμοῖσι
Ἀτρεΐδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
ἦγεν ἐμεῖ' ἀϜέκοντος ἀμήχανος· ἀλλά ποϑι Ζεὺς
ἤϑελ' Ἀχαιοῖσιν ϑάνατον πολέεσσι γενέσϑαι.
νῦν δ' ἔρχεσϑ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα." 275 = Β 381
ὣς ἄρ' ἐφώνησεν, 'λῦσεν δ' ἀγορὴν αἰψηρήν. 276 = β 257
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑϜὴν ἐπὶ νῆα Ϝέκαστος, 277 = Ψ 3 cf. β 258
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο, 277^{b} = Ω 1
'βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος ϑείοιο·
καὶ τὰ μὲν ἐν κλισίῃσ' ἔϑεσαν, κάϑεσαν δὲ γυναῖκας,
ἵππους δ' εἰς ἀγέλην ἔλασαν ϑεράποντες ἀγαυοί.

Βρισηὶς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέῃ Ἀφροδίτῃ, 282^{b} cf. Ω 699
ὡς 'Ϝίδε Πάτροκλον δεδαϊγμένον ὀξέι χαλκῷ, 283^{b} = Σ 236
ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε 284 cf. ϑ 527
στήϑεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
'Ϝεῖπε δ' ἄρα κλαίουσα γυνὴ ϜεϜικυῖα ϑεῇσι· 286^{b} = Λ 638
„Πάτροκλ', ἐμοὶ δϜειλῇ πλεῖστον κεχαρισμένε ϑυμῷ, 287 cf. Λ 608
ζωὸν μὲν σέ γ' ἔλειπον ἐγὼ κλισίηϑεν ἰοῦσα,

---

263 ἀπροτίμαστος] † (= ἄϑικτος), a verbo μαίομαι (§ 287), cf. ἐπίμαστος υ 377.

265 ὅ τίς] ὅτι vel ὅστις mss. nonnulla, ὅ τέ LaRoche (ut μ 40 π 228 υ 188 χ 415 ψ 66). || σφ'(ι)] de dativo vid. δ 807 Λ 76 al.; non opus est coll. Ω 570, 586 δ 378 ε 108 ξ 406 Hes. Oper. 330 accusativum σφε intellegere dualis numeri pro plurali vitiose adhibiti (cf. § 92).

268 βόσιν] †.

270 ἀάτας] ἄτας mss.

271 sq. οὔ κεν ... ὤρινε] protaseos vice funguntur verba ἀλλά ποϑι Ζεὺς ἤϑελε (=εἰ μή π. Ζ. ἤϑ.) vs. 273 sq.

271 οὔ κεν § 326] οὐκ ἂν mss.

272 ὤρινε] ὤτρυνε C male.

273 ἐμεῖ' § 92] ἐμεῦ mss.

275 ξυνάγωμεν Ἄρηα] vid. ad Β 381.

276 αἰψηρήν] sic Ar. versu par., ubi vid.; λαιψηρήν(-ράν) D Vrat.; cf. Κ 358 alibi.

280 κλισίῃσ' ἔϑεσαν] -σι ϑέσαν mss. An *κλισίῃ ἔϑεσαν? || κάϑεσαν L Lips.] κάϑισαν mss. cett.; cf. § 220.

282-302] poetae recentis atque frigidi versus flosculis Homericis ornatos damnavit Heyne.

282 ἰκέλη] neglecto Ϝ. || χρυσέῃ § 18 et 61] χρυσῇ mss.

284 sq. χερσὶ — πρόσωπα] luctus hoc signum apud H. alias non commemoratur.

287 Πάτρŏκλ'] pro exemplo Atticae correptionis (vid. § 25) affert Dionysius Thrax § 10, vid. etiam Hephaestio de Metr. I 3. Platt Πάτρōκλē δϜειλῇ.

288 σέ γ' Bentley] σε (vel σ') mss. hiatu illicito, Bekker σ' ἄρ'.

αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὃ δ' ἠρνέετο στεναχίζων·
„λίσσομαι, εἴ τις ἐμοί γε φίλων ἐπιπείθεθ' ἑταίρων, 305 cf. *P* 154
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει,
δύντα δ' ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης."
ὣς Ϝειπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
δοιὼ δ' Ἀτρεΐδα 'μενέτην καὶ δῖος Ὀδυσσεὺς
Νέστωρ τ' Ἰδομενεύς τε γέρων θ' ἱππηλάτα Φοίνιξ,
τέρποντες πυκινῶς ἀκαχημένον· οὐδέ τι θυμῷ
'τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ' ἀδινῶς ἀνενείκατο 'φώνησέν τε·
„ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸς ἐνὶ κλισίῃ λαερὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ

νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί. 290 cf. Hes. Theog. 800
ἄνδρα μέν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέι χαλκῷ, 292[b] = Σ 236
τρεῖς τε κασιγνήτους, τούς μοι μία 'γείνατο μήτηρ, 293 cf. Γ 238
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς 295[a] cf. δ 805
ἔκτεινεν, 'πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαιέμεν', ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν δ' ἐνὶ νηυσὶ
εἰς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
τῷ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί." [cf. *T* 338 etc.
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκες, 301 = X 515 Ω 746
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη. 301[a] = X 437 cf. Ω 760

295—301 in Genevensi obelos habent.

---

289 *τεθνηῶτα* § 160] *-ειῶτα* mss. complura.

290 *δέχεται κακὸν ἐκ κακοῦ αἰεί*] cf. *Π* 111 *κακὸν κακῷ ἐστήρικτο*. Verbum *δέχεσθαι* intransitive usurpatur etiam Hes. Theog. 800.

292 *εἶδον*] novicium pro *ἔϜιδον*.

294 *κηδείους*] †. || *ὀλέθριον*] nonnisi vs. 409 redit.

297 *κλαιέμεν'* § 125] *-ειν* mss.

298] e male intellecto *I* 336 hunc versum natum censemus. Connubium cum captivis ab heroicae aetatis moribus alienum esse vere observavit Heyne. || *δ'*] *τ'* mss. pleraque non recte, nam verbis *ἄξειν* et *δαίσειν* designatur *Achilles*.

300 *τεθνηότα* § 160] *-ειότα* mss. multa.

302 *πρόφασιν*] nonnisi vs. 262 redit, ubi vid. || *αὐτῶν*] novicium pro *αὐτάων*, vid. § 56. || *ἑκάστη*] neglecto Ϝ.

303 *αὐτὸν*] resecta demum Briseidis querela ad Achillem referri posse observavit Heyne.

304 *ἠρνέετο* § 191] *-νεῖτο* mss.

310 *Ἀτρεΐδα*] *Ἀτρεῖδαι* mss. pauca

311 *τ'* Harl.] om. mss. cett.

314 *ἀδινῶς*] adverbium †, vid. ad Σ 124. || *ἀνενείκατο*] *spiritum alte duxit*, cf. Herod. I 86 et 116 III 22, *ἀμβλήδην* X 476. De voce alte *sublata* male acceperunt posteri (Apoll. Rhod. III 635 etc.).

316 **λαερὸν*] mss. *λαρὸν*; vid. ad *P* 572.

Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα. 318 = Θ 516
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῇ ποθῇ. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθωμι,
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πύθωμαι,
ὅς ποθι νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει 323ᵇ cf. Π 11
χήτεϊ τοιοῦδ' υἷος, — ὃ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ 324ᵃ cf. Ζ 463
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω, —
ἠὲ τὸν ὃς Σκύρῳ μοι ἐνὶ τρέφεται φίλος υἱός.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσ' ἐϝεϝόλπει 328ᵇ = υ 328 φ 96
οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο 329 sq.ᵃ cf. Ι 246
αὐτόθ' ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι·
ὡς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηὶ μελαίνῃ 331ᵇ = γ 61 κ 332
Σκυρόθεν ἐξαγάγοις καί ϝοι δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα. 333 = η 225 τ 526
ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν
τεθνάμεν', ἤ ποθι τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι
γήραΐ τε στυγερῷ, καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται."
ὣς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο γέροντες, 338 cf. 301 Χ 429
μνησάμενοι τὰ ϝέκαστος ἐνὶ μεγάροισιν ἔλειπον.
μυρομένους δ' ἄρα τούς γε ϝιδὼν ἐλέησε Κρονίων, 340 cf. Ρ 441
αἶψα δ' Ἀθηναίην ϝέπεα πτερόεντα προσηύδα· 341 = Θ 351

327 εἴ ποθ' ἔτι ζώει γε Νεοπτόλεμος θεοϝειδής. 327ᵃ cf. δ 833 λ 458
327 Aristoph. Ar. —

320 ἄκμηνον] cf. vs. 163.
321 τι] om. D; κε ... πάθοιμι Madvig. || *πάθωμι] πάθοιμι mss.; cf. § 108 et 112.
322 κεν τοῦ] *κ' αὐτοῦ? Demonstrativum molestum. || *πύθωμαι] πυθοίμην mss.; Duentzer εἰ καὶ ... πυθοίμην.
323 ποθι § 322] που mss. || Φθίηφι] vid. § 46.
324 sq. ὃ δ' ... πολεμίζω] cf. Η 160 οἳ ... μέμαθ' (μέματε).
325 ῥιγεδανῆς] †.
326-337] del. PKnight. Achillis filius in Iliade nonnisi Ω 467 praeterea commemoratur, sed cf. λ 506 sqq.
327 ποθ' § 322] που mss. || Νεοπτόλεμος θεοϝειδής] l. a. Πυρῆς ἐμός, ὃν κατέλειπον.
328 στήθεσσ' ἐϝεϝόλπει] -σσιν ἐώλπει mss.
330 αὐτόθ' § 322] αὐτοῦ mss.
331 ὡς ἄν] male abundat ἄν, vHerwerden ὄφρα σύ. || τὸν παῖδα] φίλον υἷα Nauck. || σὺν] ἐνὶ A, quam lectionem reicit LaRoche coll. α 182 γ 61, 302, 323 κ 332 ω 152, 427.
332 ἕκαστα] neglecto ϝ.
333 δμῶάς] sic Ar., alii olim δμωάς; vid. ad η 225 τ 121.
335 ποθι § 322] που mss.
336 ἐμὴν = περὶ ἐμοῦ; cf. α 408 β 30 κ 245 et v. l. Γ 206. || ποτιδέγμενον] προτ. Syr. D.
339 ἔλειπον Eust.] ἔλ(ε)ιπε(ν) mss. cett.; cf. λ 234.

„τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἐῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ ’μέμβλετ’ Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων — 344b = Σ 3
ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται κατὰ δεῖπνον, ὃ δ’ ἄκμηνος καὶ ἄπαστος. — [353 sq.
ἀλλ’ ἴθι Ϝοι νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν — 347 sq. cf. 38 sq.,
στάξον ἐνὶ στήθεσσ’, ἵνα μή μιν λιμὸς ἵκηται.“ — 347 cf. h. Ap. 124
ὣς Ϝειπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην· — 349 = Δ 73
ἣ δ’ ἅρπῃ ϜεϜικυῖα τανυπτέρυγι λιγυφώνῳ
οὐρανοῦ ἔκ κατέπαλτο δι’ αἰθέρος. αὐτὰρ Ἀχαιοὶ
αὐτίκ’ ἐθωρήσσοντο κατὰ στρατόν· ἣ δ’ Ἀχιλῆι
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν — 353 sq. cf. 347 sq.
’στάξ’, ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ’ ἵκοιτο,
αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
ᾤχετο.
τοὶ δ’ ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡς δ’ ὅτε ταρφειαὶ νιφάδες Διὸς ἔκ ποτάονται,
ψυχραί, ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο, — 358 cf. Ο 171
ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανάουσαι
νηῶν ἔκ ’φορέοντο καὶ ἀσπίδες ὀμφαλόεσσαι
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ’ οὐρανὸν ἷκε, ’γέλασσε δὲ πᾶσα περὶ χθὼν — 362b cf. h. Ap. 118 Cer. 14a
χαλκοῦ ὑπ’ ἀστεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶ — 363a cf. Λ 83
ἀνδρῶν· ἐν δὲ μέσοισι ’κορύσσετο δῖος Ἀχιλλεύς.

---

342 ἐῆος] sic aut ἑῆος mss.; ἑοῖο Zen.; cf. Λ 393. Nauck ἀνέρος ἐσθλοῦ.

343 μετὰ] ἐνὶ Nauck. || ’μέμβλετ’] cf. § 270.

344 κεῖνος ὅ γε] vid. Γ 391. || ὀρθοκραιράων] vid. ad Σ 3.

346 κατὰ Cobet] μετὰ mss. Vid. Λ 424. || ἄκμηνος] cf. vs. 163.

348 στάξον] vid. ad vs. 39.

350 ἅρπῃ] †. || λιγυφώνῳ] nonnisi h. Merc. 478 redit epitheton (λιγύφθογγος saepius).

351 κατέπαλτο] *κατέαλτο? vid. ad Θ 85.

352 αὐτίκ’ ἐθωρ.] -κα θ. mss. || ἣ δ’] ἡδ’ C.

354 στάξ’] vid. ad vs. 39. || ἵκοιτο Wolf coll. Ν 711] -ηται mss.

355 δὲ] l. a. δ’ αὖ.

357 ποτάονται § 191] -έονται mss.; fortasse praestat -άωνται (Christ -έωνται).

358 ὑπὸ] ὑπαὶ mss. pleraque; cf. § 315. || αἰθρηγενέος Βορέαο] *Βορέα’ αἰθρηγενέταο? vid. ad Ο 171.

359 γανάουσαι § 191] -νόωσαι mss.

360] corruptum aut spurium iure statuit Heyne; προχέοντο autem, quod fortasse coniecerit quispiam (cf. Β 465 Ο 360 Φ 6), vel ἐκ νηῶν ἐχέοντο (vid. Π 267 et ad Τ 361) de ipsis armis dici vix potuit.

361 κραταιγύαλοι] †, cf. γύαλον Ο 530 alibi, et de adiectivi forma vid. § 12. || In mss. nonnullis additur ἐκ νηῶν ἐχέοντο, βοὴ δ’ ἄσβεστος ὀρώρει.

363 ὑπ’ ἀστεροπῆς D] ὑπὸ στεροπῆς mss. cett. Eadem discrepantia extat Κ 154 Λ 66, 83, 184 (ubi vid. Aristarchi lectio) δ 72 ξ 268 ρ 437. Cf. praeterea Π 298.

365 τοῦ καὶ ὀδόντων μὲν καναχὴ 'πέλετ' ἠδέ Ϝοι ὄσσε 365ᵃ cf. Hes. Scut. 164
'λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ Ϝοι ἦτορ 365ᵇ sq. cf. 16 sq.
'δῦν' ἄχος ἄτλητον· ὃ δ' ἄρα Τρωσὶν μενεαίνων
'δύσετο δῶρα θεοῦ, τά Ϝοι Ἥφαιστος 'κάμε τεύχων.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε 369-371 = Γ 330 sqq.
370 καλάς, ἀργυρέοισιν ἐπισφυρίοισ' ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε.
ἀμφὶ δ' ἄρ' ὤμοισιν 'βάλετο ξίφος ἀργυρόηλον 372 sq. = Γ 334 sq.
373 χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε.
375 ὡς δ' ὅτε κ' ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ
καιομένοιο πυρός, — τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι
σταθμῷ ἐν οἰοπόλῳ· — τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἔπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσι,
ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε 379 cf. Σ 214
380 καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
381 κρᾶτ' ἔθετο βριαρήν· ἣ δ' ἀστὴρ ὣς ἀπέλαμπε. 381ᵇ cf. Ζ 295ᵃ
384 'πειρήθη δὲ Ϝέ' αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
385 εἰ Ϝοὶ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' ἠύτε πτέρ' ἐγίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.

374 εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας 'γένετ' ἠύτε μήνης.
382 ἵππουρις τρυφάλεια, περισσείοντο δ' ἔθειραι 382ᵇ cf. Χ 315
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμείας. 383 = Χ 316
365—368 Ar. —

365-368] frendentem Achillem ridiculum ratus Ar. his versibus apposuit obelos, quos postea tamen delevit teste Sidonio. Quod ubi refert Didymus addit in Ammonii libro „de Aristarchi editione altera" nihil de ita mutata Aristarchi sententia legi. Hinc Lehrs Arist.[2] p. 346 effecit Aristarchum secunda demum editione emissa sensisse hos versus immerito a se esse damnatos. Cf. *Ο* 607-609.

365 *πέλετ' ἠδέ] πέλε, τὼ δὲ mss.; cf. § 275.

371 στήθεσσιν] -σφιν? vid. ad *Μ* 401.

374] del. Heyne. Binae deinceps ferri nequeunt comparationes, vox autem μήνη pro σελήνη non est Homerica; redit *Ψ* 455, ubi non *fulgor* sed *forma* lunae spectatur, et h. XXXI 1, ubi Lunae est nomen proprium.

375 ὅτε κ' § 326] ὅτ' ἂν mss. || φανήῃ § 122] -είη(ι) mss. nonnulla.

376 καιομένοιο] αἰθομένοιο Nauck propter sequens καίεται. || δὲ] τε Ar.

377 οἰοπόλῳ] vid. ad *Ρ* 54.

379 σάκεος] κεφαλῆς Syr. (ut *Σ* 214).

381 κρᾶτ' ἔθετο] κρατὶ θέτο mss.

382 sq.] del. Heyne.

382 ἔθειραι] interpolator neglexit litteram Ϝ, quae suam servavit vim *Χ* 315, unde haec desumta sunt, *Π* 795 h. Ven. 229 h. VI 4.

384 δὲ Ϝέ' Heyne] δ' ἕο Ar. et mss. pleraque, δ' ἑοῦ Zen. (cf. *Β* 239 *Υ* 261); δὲ οἷ Ptolemaeus Ascal. absurde. Formam Homericam non fuisse εὑ (Ϝευ) sed ἑ' (Ϝε') h. l. clare apparet, cf. *Ξ* 95 et § 92.

385 ἐφαρμόσσειε] comp. †. || ἐντρέχοι] comp. †. || γυῖα] δῶρα mss. multa vitio aperto.

386 ἠύτε G H] cf. § 17; εὖτε Ar., sic vel ηὖτε mss. (αὖτε Townl.), τῷ δ' ὥστε Aristoph., τῶν δ' αὖτε olim alii. Aristarchum postmodo τῷ δ' αὖτε scripsisse ὡς mente sup-

ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ 'δύνατ' ἄλλος Ἀχαιῶν 388-391 = Π 141 sqq.
παλλέμεν', ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ 'τάμε Χίρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσι.
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
'ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν, ἐν δὲ χαλινοὺς
γαμφηλῇσ' ἔβαλον, κατὰ δ' ἡνία 'τεῖναν ὀπίσσω 394ᵇ cf. Γ 261
κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσε,
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος 'βῆ Ἀχιλλεύς,
τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων. 398ᵃ = Ζ 513; 398ᵇ cf. h. Ap. 369
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑϜοῖο· 399ᵇ = Ψ 402
„Ξάνθε τε καὶ Βαλίος, τηλεκλυτὰ τέκνα Ποδάργης, 400 cf. Π 149 sq.
ἄλλως δὴ φράζεσθε σαωσέμεν' ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί κ' ἄομεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον 'λίπετ' αὐτόθι τεθνηῶτα."
τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος

388—391 Ar. —— (cf. vs. parall.)

plentem (vid. ad Ξ 499) refert anonymus in schol. A (non Didymus, vid. Lehrs apud Ludwichium Arist. I p. 448). Ferri nequit εὖτε pro ἠΰτε neque hic neque Γ 10. || πτέρ' ἐγίγνετ'] πτερὰ γίγν. mss.

387 σύριγγος] *fistulae*; de hastae receptaculo hoc uno loco dicitur; cf. δουροδόκη α 128. || ἐσπάσατ' ἔγχος] ἔγχος ἔρυσσε (neglecto Ϝ) Apoll. lex.

389 παλλέμεν' § 125] πάλλειν mss.

390 'τάμε] πόρε mss. pauca, cf. vs. parall.

391 ἐκ κορυφῆς] ἐν κορυφῇς Ar., cf. vs. parall., ἐν κορυφῇ A².

392 Ἄλκιμος] brevior haec forma nominis *Alcimedontis* (Π 197 Ρ 467-501) redit Ω 474, 574. || ἀμφιέποντες] -ντε C.

393 'ζεύγνυον] sic Ar., -σαν G. Cf. Ω 783 et § 145. || λέπαδν'] vid. Ε 730. || ἕσαν] ἔσαν mss. nonnulla. || χαλινοὺς] †.

394 'τεῖναν] -νεν C.

395 ποτὶ] προτὶ Syr.

396 ἵπποιιν] -σιν C Harl.

398 παμφαίνων] λαμπόμενος mss. nonnulla. || ἠλέκτωρ] cf. Ζ 513.

400 Βαλίος § 51] Βαλίε mss., Bentley Βαλία coll. Hesychio. || τηλεκλυτὰ] adi. nonnisi α 30 (loco spurio) redit.

401 σαωσέμεν'] futurum (quod etiam Ι 230 vitio debetur) hinc alienum est, sensus enim est: *nunc operam date ut aliter* (i. e. *melius*, cf. Δ 391) *servetis aurigam*. Estne aoristi mixti (§ 152) forma? an legendum *σαώμεναι (cf. § 195)? || ἡνιοχῆα] -ας mss. multa.

402 Δαναῶν] l. a. λαῶν. || κ' ἄομεν] κ' ἔομεν (ἔωμεν, ἐῶμεν) vel χ' ἕομεν (ἕωμεν, ἑῶμεν) mss. Verbum veteres grammatici recte interpretati sunt ἄδην ἔχωμεν; praesentis subiunctivus videtur, cf. ἄμεναι (§ 195) et ad Ν 315; Fick (Iliad. p. 510) ἄομεν aoristi subiunctivum ducit coll. στάομεν. Nauck coniecit ἐπὴν κεκάμω (melius ἐπεί κε κάμω) πολεμίζων.

403 αὐτόθι] αὐτοῦ mss. nonnulla, cf. § 322. || τεθνηῶτα § 160] -ειῶτα mss. multa.

404 sqq.] equus loquens a carminis epici nativa simplicitate abhorret; aut igitur totus locus (vs. 404-424 vel 398(9)-424) abi-

Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι· πᾶσα δὲ χαίτη 405b sq. cf. *P* 439 sq.
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανε·
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
„καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ.
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἦμες
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὄχ' ἄριστος, ὃν ἠύκομος 'τέκε Λητώ, 413b = λ 318 cf. [*Α* 36
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε. 414 = *Σ* 456
νῶι δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥν περ ἐλαφροτάτην φασ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ 416b sq. cf. *X* 359 sq.
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ϝῖφι δαμῆναι."
ὣς ἄρα φωνήσαντος ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 419 = *Π* 48
„Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νυ τὸ ϝοῖδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω πρὶν Τρῶας ἅδην ἆσαι πολέμοιο." 423 cf. *N* 315
ἦ ῥα, καὶ ἐν πρώτοισ' ἰάχων ἔχε μώνυχας ἵππους.

407 Ar. — || 416 sq. Ar. —

ciendus est auctore Heynio, aut etiam versus 407 et 416 sq., quos vituperavit Ar., patienter ferendi. Vocem equo cur praebeat Iuno, cur mox adimant Furiae, non apparet.

405 *καρήατι*] cf. § 82.

406 *ζεύγλης*] cf. *P* 440.

407 *αὐδήεντα*] cf. ε 334.

409 *ὀλέθριον*] cf. vs. 294. || *ἦμες* § 92] *ἡμεῖς* mss.

411 *βραδυτῆτι*] †. || *νωχελίῃ*] †, vocis stirps in Homero non redit; h. Merc. 188 tamen Lobeck pro *κνώδαλον* coniecit *νωχελόν* (Hermann *νωχαλόν*).

412 *Πατρόκλου*] -*κλοο*? cf. § 59.

413 *ὄχ' ἄριστος* (PKnight)] *ὤριστος* mss.; cf. § 9.

415 *θέοιμεν*] *θέωμεν* A² C.

416 *ἥν περ ἐλαφροτάτην*] *τήν π. ἐ.* Syr., *τόν περ ἐλαφρότατον* schol. Apoll. Rhod. II 276. — Xanthi Baliique pater Zephyrus dicitur *Π* 149 sq.

421 *τὸ* Brandreth] *τοι* mss.; Hoffmann *εὖ νυ καὶ αὐτὸς ϝοῖδα* coll. *Θ* 32.

423 **ἆσαι* (item Cobet in schedis)] *ἐλάσαι* mss.; vid. ad *N* 315.

424 *ἰάχων*] neglecto ϝ. Bentley *πρώτοισιν ἐὼν* coll. *Δ* 341 *M* 315.

ΙΛΙΑΔΟΣ Υ.

Θεομαχία.

ὣς οἳ μὲν παρὰ νηυσὶ κορωνίσι ’θωρήσσοντο
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον, Ἀχαιοί,
Τρῶες δ’ αὖθ’ ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο. 3 = Λ 56
Ζεὺς δὲ Θέμιστ’ ἐκέλευσε θεοὺς ἀγορήνδε καλέσσαι 4 cf. β 69
κρατὸς ἄπ’ Οὐλύμποιο πολύπτυχος· ἣ δ’ ἄρα πάντῃ
φοιτήσασ’ ἐκέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ’ Ὠκεανοιο,
οὔτ’ ἄρα νυμφάων, αἵ τ’ ἄλσεα καλὰ νέμονται [97 8 cf. ζ 123 h. Ven.
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα. 9 = ζ 124 h. Ven.
ἐλθόντες δ’ εἰς δῶμα Διὸς νεφεληγερέταο 99
ξεστῇσ’ αἰθούσῃσιν ἐνίζανον, ἃς Διὶ πατρὶ 11ª cf. Ζ 243
Ἥφαιστος ’ποίησε Ϝιδυίῃσι πραπίδεσσι. 12 = Α 608
ὣς οἳ μὲν Διὸς ἔνδον ἀγηγέρατ’, οὐδ’ ἐνοσίχθων
’νηκούστησε θεᾶς, ἀλλ’ ἐξ ἁλὸς ἦλθε μετ’ αὐτούς,

---

2 *ἀκόρητον*] *-τοι* mss. pauca, utrumque Nicanor in schol. (et Ar.?).

3] vid. ad *Λ* 56. In C manus recens subiunxit *Ἕκτορι θωρήσσοντο μετὰ πρώτοισιν ἐόντι.*

4 *Θέμιστ’ ἐκέλευσε*] *-στα* vel *-στι κέλευ(σ)ε* mss. (*δ’ ἐκέλευσε Θέμιστι* Lips.).

5 *πολύπτυχος* Naber] *πολυπτύχου* mss.; vid. ad *Θ* 411.

6 *φοιτήσασ’ ἐκέλευσε*] *-σα κ.* mss.

7-9] del. Heyne. Cur abesset Oceanus rogabant veteres; magis est mirum ceteros fluvios in superorum consilio adesse omnes.

7 *ἀπέην*] *ἄπεεν?* vid. § 302. || *νόσφ’*] elisio notabilis, vid. § 13.

8 *αἵ*] *ταί* mss. complura.

11 *ἐνίζανον* (Ar.) A C] *ἐφίζανον* Zen. et mss. cett., quasi *sedilia* essent *αἴθουσαι*. Eidem errori debetur l. a. *ἐνίδρανον* (quod ne Graecum quidem).

12 *’ποίησε Ϝιδυίῃσι*] *ποίησεν ἰδυίῃσι* Ar., *ποίησ’ εἰδυίῃσι* Syr.

14 *’νηκούστησε*] †, vid. ad *Ο* 236. || *αὐτούς*] Axt *ἄλλους*.

ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν· 15^{b} = ν 127
„τίπτ' αὖτ', ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.“
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„ἔγνως, ἐνοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁράων φρένα τέρψομαι· οἳ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρα χ' ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπῃ νόος ἐστὶ Ϝεκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μάχηται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλεΐωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑπετρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
δέδϜια μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.“
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρε. 31^{b} cf. Β 797
'βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης 34 cf. ϑ 322
Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ' ἅμα τοῖσι 'κίε σθένεϊ βλεμεαίνων 36^{b} = Θ 337
χωλεύων, ὑπὸ δὲ κνῆμαι 'ρώοντο Ϝαραιαί. 37 = Σ 411
εἰς δὲ Τρῶας Ἄρης κόρυθ' αἰόλος, αὐτὰρ ἅμ' αὐτῷ

---

15 *ἐξείρετο*] *ἐξήρετο* mss. nonnulla; cf. § 264.
18 *ἄγχιστα*] si sanum, vert. *in eo est ut exardescat pugna* coll. *Π* 853 *τ* 301 *ξ* 410, de loco enim (*in proxima vicinia*) vix potest accipi.
20 *ἐνοσίγαιε* § 21] *ἐννοσ.* mss.
23 *ὁράων* § 191] *ὁρόων* mss.
24 *ὄφρα χ'* § 326] *ὄφρ' ἂν* mss.
25 *Ϝεκάστου*] *ἑκάστῳ* schol. BLV ad *Ο* 234, fortasse recte.
26 *μάχηται* C^{1}] *μαχεῖται* mss. cett. Cf. § 147.
27 *ἕξουσι*] vid. ad *Ν* 51.
28 *τε*] *τι* Ar. Z. || *ὑπετρομέεσκον*] *ὑποτρ.* mss.
29 *ὅτε δὴ*] vid. ad *β* 314.
30] schol. V refert fuisse qui huius versus loco scriberent *οὐ μέν τοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος* | *'Ιλίου ἐκπέρσαι* (sic Heyne pro *-σας*) *εὖ ναιόμενον πτολίεθρον·* | *πέρσει* (sic Spitzner pro *ἔπερσε*) *δουράτεος ἵππος καὶ μῆτις 'Επειοῦ.* || *δέδϜια* § 168] *δείδω* mss. || *ὑπὲρ μόρον*] propter *ὑπέρμορα* *Β* 155 uno vocabulo veteres (Aristoph. Ar. alii) scribebant hic ceterisque locis (*Φ* 517 *α* 34 sq. *ε* 436). Recte tamen disiunxit Heliodorus; cf. *ὑπὲρ μοῖραν* *Υ* 336, *ὑπὲρ αἶσαν* *Γ* 59 etc.
35 *ἐπὶ*] coll. nomine *'Επικάστη* tmesis videtur statuenda; *ἐνὶ* mss. nonnulla (cf. *Α* 55). || *πευκαλίμῃσι*] vid. ad *Θ* 366. || *κέκασται* Ar.] *-στο* mss. multa; vid. ad *Ε* 729.
38 *κόρυθ' αἰόλος*] ceteris locis Hectoris est epitheton.

Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
Λητώ τε Ξάνθος τε φιλομμειδής τ' Ἀφροδίτη.
ἧος μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τῆος Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς 42ᵇ sq.=Σ 247 sq.
ἐξεφάνη, δϝηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ϝέκαστον, 44 = Η 215
δεδϝιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλεΐωνα
τεύχεσι λαμπόμενον, βροτολοιγῷ ϝῖσον Ἄρηι. 46ᵇ = Μ 130
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη,
στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός, 49ᵇ = Ι 67
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀύτει.
αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ϝῖσος, 51ᵇ cf. Μ 375
ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύναντες
σύμβαλον, ἐν δ' αὐτοῖσ' ἔριδ' ἐρρήγνυντο βαρεῖαν.
δϝεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης
καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
ἔδϝεισεν δ' ὑπένερθε ϝάναξ ἐνέρων Ἀϝιδωνεύς,

---

39 ἀκερσεκόμης] adiectivum nonnisi h. Ap. 134 redit.

40 φιλομμειδής] l. a. Διὸς θυγάτηρ, cf. Φ 416.

41 ἧος § 323] εἵως mss.

42 τῆος § 323] τείως vel τέως (δ') mss., l. a. τόφρα δ'. || μέγ' ἐκύδανον] μέγα κύδ. mss. nonnulla. Intransitive nonnisi h. l. adhibitum est verbum κυδα(ί)νω; vid. ad Ε 448 Ξ 73.

44-46] Syr. in margine habet additos manu secunda.

44 ὑπήλυθε] ἐπ. C Mosc.

48 ὦρτο δ'] ὦρετ' proponitur apud Nauckium. || αὖε δ'] si fides scholio, Ar. hinc apodosin incipere statuit, quam rectius tamen a versus initio ordiaris; neque aliter censuisse Aristarchum, lemmati autem vitium intulisse initium simillimum versus 51, suspicamur.

50] malumus *ἄλλοτε μακρὸν ἀύτε' ἐπ' ἀκτάων ἐριδούπων, sic enim et solvi potest ἀύτει (vid. § 191) et vitatur pedis 4i conformatio insolita (vid. § 3) et in suum locum cedit epitheton ἐρίδουπος, quae forma brevior exitui hexametri est propria.

51 αὖε] ὦρτο Strab. XIII p. 597.

53 θέων Herodicus] θεῶν Ar., pro loci nomine habens verba θεῶν Καλλικολώνῃ; versu 151 tamen abest θεῶν. Mss. utrumque, redit autem discrepantia Ω. 74.

54 ὀτρύναντες] -οντες mss. pleraque.

55 ἔριδ' ἐρρήγνυντο] ἔριδα ῥ. mss.

57 ἔνερθε] νέρθε Ar. Syr.; cf. Ο 225.

59 πολυπίδακος] sic Ar., -δάκου mss. nonnulla; vid. Ξ 157.

δϝείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή ϝοι ὕπερθε
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
ϝοικία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
σμερδαλέ' ἠερόεντα, τά τε στυγέουσι θεοί περ.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων. 66 cf. Hes. Theog. 705
ἦ τοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ 70b cf. *Π* 183
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ϝεκάτοιο·
Λητόι δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης, 73b = *Φ* 329
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

ὣς οἳ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα 'λιλαίετο δύμεν' ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ϝε θυμὸς ἄνωγε
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν. 78 = *E* 289
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
ἀντία Πηλεΐωνος, ἐνῆκε δέ ϝοι μένος ἠύ·
υἱέι δὲ Πριάμοιο Λυκάονι 'ϝείσατο φωνήν·

---

62 *ἆλτο*] *ὦρτο* liber Massil. || *ἴαχε*] pro *ἐϝίϝαχε* suspectum; Schulze *εὔαχε* (*ἔϝϝαχε*), cf. § 229; Bentley *ἆλτ' ἰδὲ ϝίϝαχε.*

64 *φανείη*] *-νή(ι)η(ι)* mss. multa.

65 *ἠερόεντα* Nauck] *εὐρώεντα* mss. Sana lectio extat *O* 191 et l. a. *ψ* 322, corrupta redit *κ* 512 *ψ* 322 *ω* 10 h. Cer. 482 Hes. Oper. 153 Theog. 731, 739, 810, eamque Sophocles videtur secutus esse Ai. 1167 (et 1190?); *ἠερόεντι* vero scripsit Ar. Av. 698 (ubi codd. habent *δὲ χάει πτερόεντι*, Hermann correxit *χάει ἠερόεντι*). Non a voce *εὖρως* (*loca senta* Verg.) vel *εὐρύς* ductum esse adiectivum sed ex *ἠερόεις* metro invito esse contractum ante Nauckium viderant Doederlein Ahrens.

67 *ἔναντα*] †; cf. *Ψ* 116. || *ἄνακτος*] neglecto *ϝ*. Bentley *Ποσειδάωνι ϝάνακτι*, simplex tamen *ἄντα* nonnisi genitivum adsciscit (vid. vs. 69, 75 etc.).

68 *ἰὰ πτερόεντα*] vix sana; poeta aut *ἰοὺς πτερόεντας* (Bothe) aut *βέλεα πτερόεντα* (Bentley) dedisse videtur.

70 *χρυσηλάκατος*] vid. ad *Π* 183.

71 *ἰοχέαιρα*] *ἀγροτέρη* (ut *Φ* 471) Apoll. lex. s. v. *κελαδεινή* errore manifesto.

72 *Λητόι* § 77] *Λητοῖ* mss. || *σῶκος*] † (nomen proprium est *Λ* 427-456); de accentu vocis obscurae certabant grammatici, apud tragicos *σωκεῖν* valet *vigere*. || *Ἑρμῆς*] pro *Ἑρμείας* novicium; cf. § 58 et supra vs. 35.

74] de duplici nomine vid. ad *Α* 403 sq.

76 *δύμεν'* § 125] *δῦναι* mss.

77 *Πριαμίδεω*] novicium pro *-δαο*, cf. § 55; coniecimus **Πριαμίδα'· οὗ*, vid. ad *K* 127. || *ϝε*] sic Ar., *γε* mss. pleraque. || *ἄνωγε* § 225] *ἀνώγει* mss.

79-352] pugnam hanc inter Achillem et Aeneam, a contextu alienam, sero Iliadi insertam esse apparet, videtur autem fuisse carmen singulare in Aeneae honorem compositum.

τῷ μιν Ϝεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων· 82 = Π 720
„Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, 83a = Ε 180
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο Ϝοινοποτάζων, 83b = Ν 219 83-85 cf. Θ 229-234
Πηλεΐδα' Ἀχιλῆος ἐναντίβιον 'πολεμίξειν;" 85b = Φ 477 cf.
τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέϜειπε· Κ 451 Ο 179
„Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι; 88 = 333
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δούρ' ἐφόβησε
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι,
'πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
'ρύσατο, ὅς μοι ἐνῶρσε μένος λαιψηρά τε γοῦνα. 93 cf. Χ 204
ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
ἥ Ϝοι πρόσθεν ἰοῦσα 'τίθει φάος ἠδ' ἐκέλευε
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει. 98 cf. Ε 603
καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει
πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν'. εἰ δὲ θεός περ
Ϝῖσον τείνειεν πολέμου τέλος, οὔ κέ με ῥεῖα
νικήσει', οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι."
τὸν δ' αὖτε προσέϜειπε Ϝάναξ Διὸς υἱὸς Ἀπόλλων· 103 = Η 37
„ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖσ' αἰειγενέτῃσι
εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης

---

82 *Ϝεισάμενος* PKnight] *ἐεισάμενος* mss.

84 *ἅς*] *τάς* Syr. Eust. || *ὑπίσχεο*] sic Ar., *ὑπέσχεο* mss. nonnulla; cf. Ψ 195. || *Ϝοινοποτάζων*] per *vinum*, non inter *vescendum* ut Θ 231 (quem spurium censebat) fieri gloriationem observatio est Aristarchi subtilior quam utilior.

85 *Πηλεΐδα'* § 55] *-δεω* mss. || *πολεμίξειν* Cobet] *-ζειν* mss.; cf. Ν 644.

89 *νῦν*] *δή* D G.

90 *δούρ' ἐφόβησε*] *-ρὶ φόβ.* mss.

93 *ῥύσατο* PKnight] *εἰρύσατ'* mss.; cf. vs. 194 et § 164. || *ἐνῶρσε* Townl.] *ἐπῶρσε* mss. cett. male, vid. Θ 335 *ἐν μένος ὦρσε*, Ξ 522 *ἐν φόβον ὄρσῃ*, Σ 218 *ἐν … ὦρσε κυδοιμόν*, Υ 110 et ad Ο 327. Vitium redit vs. parall.

98] om. D, del. vHerwerden. || *πάρα εἷς*] vid. ad Ε 603.

99 *καὶ … ἄλλως*] *vel sic*; cf. Ι 699. Aliter adhibitum est adverbium loco simillimo Λ 391. || *τοῦ γ'*] *τοῦδ'* C; an **τοῖ'* (§ 59)? || *ἰθὺ*] *ἰθὺς* mss. complura invito metro.

100 *διελθέμεν'* § 125] *διελθεῖν* mss. complura.

101 *κέ με ῥεῖα* PKnight] *με καὶ μάλα ῥεῖα* mss. pauca, *κε* vel *με μάλα ῥέα* cett.; vid. § 8 et ad Μ 381.

102 *νικήσει'* Bentley] *-σει* (*-σῃ*) mss.; cf. Ι 386 et § 113. || *παγχάλκεος*] cf. *χάλκειον ἦτορ* Β 490.

103 *Διὸς υἱὸς Ἀπόλλων*] *ἀνδρῶν Ἀγαμέμνων* Syr.[1], *ἑκάεργος Ἀπόλλων* Syr.[2] (ut Ρ 585); cf. Ο 253.

ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστί. 106 cf. Φ 190 sq.
ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν 108^{b} sq. cf. Φ 338 sq.
λευγαλέοισι Ϝέπεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ."
ὣς Ϝειπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν, 110 = Ο 262
'βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ. 111 = Δ 495
οὐδ' ἔλαθ' Ἀγχίσαο πάις λευκώλενον Ἥρην
ἀντία Πηλεΐωνος ἰὼν ἀνὰ Ϝουλαμὸν ἀνδρῶν·
ἡ δ' ἄμυδις στήσασα θεοὺς μετὰ μῦθον ἔϜειπε·
„φράζεσθον δὴ σφῶι, Ποσείδαον καὶ Ἀθήνη,
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε Ϝέργα· 116^{b} = Β 252
Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ
ἀντία Πηλεΐωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ' ἄγεθ', ἧμές πέρ μιν ἀποτροπάωμεν ὀπίσσω
αὐτόθεν, ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆι
παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
δευέσθω, ἵνα Ϝείδῃ ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηιοτῆτα.
πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιάοντες
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἅσσα Ϝοι αἶσα 127^{b} = η 197^{a}
γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν 'τέκε μήτηρ. 128 cf. Ω 210 η 198
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆς,
δϜείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργές." 131 cf. π 161 / 131^{b} cf. η 201

125—128 Ar. ——

107] damnabat Heyne, quem in errorem duxit scholion male intellectum. Spurium non censebat Ar., neque deterior est vicinis (vid. ad vs. 180-186).

109 *λευγαλέοισι Ϝέπεσσιν* § 160] *-οις ἐπέεσσιν* mss.

114 *ἡ ... μετὰ μῦθον ἔειπε*] sic Ar., *ἡ ... ῥεῖα ζώοντας* Zen. male pro *ἔφη*, vid. § 306^{5}. || *στήσασα* Ar.] *καλέσασα* Zen. et mss.

115 *Ποσείδαον*] *-δάων* mss. pauca.

119 *ἧμες* § 92] *ἡμεῖς* mss. || *ἀποτροπάωμεν* § 191 et 251] *-τροπόωμεν* Z Cant., *-τροπῶμεν* G, *-τρωπῶμεν* mss. cett.

121 *θυμῷ*] *θυμοῦ* Koeppen, quoniam verbum *δεύομαι* absolute alias non ponitur (vid. Γ 294 Ν 786 η 73 etc.), Α 134 enim et Χ 492 genitivus mente supplendus est.

125-128] cum Iovis verbis vs. 26 sqq. lectis pugnare observavit Ar.

125 *ἀντιάοντες* § 191] *ἀντιόωντες* mss.

126 *πάθῃσι*] de subiunctivi usu vid. ad Α 158.

128 *λίνῳ*] *filum* vitae humanae etiam Ω 210 η 198 commemoratur; vid. praeterea ad Ω 49 et 525.

129 *οὐ*] vid. ad Γ 289.

131 *χαλεποὶ*] *-πὸν* D. || *ἐναργές* Fick] *ἐναργεῖς* mss.; cf. *ἀστεμφές νημερτές* (mss. *-έως*)

τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
„Ἥρη, μὴ χαλέπαινε παρ' ἐκ νόον· οὐδέ τί σε χρή.
οὔ κεν ἐγώ γ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι.
ἀλλ' ἦμες μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου εἰς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
εἰ δέ κ' Ἄρης ἄρχησι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ ἐάωσι μάχεσθαι,
αὐτίκ' ἔπειτα καὶ ἦμι παρ' αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀίω
ἂψ ἴμεν' Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρησ' ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας.“
ὣς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης
τεῖχος ἐς ἀμφίχυτον Ἡρακλέεος θείοιο,
ὑψηλὸν, τό ῥά Ϝοι Τρῶες καὶ Παλλὰς Ἀθήνη
'ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
ὁππότε μιν σεύαιτο ἀπ' ἠιόνος πεδίονδε.
ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισ' ἐϜέσαντο·
οἳ δ' ἑτέρωσε καθῖζον ἐπ' ὀφρύσι Καλλικολώνης
ἀμφὶ σὲ, ἤιε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣς οἳ μὲν Ϝεκάτερθε καθήατο μητιάοντες

134 cf. Θ 210
134ᵇ cf. Φ 394
136ᵇ = α 372
137ᵇ = Ζ 492
142ᵇ = h. Ap. 187 Cer. 485 cf. Merc. 332
143 cf. Φ 208 σ 156

135 ἦμας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν.

135 cf. Θ 211
135ᵇ = ι 276 cf. Α 169

δ 419, 459 ε 98 τ 269. Redit error η 201 π 161.

134 οὔ κεν § 326] οὐκ ἂν mss.

135] om. mss. multa. || ἦμας § 92] ἡμᾶς.

136 ἦμες § 92] ἡμεῖς mss.

138 ἄρχησι Zen.] ἄρχωσι mss. pleraque, Aristarchum autem coll. Ε 774 κ 513 hoc praetulisse dicit Didymus; quod vix credibile, nisi pro ἢ Aristarchus legerit καὶ vel ἰδὲ (sic Z Cant.), ἢ tamen ei tribuit Aristonicus. In schol. V affertur l. a. εἰ δέ κεν ὣς ἄρχωσιν Ἄρης καὶ Φ. Α.

139 οὐκ] vid. ad Γ 289. || ἐάωσι § 191] εἰῶσι mss.

140 ἦμι § 92] ἄμμι mss. || αὐτόθι C] αὐτόφι mss. cett. Vid. ad Μ 302. || ὀρεῖται] novicium, vid. § 147; ὄρηται l. a. apud Eust., ἐτύχθη schol. Paris.

141 διακρινθέντας] -κριθέντας mss. complura.

142 ὁμήγυριν] vid. ad γ 31 π 376.

143 ἀναγκαίηφι H Vrat. et l. a. in schol.] ἀνάγκῃ ἶφι mss. cett. Vid. ad Φ 208 σ 156.

145 ἀμφίχυτον] †, cf. χυτὴ γαῖα Ζ 464 etc. || Ἡρακλέεος § 73] -κλῆος mss.

147 τὸ] ex articuli usu Ar. iure effecit poetam loqui de re auditoribus notissima (cf. Φ 441 sqq. Apollodor. II 5 § 9, 10). || ἀλέαιτο] -οιτο D G et l. a. apud Eust.

148 μιν] i. e. *Herculem*. || σεύαιτο] vid. ad Γ 26.

150 ὤμοισ' ἐϜέσαντο] -σιν ἕσαντο mss.

151 Καλλικολώνης] vid. ad vs. 53.

152 ἤιε] vid. ad Ο 365.

153 μὲν Bentley] μέν ῥ' mss. || καθήατο § 220] -είατο mss. pleraque. || μητιάοντες § 191] -ιόωντες mss.

βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἥμενος ὕψ' ἐκέλευε.
τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ,
ἀνδρῶν ἠδ' ἵππων· 'κάρκαιρε δὲ γαῖα πόδεσσι
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρε ἔξοχ' ἀρίστω   158b-160 cf. N 499 [sqq.
εἰς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι,   159 = Z 120
Αἰνείας τ' Ἀγχισιάδης καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
πρόσθεν ἔχε στέρνοιο, 'τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλεΐδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς   164 cf. Ω 572
σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασι   164b = Λ 129
ἀγρόμενοι, πᾶς δῆμος· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηιθόων αἰζηῶν
δουρὶ βάλῃ, ἐϜάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντ
γίγνεται, ἐν δέ τέ Ϝοι κραδίῃ στένει ἄλκιμον ἦτορ,
οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθε   170-172 cf. Hes.
μαστίεται, ἔϜὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι,   Scut. 430 sq.
γλαυκιάων δ' ἰθὺς φέρεται μένε', εἴ τινα πέφνῃ   171b = Π 690
ἀνδρῶν ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.   175a = P 67
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,   176 sq. = Φ 148 [sq.
τὸν πρότερος προσέϜειπε ποδάρκης δῖος Ἀχιλλεύς·   176 = Γ 15
„Αἰνεία, τί σὺ τόσσον ὁμίλου πρόσθεν ἐπελθὼν

---

154 δυσηλεγέος] adi. redit χ 325 h. Ap. 367 Hes. Theog. 652 Op. 506, cf. τανηλεγής (Θ 70 etc.) et ἄλγος ἀλεγίζω.

155 ὤκνεον] ὄκνεον Townl. et l. a. apud Didymum. || ὕψ' ἐκέλευε] ὕψι κ. mss.

156 ἐλάμπετο] λάμπετο Ar. et mss. nonnulla.

157 'κάρκαιρε] †.

158 ὀρνυμένων ἄμυδις. δύο δ'] l. a. ὀρνυμένων, ἄμυδις δὲ δύ'. || ἀνέρε ... ἀρίστω Ahrens] ἀνέρες ... ἄριστοι mss.

159 ἀμφοτέρων] -ρω G fortasse recte; vid. ad Z 120.

160] om. Barocc., ante vs. 159 habent Syr. Cant.

162 νευστάζων] cf. X 314.

163 'τίνασσε δὲ] l. a. τινάσσων (cf. M 298 X 311).

166 ἀγρόμενοι] sic Ar. || πρῶτον μὲν ἀτίζων] κρειῶν (κρεῖον Lips.) ἐρατίζων L Lips. (ut P 660). Verbum ἀτίζω †, cf. ἀτέοντα vs. 332.

169 ἄλκιμον] ὄβριμον Syr.

170 ἀμφοτέρωθε] l. a. -σε.

171 μαστίεται] *μαστίζει (et *μαστίζων Hes. Scut. 431)? vid. ad Ψ 500. Obstat tamen P 622. || ἔϜὲ] vid. § 93. Manifesto errore αἰὲ D, μαστίετ' αἰὲν Z Cant. || μαχέσασθαι] μαχέεσθαι mss. nonnulla; cf. § 291.

172 γλαυκιάων § 191] -ιόων mss.; verbum †, cf. γλαυκός Π 34. || φέρεται] vid. ad O 743. || μένε' § 71] μένει mss. || εἴ § 326] ἤν mss.

178 πρόσθεν Christ] πολλὸν mss., quod

ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἄνωγε
Ϝελπόμενον Τρώεσσι Ϝαναξέμεν' ἱπποδάμοισι
τιμῆς τῆς Πριάμοι'; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς,
οὔ τοι τούνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἰσὶν γάρ Ϝοι παῖδες, ὃ δ' ἔμπεδος οὐδ' ἀεσίφρων. 183ᵇ cf. Ψ 603
ἦ νύ τί τοι Τρῶες τέμενος 'τάμον ἔξοχον ἄλλων, 184ᵇ sq.ᵃ = Z 195 sq.
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὴν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
οὐ μέμνησ' ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα 188ᵃ = O 18
'σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
καρπαλίμως; τότε δ' οὔ τι μετετροπαλίζεο φεύγων.
ἔνθεν δ' εἰς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
'πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληιάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀποϜρὰς 193 cf. Π 831
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν ῥύσεσθαι ὀίομαι, ὡς ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω 196ᵇ-198 = P 30 sqq.
εἰς πληθὺν ἴμεναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέμεν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
  τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο 'φώνησέν τε·

180—186 Ar. — || 195—198 Ar. —

post τόσσον molestum, nudus autem genitivus ὁμίλου nequit explicari. Cf. Γ 22 Ψ 804. || ἐπελθὼν] ἀπελθὼν mss. nonnulla.

179 ἔστης] vid. ad Δ 243. || ἄνωγε § 225] ἀνώγει mss.; post ἔστης praetulimus imperfectum (*numquid te impellebat virtus?*).

180-186] quam sint ieiuni ostendit Ar., sed cum toto Aeneae et Achillis certamine aut servandi sunt aut expungendi.

180 Ϝαναξέμεν' § 125] ἀνάξειν mss.

181 sq.] cf. N 460 sq.

181 τιμῆς τῆς] serus articuli usus; praeterea recte explicari nequit genitivus, quem alii pro gen. partitivo habent, alli ω 30 Ψ 649 conferunt; vHerwerden dubitanter τιμὴν ἐκ coll. Ω 76. || Πριάμοι' § 59] -μου mss.

183 ἀεσίφρων] ἀασίφρων Apoll. lex. fortasse recte; redit adi. Ψ 603 φ 302 Hes. Op. 335, ἀεσιφροσύνη ο 470 Hes. Theog. 502.

185 καλὸν] ἐσθλὸν mss. nonnulla.

186 χαλεπῶς] adv. nonnisi H 424 redit. || δέ σ' ἔολπα τὸ ῥέξειν] vitiosa est caesura post 4um trochaeum, digamma autem est neglectum; tentavimus *ῥέξειν σε ϜέϜολπα.

187 μὴν § 18] μὲν mss. || φοβῆσαι] φόβησα mss. nonnulla.

188 οὐ Brandreth] ἦ οὐ mss.; cf. § 8. || μέμνησ' Barocc.] μέμνῃ mss. cett.; vid. § 117 et ad O 18. || ἄπο] sic Ar., ἔπι Rhianus et Aristophanes cum libro Chio; sic vero βόεσσ' ἔπι scribendum esset, vid. Z 25 etc.

190 μετετροπαλίζεο] μετατρ. mss. multa. Comp. †, cf. ἐντροπαλίζομαι Z 496 etc.

191 ἔνθεν] κεῖθεν Strab. XIII p. 607.

193 ληιάδας] †.

195 *ῥύσεσθαι] ἐρύεσθαι Ar. Z, σε ῥύεσθαι (σ' ἐρύεσθ' D) mss. cett.; cf. § 164. Requiritur *futurum*.

197 ἴμεναι § 125] ἰέναι mss.

198 παθέμεν § 126] παθέειν mss.

„Πηλεΐδη, μὴ δή με ϝέπεσσί γε νηπύτιον ὣς 200-202 = 431 sqq. cf. *H* 234 sqq.
ϝέλπεο δεδϝίξεσθαι, ἐπεὶ σάφα ϝοῖδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσιμα μυθήσασθαι.
ϝίδμεν δ' ἀλλήλων γενεήν, ϝίδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ϝέπεα θνητῶν ἀνθρώπων·
ὄψιι δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς 'ϝίδες οὔτ' ἄρ' ἐγὼ σούς·
φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς δ' ἐκ Θέτιδος καλλιπλοκάμοι' ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο 208 sq. cf. *E* 247 sq.
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη·
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημι ϝέπεσσί γε νηπυτίοισι
ὧδε διακρινθέντε μάχης ἒξ ἀπονέεσθαι. 212ᵇ = *Π* 252
213 εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ ϝείδῃς, — 213 = *Z* 150
Δάρδανον ἆρ πρῶτον 'τέκετο νεφεληγερέτα Ζεύς,
'κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω ϝίλιος ἱρὴ
ἐν πεδίῳ 'πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρεΐας 'ναῖον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ 'τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,

214 *ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι·* 214 = *Z* 151
205—209 Ar. —

200 *με ϝέπεσσι*] *μ' ἐπέεσσι* mss., Heyne dubitanter *ϝεπέεσσί με* omisso *γε*.

202 *αἴσιμα* Duentzer, item vs. 433] *αἴσυλα* mss., quod quid significet ex *E* 403 *Φ* 214 *β* 232 *ε* 10 patet. Eadem emendatione Ruhnkenius Ep. crit. p. 38 sanaverat h. Merc. 164, *αἴσιμα* restituens e codicis M lectione *ἄρμενα*, ubi cett. habent *αἴσυλα*. Cf. *Z* 62 *H* 121 *χ* 46.

204 *πρόκλυτ'*] †.

205-209] languere sensit Ar.; at vid. ad vs. 180-186.

205 *ὄψιι* § 74] *ὄψει* mss. ‖ *σὺ*] *σύ γ'* Heyne; vid. *E* 237 et ad *Z* 123.

207 *δ'*] *τ'* mss. nonnulla, Nauck *μητέρος* deleta particula. ‖ *καλλιπλοκάμοι'* § 59] *-μου* mss. ‖ *ἁλοσύδνης*] dubiae originis vox redit *δ* 404; *maris filiam* (*ἁλοσ-ύδν-ην*) interpretatur GMeyer, vocis *ὕδωρ* radicem debiliorem *ὑδν-ὕδα(-τος)* inesse ratus.

210 *ἕτεροι*] *ἕταροι* C D.

211 *φημι ϝέπεσσι*] *φημ' ἐπέεσσι* mss. ‖ *νηπυτίοισι*] *νηπυτίω ὣς* (cf. vs. 200, 244, 431 etc.) Bentley probabiliter, nam adi. alias de ipsis tantum hominibus usurpatur.

212 *ὧδε*] *ἄμμε* (*ἦμε* § 92) Nauck. ‖ *διακρινθέντε*] *-κριθέντε* mss. nonnulla. ‖ *ἀπονέεσθαι*] de *ᾱ-* cf. 21.

213-241] ex alia recensione irrepsisse suspicatur Friedlaender.

214] vid. ad *Z* 151.

215 *ἆρ*] *αὖ* mss. pleraque, quod e vs. 219 irrepsisse videtur.

216ᵇ-218] imitatur Verg. Aen. III 109 sq.

218 *ὑπωρεΐας*] †. De *ὀ* radicis *ὀρεσ* producto vid. § 21. ‖ *ναῖον* Nauck] *ᾤκεον* mss. (*ᾤκουν* Plat. Leg. III p. 681 *e*); vid. § 8 et ad *Ξ* 116. ‖ *πολυπίδακος*] *-πιδάκου* mss. complura et l. a. in schol.; vid. *Υ* 59 et ad *Ξ* 157.

219 *'τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα*] Fick *τέκετο Τρῶα Τρώεσσι ϝάνακτα*, deletis versibus 220-230, *Erichthonium* enim esse heroa Atticum, divinos autem equos non Erichthonio sed *Troi* datos esse (vid. *E* 265).

ὃς δὴ ἀφνειότατος ’γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα ’βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων·
ἵππῳ ϝεισάμενος παρελέξατο κυανοχαίτῃ,
αἳ δ’ ὑποκυσάμεναι ἔτεκον δύο καὶ δέκα πώλους.
αἳ δ’ ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, 226ᵇ = Θ 486
ἄκρον ἐπ’ ἀνθερίκων καρπὸν ’θέον οὐδὲ κατέκλων· 227 cf. Hes. fr. 143
ἀλλ’ ὅτε δὴ σκιρτῷεν ἐπ’ εὐρέα νῶτα θαλάσσης, 228ᵇ = Β 159
ἄκρον ἐπὶ ῥηγμῖνα ἁλὸς πολιοῖ’ ἐθέεσκον.
Τρῶα δ’ Ἐριχθόνιος ’τέκετο Τρώεσσι ϝάνακτα·
Τρωὸς δ’ αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, 231 cf. Ξ 115
ϝῖλός τ’ Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος ’γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ ϝοινοχοεύειν 234 sq. cf. h. Ven. [204 sq.
κάλλεος εἵνεκα ϝοῖο, ἵν’ ἀθανάτοισι μετείη. 235 = ο 251
ϝῖλος δ’ αὖ ’τέκεθ’ υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ’ ἄρα Τιθωνὸν ’τέκετο Πρίαμόν τε
Λάμπον τε Κλυτίον θ’ Ἱκετάονά τ’ ὄζον Ἄρηος. 238 = Γ 147
Ἀσσάρακος δὲ Κάπυν, ὃ δ’ ἄρ’ Ἀγχίσην ’τέκε παῖδα·
αὐτὰρ ἔμ’ Ἀγχίσης, Πρίαμος δ’ ἔτεχ’ Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι. 241 = Ζ 211

---

220 δή] *ϙ’? Platt δ’; cf. § 8.

221-229] del. vHerwerden, imprimis ob ῥηγμῖνα vs. 229 sensu inusitato adhibitum.

221 ’βουκολέοντο] vid. ad Α 598.

224] damnat Heyne. || ϝεισάμενος dubitanter Heyne] δ’ εἰσάμενος mss. || παρελέξατο κυανοχαίτῃ] l. a. ἐμίγη φιλότητι καὶ εὐνῇ; cum παραλέξασθαι tum εὐνή de *equo* (ἵππῳ ϝεισάμενος) inepte dictum. || In C additur ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν (= Hes. Theog. 279), quem versum post 223 habent Cant. Harl.

226-229] cf. Verg. Aen. VII 808-811.

226 σκιρτῷεν] nonnisi vs. 228 redit verbum.

227 ἀνθερίκων] †, segetis vel herbarum culmi significari videntur; posteri asphodeli caules sic vocabant. Cum hyperbola cf. Ψ 504 sqq.

228 sq.] imitatur Verg. Georg. III 194 sq.

228 δή] δὲ Ar. || σκιρτῷεν] vid. ad vs. 226.

229 ῥηγμῖνα Ahrens] -νος mss. Hoc loco *undae*, alias *aestus* sic dicitur. || πολιοῖ’ ἐθέεσκον] -οῖο θ. mss.; cf. § 59. De masculino vid. § 53.

232ᵃ] imitatur Verg. Aen. VI 650.

234 καί] l. a. μέν. || ἀνηρέψαντο Doederlein] ἀνηρείψαντο Ar. mss., item α 241 δ 727 ξ 371 υ 77, quasi a verbo -ερείπω ducta sit forma; ἀνηρήψαντο Apoll. lex. Hesych. Melius ad -ερέπτειν refertur Etym. M. 107, 58; vid. Φ 271 et Hesych. s. v. ἀνερεψάμενοι· ἀναρπάσαντες. A radice ἀρεπ (ἁρπάζω, ἅρπυια antiquitus ἀρέπυια) aoristum ducit Fick coll. Hes. Theog. 990, ubi ἀναρεψαμένη habet Ven., ἀναρειψαμένη Laur., ἀνερειψαμένη mss. cett. || ϝοινοχοεύειν] metaphorice dictum esse (vid. Δ 3 Ε 341) observavit Aristot. Poet. 26. Vid. ad Α 598.

235] damnat Hentze.

Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
πᾶσιν ὅπως κ' ἐθέλῃσιν· ὃ γὰρ κάρτιστος ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς, 244 = Ν 292
ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηιοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ'· οὐδέ κε νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι [403
παντοῖοι, ϝεπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα· 249 cf. Hes. Oper.
ὁπποῖον ϝείπησθα ϝέπος, τοῖόν κ' ἐπακούσῃς. 250 cf. Hes. Oper. 721
ἀλκῆς δ' οὔ με ϝέπεσσιν ἀποτρέψεις μεμαῶτα
πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσι."
ἦ ῥα, καὶ ἐν δϝεινῷ σάκε' ἤλασεν ὄβριμον ἔγχος
σμερδαλέῳ· μέγα δ' ἀμφὶ σάκος 'μύκε δουρὸς ἀκωκῇ.
Πηλεΐδης δὲ σάκος μὲν ἀπὸ ϝέο χειρὶ παχείῃ
ἔσχετο ταρβήσας· 'φάτο γὰρ δολιχόσκιον ἔγχος

ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶιν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς τε γυναῖκας,
αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο 253b = Η 301
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
πολλά τ' ἐόντα καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
251—255 Ar. —

242 sq.] del. Friedlaender.
243 *πᾶσιν ὅπως κ'] ὅππως κεν mss.; duriores esse numeros, semper autem alibi ὅπως κ' ἐθέλῃ dici, vere observavit Heyne. Vid. ad Η 77. || κάρτιστος] κ' ὅχ' ἄριστος A C; ὅχ' ἄριστος (deleta vocula κ') verum ducit Heyne.
244 ταῦτα λεγώμεθα] cf. Β 435 ibique Zen.
245 ὑσμίνῃ δηιοτῆτος] voci ὑσμίνῃ genitivus alias non subiungitur.
247 οὐδέ κε § 326] οὐδ' ἂν mss. || ἑκατόνζυγος L Lips.] ἑκατόζυγος mss. cett.; vox †, cf. πολύζυγος Β 293. || ἄροιτο] hoc uno loco verbum ἄρνυμαι sensu *ferendi* usurpatur; vid. tamen δ 107.
249 ϝεπέων ... νομὸς] insolita est locutio *verborum pascuum*, cf. tamen Hes. Op. 403 (h. Ap. 20?).
250 ϝείπησθα Bentley] κ' εἴπησθα mss. || ἐπακούσῃς Pseudo-Plut. vit. Hom. 173, Eust. ad Ψ 495] -σαις mss.
251-255] propter versus praecedentes damnabat Ar., versus 244-255 del. Heyne.
251 νείκεα] l. a. ὀνείδεα.
252 γυναῖκας] -κες Vrat. fortasse recte.
254 νεικεῦσ'] forma novicia (cf. § 7 et 191) pro νεικε(ί)ουσ' vel potius νεικε(ί)ωσ'.
255 πολλά τ' ἐόντα Ar.] πόλλ' ἐτεά τε mss. (πολλὰ τά τε A B). || καὶ οὐκί] l. a. τὰ δ' οὐκί.
256 με ϝέπεσσιν] μ' ἐπέεσσιν] mss. || ἀποτρέψεις] ἀποστρέψεις vel μεταστρέψεις mss. complura.
259 δϝεινῷ] δινῷ A, quam lectionem scholion parum probabiliter tribuit Aristarcho, inepte autem coll. Ν 407 (vid. ad Φ 25) interpretatur δινωτῷ. Cf. Η 245. || σάκε' ἤλασεν § 71] σάκει ἤλασεν mss., σάκεϊ ἔλασ' Ar. || ὄβριμον] ὄμβριμον C, χάλκεον D L Lips.
260 σμερδαλέῳ] -λέον mss. nonnulla, hinc σμερδαλέον δὲ μέγ' Heyne probabiliter coll. ι 395. || ἀκωκῇ] -κή mss. pauca et l. a. in schol. Paris., male.
261 ϝέο] οὗ Zen. (cf. Apoll. Pron. 97 Synt. 163 sq.); vid. Β 239 Τ 384.

ῥεῖα δ' ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο,
νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμόν, 264ᵃ cf. Χ 445
ὡς οὐ ῥηίδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα 265 cf. Γ 65
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποϝείκει. 266ᵃ=Κ 403 Ρ 77
οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
268 'ρῆξε σάκος, χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο. 268 = Φ 165 cf. Φ 594 Hes. Scut. 415
273 δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
καὶ 'βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' ἐϝίσην, 274 cf. Γ 347
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος 'θέε χαλκός,
λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἣ δὲ διὰ πρὸ
Πηλιὰς ἤιξεν μελίη, 'λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐϝάλη καὶ ἀπὸ ϝέθεν ἀσπίδ' ἀνέσχε
δϝείσας· ἐγχεΐη δ' ἄρ' ὑπὲρ νώτοι' ἐνὶ γαίῃ 279ᵇ sq.ᵃ = Φ 69 sq.
ἔστη ϝιεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
ἀσπίδος ἀμφιβρότης· ὃ δ' ἀλευάμενος δόρυ μακρὸν 281ᵃ = Β 389
ἔστη, κὰδ δέ ϝ' ἄχος 'χύτο μυρίον ὀφθαλμοῖιν,
ταρβήσας ὅ ϝοι ἄγχι 'πάγη βέλος. αὐτὰρ Ἀχιλλεὺς 283ᵇ sq.ᵃ = 441 [sq.
ἐμμαπέως ἐπόρουσε, ϝερυσσάμενος ξίφος ὀξύ, 284ᵇ = Μ 190

269 ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
270 ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων, 270 cf. Σ 481
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην· τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.

269—272 Ar. —

263 ῥεῖα δ' ἐλεύσεσθαι] ῥέα διελεύσεσθαι Ar. L Lips., ῥεῖα διελεύσεσθαι Z Townl.; verba corrupta, vid. ad *Ν* 144.

265 δῶρα] l. a. ἔργα.

266 ὑποείκει Duentzer] -κειν mss. sine sensu; vid. tamen versus paralleli.

267 ὄβριμον] ὄμβριμον mss. nonnulla.

269-272] a quibusdam qui „ζήτημα ποιεῖν" vellent (vid. ad *Κ* 372) additos esse putabat Ar.; ante eum expunxerant „ἔνιοι τῶν σοφιστῶν" (?); legit tamen Aristoteles (Poet. 26). Pugnant cum vss. praecedentibus, fluxerunt autem e male intellecto versu Σ 481. Nam clipei πτύχας, qui ibi nominantur, aut corii (vid. *Η* 247 sq. et ad Σ 481) intellegi voluit poeta aut aeris; aurum autem, argentum, stannum, quibus praeterea Vulcanus usus est (Σ 474 sq.), clipei *superficiei* exornandae inserviisse cum sana ratio docet tum patet ex Φ 165. Inepte vero interpolator finxit quinque operimenta clipei, quorum *medium* esset ex auro factum. De diversis grammaticorum commentis ad locum explicandum vid. schol. Eust. Gellius XIV 6.

269 ἔλασσε] θλάσσε olim quidam, ut locum cum versibus praecedentibus conciliarent.

270 κυλλοποδίων] vid. ad Σ 371.

272 χρυσέην § 18 et 61] χρυσῆν mss. || μείλινον] χάλκεον D G L Aristot. Poet. 26.

273ᵇ sq.] μελίῃ ἰθυπτίωνι (-κτίωνι? cf. Φ 169) | ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονος Αἰνείαο Zen. (μελίην ἰθυπτίωνα cod.; correxit Heyne).

276 ἐπέην] ἔπεεν? vid. § 302.

279 δ' ἄρ'] δὲ Nauck. || νώτοι' § 59] νώτου mss.

282 *δέ ϝ' ἄχος] δ' ἄχος οἱ mss.; verborum ordinem mutavimus coll. *Ρ* 591 Σ 22 δ 716, GHermann coniecit δ' ἄρ' ἄχος, Bentley κὰδ δ' ἀχλὺς χύτο μυρίον (cf. Φ 320, μυρίη Cobet), vid. *Ε* 696 *Π* 344 *Υ* 421. || ὀφθαλμοῖιν Bentley] -μοῖσιν mss.; requiritur genitivus.

284 *ἐμμαπέως] ἐμμεμαὼς mss. Correximus

σμερδαλέα ϝιϝάχων. ὃ δὲ χερμάδιον ᾽λάβε χειρὶ 285 = *E* 302
Αἰνείας, μέγα ϝέργον, ὅ γ᾽ οὔ κε δύ᾽ ἄνδρε φέροιεν, 286 cf. *E* 303
οἷοι νῦν βροτοί εἰσ᾽· ὃ δέ μιν ῥέα ᾽πάλλε καὶ οἶος. 287 = *E* 304
ἔνθα κεν Αἰνείας μὲν ἐπεσσυμένον ᾽βάλε πέτρῳ 288ᵇ = *Π* 411
ἢ κόρυθ᾽ ἠὲ σάκος, τό ϝοι ἤρκεσε λυγρὸν ὄλεθρον, 289ᵇ = *Z* 16
τὸν δέ κε Πηλεΐδης σχεδὸν ἄορι θυμὸν ἀπέϝρα, 290ᵇ = *Φ* 179 cf. *Π* 828
εἰ μὴ ἄρ᾽ ὀξὺ ᾽νόησε Ποσειδάων ἐνοσίχθων· 291ᵃ = *Γ* 374
αὐτίκα δ᾽ ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔϝειπε·
„ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλεΐωνι δαμεὶς Ἄϝιδόσδε κάτεισι,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ϝεκάτοιο,
νήπιος, οὐδέ τί ϝοι χραισμήσει λυγρὸν ὄλεθρον. 296 cf. *B* 873
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
μὰψ ἕνεκ᾽ ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ᾽ αἰεὶ
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι;
ἀλλ᾽ ἄγεθ᾽ ἧμές πέρ μιν ὑπ᾽ ἐκ θανάτοι᾽ ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς 301 cf. *ω* 544
τόνδε κατακτείνῃ· μόριμον δέ ϝοί ἐστ᾽ ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων ᾽φίλατο παίδων
οἳ ϝέθεν ἐξεγένοντο γυναικῶν τε θνητάων. 305ᵃ cf. *E* 637
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·

---

h. l. et vs. 442 coll. *E* 836 (ubi in Vrat. affertur l. a. *ἐμμεμαώς*); vid. etiam *ξ* 485 h. Ven. 181. Vulgata h. l. molesta est, versu autem 442 ferri omnino nequit.

286 *ὅ γ᾽ οὔ κε δύ᾽*] *ὃ οὐ δύο γ᾽* mss.; vid. ad *E* 303.

290 *ἀπέϝρα* § 150] *ἀπηύρα* mss.

292 *θεοῖς*] novicium pro *θεοῖσι*, vid. § 60. Nauck *θεός*, probabilius Graf *αὐτίκα μῦθον ἔϝειπε μετ᾽ ἀθανάτοισι θεοῖσι.*

298 *ἀχέων*] *ἀτέων* (*ἀατέων*) Bentley ex *K* 391, bene quod ad sensum, sed vid. § 56.

300 *ἧμες* § 92] *ἡμεῖς* mss. || *θανάτοι᾽* § 59] *-του* mss.

302 *μόριμον* Eust. Etym. M. 591,6] *μόρσιμον* mss. metro invito, quae ceteris locis Homericis est adiectivi forma (Pindarus vero et Aeschylus adiectivo *μόριμος* usi sunt). Nauck coniecit *κατακτείνῃσι· μόρος* (cf. *T* 421), sed *μόρος* (*letum*) cum *aufugiendi* verbo vix potest iungi (vid. ad *ω* 124); nos tentavimus **τῷ δ᾽ αἴσιμόν ἐστ᾽* coll. l. a. *Φ* 100, vHerwerden mavult *τῷ μόρσιμόν ἐστ᾽*.

303 *ἄσπερμος γενεὴ καὶ ἄφαντος*] in schol. Paris. Aristarcho tribuitur *ἄφαντος γενεὴ δμηθέντος*, cui fidem iure denegat Ludwich Arist. I p. 456; videtur Ar. lectionem *ἄσπερμος γενεὴ δμηθέντος* sive probasse sive attulisse. Apud Maximum Tyr. XXVI 9 legitur *ὥς κε . . . μετόπισθεν ὄληται*, sed ex memoria eum verba poetae minus accurate citasse apparet. — Adi. *ἄσπερμος* †, cf. *σπέρμα* *ε* 490.

305 *τε θνητάων*] *θηλυτεράων* Genev.

306-308] Troianorum aemulus Aeneas dicitur etiam *N* 460 sq. et *Y* 180 sqq.

306 *ἤχθηρε*] *ἤχθαιρε* Aristoph.; cf. *P* 270.

νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσι Ϝανάξει 307 sq. cf. h. Ven. 197 sq.
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.“
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη· 309 = Α 551
310 „ἐνοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
311 Αἰνείαν, ἤ κέν Ϝε Ϝερύσσεαι ἤ κεν ἐάσῃς. 311 cf. Κ 44
313 ἦ τοι μὲν γὰρ νῶι πολῦς ὠμόσσαμεν ὅρκους
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
315 μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, 315-318^{a} = Φ 374 sqq.
μηδ' ὁπότε Τροίη μαλερῷ πυρὶ πᾶσ' ἀπόληται 315^{b} cf. Ι 251
δαιομένη, δαίωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν.“
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων, 318 = ν 159
'βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων, 319 cf. Ε 167
320 ἷξε δ' ὅθ' Αἰνείας ἠδὲ κλυτὸς ἦεν Ἀχιλλεύς.
321 αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν ἔχε' ἀχλύν, 321^{b} cf. Ε 696
325 Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας. 325^{b} cf. Κ 465 ϑ 375
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπεράλτο θεοῖ' ἀπὸ χειρὸς ὀρούσας,

312 *Πηλεΐδῃ Ἀχιλῆι δαμήμεναι ἐσθλὸν ἐόντα.* 312 cf. Χ 176
322 *Πηλεΐδη Ἀχιλῆι, ὃ δὲ μελίην εὔχαλκον*
ἀσπίδος ἐκϜέρυσεν μεγαλήτορος Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκε,

307 (immo 306—308) Aristoph. —, teste schol. Eur. Troad. 44. || 322—324 Ar. —

307 sq.] versus notissimos, ab Aristophane damnatos, posteri referebant ad Romanorum imperium; hinc fluxit l. a. *Αἰνείω γενεὴ πάντεσσιν ἀνάξει* (*Αἰνείαο γένος πάντεσσιν ἀνάξει* Strab. XIII p. 608), quam secutus est Verg. Aen. III 97 sq. *hic domus Aeneae cunctis dominabitur oris | et nati natorum et qui nascentur ab illis.*

308 *παίδων παῖδες*] *παῖδες παίδων* mss. complura. || *γένωνται*] *λίπωνται* Syr. et olim libri „*αἱ ἀπὸ τῶν πόλεων*''.

310 *ἐνοσίγαι'* § 21] *ἐννοσ.* mss. || *μετὰ*] *ἐνὶ* Nauck.

311 *Ϝε* Bekker] *μιν* mss.; Heyne *μιν ῥύσεαι* neglecta caesura.

312] om. pleraque mss., habent C^{2} G Vrat. (in marg.). Versu 311 *ἐάσῃς* non *permittes* significat sed *relinques*, cf. *Ε* 148 *Λ* 148 *Π* 731 *Υ* 456 *Ω* 71, 569, 684 *δ* 744. Similes interpolationes leguntur *Ω* 558 *κ* 444, vid. etiam ad *Ε* 848 *Ο* 473 *σ* 420.

313 *πολῦς* § 83] *πολεῖς* mss.

315 *ἐπὶ*] *ἔτι* dubitanter Nauck.

316 sq.] om. Syr.

316 *ὁπότε* § 326] *ὁπότ' ἂν* mss. || *μαλερῷ*] adiectivum dubiae originis nonnisi *Ι* 242 *Φ* 375 redit; illis quoque locis, ut hic, ignis est epitheton. || *πᾶσ' ἀπόληται* Nauck] *πᾶσα δάηται* mss., quod et propter versum sq. et propter ipsam verbi formam suspectum est, cf. § 176. Axt *πᾶσα θέρηται* (cf. *Ζ* 331 *Λ* 667 *ρ* 23).

317 *δαιομένη, δαίωσι*] *καιομένη, καίωσι* A^{2}; cf. *Φ* 376.

320 *ἠδὲ* L Lips.] *ἠδ' ὁ* mss. cett.

321 **ἔχε'*] *χέεν* mss.

322-324] cum vs. 279 pugnare vidit Ar.; hastile in scuto transfixo haesisse alii statuerunt parum probabiliter.

322 *ὃ δὲ*] vid. ad *Λ* 191.

323 *ἐκϜέρυσεν*] *ἐξέρυσεν* mss.

327 *θεοῖ'* § 59] *θεοῦ* mss.

ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάικος πολέμοιο,
ἔνθα τε Καύκωνες πόλεμον μέτα 'θωρήσσοντο.
τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλεΐωνος ὑπερθύμοιο μάχεσθαι, 333 = 88
ὃς σέ' ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισι;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον ἌϜιδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ, 337ᵇ = Β 359
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει."
ὣς Ϝειπών Ϝ' ἔλιπ' αὖθι, ἐπεὶ διεπέφραδε πάντα. 340ᵇ = ρ 590
αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν 'σκέδασ' ἀχλὺν
θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἔκϜιδεν ὀφθαλμοῖσι,
ὀχθήσας δ' ἄρ' ἔϜειπε ποτὶ μεγαλήτορα θυμόν· 343 sq. = Φ 53 sq. 343 = Λ 403
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· 344 = Ν 99
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονὸς, οὐδέ τι φῶτα
λεύσσω, τῷ Ϝ' ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσι
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάεσθαι.
Ϝερρέτω· οὔ Ϝοι θυμὸς ἐμεῖ' ἔτι πειρηθῆναι
ἔσσεται, ὃς καὶ νῦν 'φύγε Ϝάσμενος ἐκ θανάτοιο. 350ᵇ cf. ι 63ᵃ

---

329 τε] δὲ mss. nonnulla; cf. Θ 48.

331 καί μιν φωνήσας] τὸν καὶ νεικείων Rhianus, καί μιν νεικείων Zen.

332 ἀτέοντα] sic (Didymus invenit) ἐν πάσαις, nunc χατέοντα mss. nonnulla sine sensu, ἀέκητι G et l. a. C², ἀέκοντα Cant.; PKnight ἀατεῦντα, at vid. § 7 et 191. Verbum †, sed cf. Herod. VII 223 et ἀτίζω Υ 166. Coniecimus *ἀλύοντα (*furentem*).

333] ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι mss. multa.

334 σέ' § 92] σεῦ mss.

335 κεν] δὴ C D. || συμβλήεαι (ξυμβλ.) Dindorf Savelsberg Cobet] -βλήσεαι mss. (-βήσεαι Z Mor.). Cf. ρ 472 et § 122.

338 δὴ ἔπειτα] δήπειτα mss. pleraque, cf. § 9. || πρώτοισι] Τρώεσσι mss. nonnulla.

339 σ'] om. Syr. D H L Lips.

340 *Ϝ' ἔλιπ'] λίπεν mss. || αὖθι § 322] -τοῦ mss.

342 ἔκϜιδεν] ἔξιδεν mss. Versum corruptum iure ducit Nauck, nam μέγα cum *videndi* verbo vix potuit iungi, ἰδεῖν autem pro δρακεῖν suspectum, licet conferri possint ὑπόδρα Ϝιδών, ἀχρεῖον ἰδών (vid. ad Β 269). Compositum autem †; comparantur ἐκδέρκεται Ψ 477 (ubi tamen ἐκ δέρκεται scribere praestat) et ἐξιδοῦ Soph. Phil. 851. Coniecimus *ἔπειτ' ἔγχος 'Ϝίδεν (*ΕΠΕΙΤΔμΕΓεΧ(Ο)ΣΙΔΕΝ*).

343 ἄρ' ἔϜειπε] ἄρα εἶπε mss. || *ποτὶ] πρὸς ὃν mss.; vid. ad Λ 403.

345 μὲν] *μοι? cf. α 185.

346 *Ϝ'] addidimus. Deest obiectum Ε 206, ceteris locis extat (Δ 51 Φ 170 etc.); de Ϝε = αὐτό vid. ad Δ 315.

348 εὐχετάεσθαι § 191] -τάασθαι mss.

349 ἐμεῖ' § 92] ἐμεῦ mss.

350 ὃς] ὡς Harl.

ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών." 352 cf. Τ 70
ἦ, καὶ ἐπὶ στίχας ἆλτο, 'κέλευε δὲ φωτὶ Ϝεκάστῳ·
„μηκέτι νῦν Τρώων Ϝεκὰς ἕστατε, δῖοι Ἀχαιοί,
ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι·
ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι 356 = Μ 410
τόσσους ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι·
οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη
τόσσης ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο·
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένε', οὐκέτι φημὶ μεθησέμεν', οὐδ' ἠ̃ βαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές· οὔ τιν' ὀίω
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ."
ὣς 'φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
'κέκλεθ' ὁμοκλήσας, 'φάτο δ' ἄντ' ἴμεναι Ἀχιλῆος·
„Τρῶες ὑπέρθυμοι, μὴ δέδϜιτε Πηλεΐωνα.
καί κεν ἐγὼ Ϝεπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσι. 368b = Κ 557
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοισ' ἐπιθήσει, 369b cf. Τ 107
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
τῷ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρε ϜέϜοικε·
εἰ πυρὶ χεῖρε ϜέϜοικε, μένος δ' αἴθωνι σιδήρῳ."
ὣς 'φάτ' ἐποτρύνων, οἱ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες· τῶν δ' ἄμυδις 'μίχθη μένος, ὦρτο δ' ἀυτή.
καὶ τότ' ἄρ' Ἕκτορ' ἔϜειπε παραστὰς Φοῖβος Ἀπόλλων·
„Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆι προμάχιζε,

354 *Τρώων*] *Τρῶας* D.

357 *τόσσους*] *τοσσούσδ'* mss. multa.

359 *τόσσης*] *τοσσῆσδ'* mss. multa. || *ὑσμίνης ἐφέποι στόμα*] locutio non redit.

360 *ὅσσον μὲν*] *ὅσον αὐτὸς* vHerwerden.

361 *σθένε'* § 71] *σθένει* mss. || *οὐκέτι* Naber] *οὐ μέ τι* mss.; accusativum versibus Ω 134 Ν 269 Θ 221 defendi negat Naber. || *ἠ̃ βαιὸν*] *ἠβαιὸν* mss.; cf. § 2.

362 *μάλα στιχὸς*] Axt *κατὰ στίχας*. || **οὔ τιν' ὀίω* § 295] *οὐδέ τιν' οἴω* mss.

363 *τις*] *κεν* A² L, *τις κεν* C.

365 **ἄντ' ἴμεναι*] *ἴμεναι ἄντ'* mss.; in vulgata vix recte producitur syllaba *ἰ*-, vid. § 308. Coniecimus etiam **ἴμεναι δ' ἔφατ' ἄντ'*, Nauck *φάτο δ' ἆψ ἴμεν ἄντ'*.

368 *φέρτεροί εἰσι*] *-ρος ἐστὶν* D.

370] del. Leaf. || *κολούει*] *-σει* Townl. non male.

371 *τῷ* A C¹ L] *τοῦ* mss. cett.; vid. ad Φ 150. || *χεῖρε* Bentley] *χεῖρας* mss.; item vs. 372.

372] totum comma iteratur etiam Χ 128 Ψ 642; alia est ratio locorum Β 672 (ubi vid.) etc. || *χεῖρε* Bentley] *-ρας* mss., vid. vs. 371. || *σιδήρῳ*] cf. Ρ 424.

373 *ἔγχε' ἄειραν*] l. a. *ἔσταν Ἀχαιῶν*.

375 *Ἕκτορ' ἔϜειπε*] *-ρα εἶπε* mss. De accusativo vid. ad Μ 60.

ἀλλὰ κατὰ πληθὺν Ϝε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ' ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ." 378ᵇ cf. 462
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο Ϝουλαμὸν ἀνδρῶν
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ Ϝόπα φωνήσαντος. 380ᵇ cf. *B* 182

ἐν δ' Ἀχιλεὺς Τρώεσσ' ἔθορε, φρεσὶ Ϝειμένος ἀλκήν,
σμερδαλέα ϜιϜάχων· πρῶτον δ' ἕλε Ϝιφιτίωνα,
ἐσθλὸν Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη 'τέκε νηὶς Ὀτρυντῆι πτολιπόρθῳ
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ·
τὸν δ' ἰθὺς μεμαῶτα 'βάλ' ἔγχεϊ δῖος Ἀχιλλεὺς 386ᵃ = *Δ* 95
μέσσην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσ' ἐκεάσθη. 387 = *Π* 412
'δούπησεν δὲ πεσών, ὁ δ' ἐπηύξατο δῖος Ἀχιλλεύς· 388 cf. *Δ* 449 388ᵇ = *X* 330
„κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν· 389ᵇ = *Δ* 146
ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώιόν ἐστι,
Ὕλλῳ ἔπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι."
ὣς ἔφατ' εὐχόμενος, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε. 393ᵇ = *Δ* 461
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροισ' ἐδατεῦντο
πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
'νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου. 397ᵇ = *M* 183
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς 398 cf. *M* 184
αἰχμὴ Ϝιεμένη 'ρῆξ' ὀστέον, ἐγκέφαλος δὲ 399 sq. = *M* 185 sq.
ἔνδον ἅπας 'πεπάλακτο· 'δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀίξαντα, 401 cf. *Δ* 423
πρόσθε Ϝέθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί. 402 = *E* 56

---

377 **Ϝε*] *τε* mss.
379 *ἐδύσετο*] *-σατο* mss. complura.
381 *Τρώεσσ' ἔθορε*] *-σσι θόρε* mss.
383 sq.] vocis *Ὀτρυντεύς* syllaba prima correpta (etiam versu 389) manum prodit noviciam, quapropter Leaf delet vs. 383-394, Schulze vs. 382-395 (*Ἰφιτίωνα — αὐτῷ*).
384 *ὃν*] l. a. *τόν*.
385 *Ὕδης*] *Ὕλης* Vrat. et l. a. in schol. B; *Hyden* Lydiae urbem esse (= *Sardes*? Strab. IX p. 407 XIII p. 626), *Hylen* vero Boeotiae, annotavit Ar. Zenodoto adversatus (vid. ad *E* 708 *H* 221).
387 *πᾶσ' ἐκεάσθη*] *πᾶσα κ.* mss.
389 *κεῖσαι*] *κεῖσ'* Syr. fortasse recte, vid. supra ad vs. 383 sq.
393 *ἔφατ' εὐχόμενος*] *φάτ' ἐπευχόμενος* Syr.
394 *ἐπισσώτροισ' ἐδατεῦντο*] *-οις δατέοντο* mss.; vid. § 60. Redit *'δατεῦντο* *Ψ* 121 *α* 112; de termino novicio *-εῦντο* vid. § 7 et 191. Verbum *δατέομαι* nonnisi hoc loco *lacerare* significat. De voce *ἐπίσσωτρα* vid. ad *E* 725.
395 *Δημολέοντα*] sic Ar., alii olim *Δηιλέοντα*.
396] om. D. ‖ *ἀλεξητῆρα*] †, cf. *πόλεμον ... ἀλαλκών* *I* 605. ‖ *μάχης*] l. a. *μάχῃ*.
398 *δι' αὐτῆς*] *διὰ πρὸ* loco parall. *M* 184.
401 *ἀίξαντα*] *ἀίσσοντα* mss. complura.

αὐτὰρ ὃ θυμὸν ἄισθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ϝελικώνιον ἀμφὶ Ϝανάκτα
κούρων ἑλκόντων, — γάνυται δέ τε τοῖσ' ἐνοσίχθων· —
ὣς ἄρα τόν γ' ἐρυγόντα 'λίπ' ὀστέα θυμὸς ἀγήνωρ. 406ᵇ cf. μ 414
αὐτὰρ ὃ 'βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά Ϝοι μετὰ παισὶ νεώτατος ἦσκε γόνοιο,
καί Ϝοι φίλτατος ἦσκε, πόδεσσι δὲ πάντας ἐνίκα·
δὴ τότε νηπιίηφι, ποδῶν ἀρετὴν ἀναφαίνων,
'θῦνε διὰ προμάχων, ἧος φίλον ὤλεσε θυμόν. 412 = Δ 342
τὸν 'βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς 413ᵃ cf. 486
νῶτα παραΐσσοντα, ὅθι ζωστῆρος ὀχῆες 414ᵇ sq. = Δ 132 sq.
χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ·
ἄντικρυς δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή, 416ᵃ = Ε 100
γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψε 417 cf. Ε 68
κυανέη, προτὶ Ϝοὶ δὲ 'λάβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ,
κάρ ῥά Ϝοι ὀφθαλμῶν 'κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη 421ᵃ cf. Ε 696ᵇ
δϜηθὰ Ϝεκὰς στροφάεσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆι
ὀξὺ δόρυ κραδάων, φλογὶ Ϝείκελος. αὐτὰρ Ἀχιλλεὺς 423ᵃ = Ν 583
ὡς ἔϜιδ', ὣς ἀνέπαλτο, καὶ εὐχόμενος Ϝέπος ηὔδα· 424ᵃ cf. Ξ 294
„ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐπεμάσσατο θυμόν, 425ᵇ cf. Ρ 564
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδέ κ' ἔτι δϜὴν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.“ 427ᵇ = Θ 378
ἦ, καὶ ὑπόδρα Ϝιδὼν προσεφώνεεν Ἕκτορα δῖον·

---

403 *ἄισθε*] vid. *Π* 468. ‖ *ἤρυγεν*] verbum (*rugire*) nonnisi vs. 404 et 406 redit, diversum enim est *ἐρεύγεται* etc. (*eructari*) *Ο* 621 etc.; sed cf. *ἐρύγμηλος* *Σ* 580.
404 *ἤρυγεν*] vid. vs. 403.
406 *ἐρυγόντα*] vid. vs. 403.
409 *παισὶ*] *πᾶσι* D G H. ‖ *ἦσκε*] *ἔσκε* mss.
410 *ἦσκε*] *ἔσκε* mss.
411 *δὴ τότε*] vid. *ν* 92. ‖ *νηπιίηφι*] -*έῃσι* mss.
412 *ἧος* § 323] *εἵως* mss.
414 *παραΐσσοντα*] -*ντος* Ar. et mss. multa. Vid. *δ* 646 et ad *Ι* 635.
416 *ἄντικρυς* § 31] *ἀντικρὺ* mss.
418 *προτὶ*] *ποτὶ* C H.
420 *προτὶ* Syr.] *ποτὶ* mss. cett.
421 *'κέχυτ' ἀχλύς*] *κέχυτο χλόος* Syr. Lips. (*χόλος* Harl.), quod recipit Platt, vox autem *χλόος* in Hom. non obvia. Nauck *ἀχλὺς χύτο* (vid. § 3).
422 *δϜηθὰ* Bentley] *δηρὸν* mss. Cf. *Ξ* 110. ‖ *στροφάεσθ'* § 191 et 248] *στρωφᾶσθ'* mss. ‖ *Ἀχιλῆι*] -*λῆος* mss. pleraque.
424 *ἀνέπαλτο*] **ἀνέαλτο*? vid. ad *Θ* 85.
425 *ἐπεμάσσατο* Mor.] *ἐσεμ.* mss. cett.; cf. *Ρ* 564.
426 *οὐδέ κ'* § 326] *οὐδ' ἂν* Ar. L Harl., *οὐδ' ἄρ'* mss. cett.
427 *πτώσσοιμεν*] accusativus verbo nonnisi *χ* 304 praeterea subiungitur, ubi vid. ‖ *πτολέμοιο γεφύρας*] vid. *Δ* 371.

„ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι." 429 = Ζ 143
τὸν δ' οὐ ταρβήσας προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 430 cf. Ε 286
„Πηλεΐδη, μὴ δή με Ϝέπεσσί γε νηπύτιον ὣς 431-433 = 200 sqq.
Ϝέλπεο δεδϜίξεσθαι, ἐπεὶ σάφα Ϝοῖδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσιμα μυθήσασθαι.
Ϝοῖδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ' ἦ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται, 435 = Ρ 514
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθε."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ· καὶ τό γ' Ἀθήνη 438 cf. Γ 355
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτόθι δὲ προπάροιθε ποδῶν 'πέσεν. αὐτὰρ Ἀχιλλεὺς 441a = π 344
ἐμμαπέως ἐπόρουσε, κατακτάμεναι μενεαίνων, 441b sq.a = 283 sq. 442 cf. Γ 379 Ε 436
σμερδαλέα ϜιϜάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων 443b cf. Γ 380
ῥεῖα μάλ' ὥς γε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ. 444 = Γ 381
τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς 445a = Ε 436
ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα 'τύψε βαθεῖαν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι Ϝῖσος, 447 sq.a = Ε 438 sq.
δϜεινά Ϝ' ὁμοκλήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι 449-454 = Λ 362 sqq.
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν εἰς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ ποθί τις καὶ ἐμοί γε θεῶν ἐπιτάρροθός ἐστι.
νῦν αὖ τοὺς ἄλλους ἐπιϜίσομαι, ὅν κε κιχήω."
ὣς Ϝειπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·

---

429 *πείραθ'*] vid. ad Ζ 143.
431 *με Ϝέπεσσι*] *μ' ἐπέεσσι* mss.
433 *αἴσιμα* Duentzer] *αἴσυλα* mss.; vid. ad vs. 202.
434 *ὅτι*] suspicionem movet -*ι* productum, vid. § 26; Ahrens *ὃ δή*, cf. γ 166 (= μ 295); an **Ϝοῖδ' ὅτι δή*? cf. σ 11 τ 72.
435 *θεῶν — κεῖται*] vid. ad Ρ 514.
439 *Ἀχιλλῆος πάλιν*] vid. ad Σ 138.
440 *ψύξασα*] *ξύσασα* C[1]. Simplex *ψύχω* † (*ἀνα-, ἀποψύχω* saepius).
441 *αὐτόθι* § 322] *αὐτοῦ* mss.; *adverbium* esse e versu parall. patet.
442 **ἐμμαπέως*] *ἐμμεμαὼς* mss., vid. ad vs. 284. Ferri nequit *ἐμμεμαὼς ... μενεαίνων*.
444 **γε*] *τε* mss.
447] om. mss. multa, del. PKnight.
448 **Ϝ'*] *δ'* mss.; cf. Ε 439.
450 *ἐρύσατο*] *ἐρύσσατο* A; vid. ad Λ 363.
452 *ἐξανύω*] vid. § 147.
453 *ποθί* § 322] *πού* mss. || *ἐστι*] *εἴη* mss. pauca; vid. vs. parall.
454 *αὖ τοὺς ἄλλους*] *δ' ἄλλους Τρώων* (vel *Τρῶας*) mss. pleraque, at vid. vs. parall. || *ἐπιϜίσομαι* § 201] *ἐπιείσομαι* mss. || *κε*] *γε* Genev. || *κιχήω* § 122] *κιχείω* mss.

ἤριπε δὲ προπάροιθε ποδῶν. ὃ δὲ τὸν μὲν ἔασε,
Δημόοχον δὲ Φιλητορίδην ἠύν τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξήνυτο θυμόν.
αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε, 461^{b} cf. *Ε* 835
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας. 462^{b} cf. 378
Τρῶα δ' Ἀλαστορίδην· ὃ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ ϝεό πως πεφίδοιτο λαβὼν καὶ ζῳὸν ἀφείη
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας,
νήπιος, οὐδὲ τὸ 'ϝείδε' ὅ ϝ' οὐ πείσεσθαι ἔμελλε· 466 = γ 146; 466^{a} cf. *Β* 38
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς. ὃ μὲν ἥπτετο χείρεσι γούνων
ϝιέμενος λίσσεσθ', ὃ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ ϝοι ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε 471^{b} = *Δ* 461
θυμοῦ δευόμενον. ὃ δὲ Μώλιον οὖτα παραστὰς
δούρ' οὖας· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
μέσσην κὰκ κεφαλὴν ξίφε' ἤλασε κωπήεντι, 475^{b} cf. *Π* 332
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε 476 sq. = *Π* 333 sq.

---

457 *Δημόοχον*] -*οῦχον* mss.

459 *ἐξήνυτο*] *ἐξαίνυτο* mss.

462] vertit Vergilius Aen. XII 510 sq.: *hunc venientem cuspide longa | hunc mucrone ferit.*

463-468 *ὃ μὲν — ἐμμεμαώς*] haec verba del. Leaf.

463 *Τρῶα*] anacoluthon notabile, quod vitiosum tamen non videtur, vid. *Ζ* 510 sq. et ad *Β* 353; vHerwerden *τρῶσε*. || *ἀντίος ἤλυθε γούνων*] locutio insolita; de re vid. ad *Δ* 500.

464 **ϝεό πως*] *πώς εὐ* mss. pleraque (vid. § 92), *πώς οἱ* L Harl. Lips., vid. ad *Ι* 377. Hic tamen dativus locum non habet.

466 '*ϝείδε'*] *ἤδη* mss.; an **τ' ἐϝείδε'*? cf. *Β* 38. || **ϝ'(οι)*] inseruimus; cf. § 13.

467 *τι*] l. a. *τις* et *ἔτι*. || *γλυκύθυμος*] †, *γλυκύς* autem non de mente usurpatur sed de rebus gratis. || *ἦν*] *ἔεν*? cf. § 302.

468 *χείρεσι*] forma vix integra, vid. § 64; tentavimus **χερσὶ γενείου*.

470 sq. *αἷμα ... κόλπον ἐνέπλησεν*] Verg. Aen. X 819 vertit: *implevitque sinum sanguis.*

471 *ἐνέπλησεν*] *ἐνέπρησεν* Ar. Philoxenus et mss. nonnulla (vid. ad *Δ* 481 et *Β* 415); quam lectionem Ar. in commentariis contorte admodum explicabat: „*τὸ αἷμα ἀπὸ τοῦ ἥπατος ἐκρούνιζε χύδην καὶ τὸν τοῦ χιτῶνος κόλπον ἐνεφύσησεν*", in errorem fortasse abductus versibus *Ι* 433 (= *β* 81) *Π* 350. Vulgatam expressit Vergilius l. l., vid. ad vs. 470 sq.

472 *Μώλιον* Nauck] *Μούλιον* mss.; cf. *Λ* 739.

473 **δούρ' οὖας*] *δουρὶ παρ'* (vel *κατ'*) *οὖς* mss.; PKnight *δουρὶ κατ' οὖας· ἄφαρ*. Cf. § 72 et ad *Λ* 109. || *ἑτέροιο*] *ἑτάροιο* D.

475 *ξίφε'* § 71] *ξίφει* mss.

476 *ὑπεθερμάνθη*] cf. *Π* 333.

ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντε
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρε
αἰχμῇ χαλκείῃ· ὃ δέ μιν 'μένε χεῖρα βαρυνθεὶς,
πρόσθ' ὁράων θάνατον· ὃ δὲ φασγάνῳ αὐχένα θείνας
τῆλ' αὐτῇ πήληκι κάρη 'βάλε· μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ', ὃ δ' ἐπὶ χθονὶ 'κεῖτο τανυσθείς.
αὐτὰρ ὃ 'βῆ ῥ' ἴμεναι μετ' ἀμύμονα Πειρόου υἱὸν, 484 cf. *Κ* 73
Ῥίγμον, ὃς ἐκ Θρῃίκης ἐριβώλακος εἰληλούθει· 485 cf. *Ε* 44
τὸν 'βάλε μέσσον ἄκοντι, 'πάγη δ' ἐν νηδύι χαλκὸς, 486ᵃ cf. 413
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηίθοον θεράποντα, 486ᵇ cf. *Δ* 528
ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέι δουρὶ
'νύξ', ἀπὸ δ' ἅρματος ὦσε· 'κυκήθησαν δέ ϝοι ἵπποι.
ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντῃ τε κλονέων ἄνεμος φλόγα ϝειλυφάζει,
ὣς ὅ γε πάντῃ ἔθυνε σὺν ἔγχεϊ, δαίμονι ϝῖσος,
κτεινομένους ἐφέπων· 'ρέε δ' αἵματι γαῖα μέλαινα. 494ᵇ = *Ο* 715
ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐϋ κτιμένῃ ἐν ἀλωῇ, 496ᵇ = *Φ* 77 *ω* 226 cf. *ω* 336
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι

478 *ἔπειθ', ἵνα τε*] *ἔπειτα, ἵνα* Nauck. || *τένοντε* D¹ Vrat.] *τένοντες* cett.; vid. ad *Π* 587.

479 *τῇ τόν*] abundat et adverbium et pronomen.

479 sq. *φίλης ... ἔπειρε* | *αἰχμῇ χαλκείῃ*] *μέσης ... ἔλασσεν* | *αἰχμὴ χαλκείη* Syr.

481 *πρόσθ'*] Zenodotum „*χωρὶς τοῦ θ*" scripsisse refert schol. V: metrone igitur invito? Ingeniose Ludwich coniecit Zenodotum „*χωρὶς τὸ θ*" i. e. *πρός θ'* dedisse. || *ὁράων* § 191] *ὁρόων* mss.

483 *σφονδυλίων*] †. || *ἔκπαλθ'*] cf. *Χ* 452 *πάλλεται ἦτορ* et ad *Ο* 645.

484 *ἴμεναι* § 125] *ἰέναι* (*ἰέμεναι* H) mss. || *Πειρόου* Brandreth] *Πείρεω* Ar mss., *Πείρεως* Zen. metro invito (vid. § 2). Vid. *Β* 844 *Δ* 520, 525.

485 *Ῥίγμον*] l. a. *Ῥίγμονα* (*Ῥίγμον'*). || *Θρῃίκης*] vid. § 17.

486 *νηδύι*] *πνεύμονι* (ut *Δ* 528) mss. multa, quod falsum esse arguit adiectivum *μέσσον* (cf. *Ν* 397 sq. *Υ* 413 sqq.). De voce *νηδύι* trisyllaba vid. § 75.

490-492] similis est comparatio *Λ* 155-157.

490 *ἀναμαιμάει*] cf. § 190. Comp. †, cf. *περιμ.* *μ* 95.

491 *ἀζαλέοιο*] vid. ad *Δ* 487.

492] imitatur Verg. Georg. II 310 sq. || *ϝειλυφάζει*] †, cf. *-φάω* *Λ* 156.

493 *ἔθυνε*] *θῦνε* mss.

494 *κτεινομένους ἐφέπων*] insolite dictum; Axt *κτείνων τοὺς* (cf. *Λ* 177 sq.), Bothe *στεινομένους* (cf. *Ξ* 34).

496 *ἐϋ κτιμένῃ*] *ἐυτροχάλῳ* mss. pauca (ex Hes. Op. 599).

497 *λέπτ'*] adi. *λεπτός* hic priscam vim (= *λελεπισμένος*) servavit.

498 *μεγαθύμου*] *-μοο*? cf. § 59.

'στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων 499^{b}-502^{a}=Λ 534 sqq.
νέρθεν ἅπας 'πεπάλακτο καὶ ἄντυγες, αἳ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ' ἀπ' ἐπισσώτρων· ὁ δ' ἐϝίετο κῦδος ἀρέσθαι
Πηλεΐδης, λύθρῳ δὲ 'παλάσσετο χεῖρας ἀάπτους. 503 cf. Λ 169

501 *ὁπλέων*] forma novicia, vid. § 56; ecquid **ἀφ' ὁπλάων ἵππων?* cf. Λ 536.

502 *αἵ τ'*] *αἱ δ'* Nauck. || *ἐπισσώτρων*] *ὀπ.* Syr.; vid. ad *Ε* 725.

ΙΛΙΑΔΟΣ Φ.

Μάχη παραποτάμιος.

ἀλλ᾽ ὅτε δὴ πόρον ἷξον ἐυρρεέος ποταμοῖο, 1 sq. = Ξ 433 sq.
Ξάνθου δινήεντος, ὃν ἀθάνατος ᾽τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ᾽ ἐδίωκε 3a = γ 291
πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι ᾽φοβέοντο 4 cf. Ζ 41
ἤματι τῷ προτέρῳ, ὅτ᾽ ἐμαίνετο φαίδιμος Ἕκτωρ· —
τῇ ῥ᾽ οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ᾽ Ἥρη
᾽πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν᾽ — ἡμίσεες δὲ
εἰς ποταμὸν ᾽ϝέλλοντο βαθύρροον ἀργυροδίνην,
ἐν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, ᾽βράχε δ᾽ αἰπὰ ῥέεθρα,
ὄχθαι δ᾽ ἀμφὶ περὶ μέγ᾽ ἐϝίϝαχον· οἳ δ᾽ ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα, ϝελισσόμενοι κατὰ δίνας.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμόνδε· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ᾽ ὕδωρ· 14a = Ρ 738

---

1 *πόρον*] *ῥόον* Aristoph. || *ἐυρρεέος* § 73] *ἐυρρεῖος* (*-ηος* L Lips.) mss.

2 *ἀθάνατος*] *-τον* Zen.; vid. ad *Β* 741.

4 *Ἀχαιοὶ*] *οἱ ἄλλοι* mss. pleraque, quam lectionem novit Ar. Cf. *Ζ* 41 *Φ* 554.

6 *πεφυζότες*] cf. § 237.

7 *᾽πίτνα*] vid. § 195. || *ἐρυκέμεν᾽*] ut impediret eorum fugam an ut Achillem arceret? Utrumque incommodum, quapropter Duentzer del. verba *ἠέρα — ἐρυκέμεν᾽*.

8 *᾽ϝέλλοντο* § 265] *εἰλεῦντο* (*εἰλεῦντο*) mss. || *βαθύρροον*] alias Oceani est epitheton.

9 *αἰπὰ*] *αἰνὰ* Nauck, item *Θ* 369, ubi vid.

10 *μέγ᾽ ἐϝίϝαχον* PKnight] *μέγα ϝίαχον* Bentley, *μεγάλ᾽ ἴαχον* mss. || *ἀλαλητῷ*] vid. ad *Β* 149.

11 *ἔννεον*] *νήχοντ᾽* olim libri nonnulli „*τῶν κατὰ πόλεις*". Verbi *ἐν-νέω* imperfectum esse videtur, sunt tamen qui a simplici verbo *νέω* ducant; vid. § 27. || *κατὰ*] *περὶ* mss. nonnulla (ut *Σ* 372). Cf. vs. 353.

12 *ὑπὸ*] *ὑπαὶ* mss. nonnulla; vid. § 315. || *ἀκρίδες*] †.

14 *ἐξαίφνης*] vid. ad *Ρ* 738.

ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
'πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν. 16b cf. Λ 525 Ψ 242
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν 'λίπεν αὐτόθ' ἐπ' ὄχθῃ
κεκλιμένον μυρίκῃσιν, ὃ δ' εἴσθορε δαίμονι ϝῖσος,
φάσγανον οἶον ἔχων, — κακὰ δὲ φρεσὶ 'μήδετο ϝέργα, — 19b = Ψ 176
'τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀϝεικὴς 20 sq. cf. Κ 483 sq.
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος ἐυόρμου,
δεδϝιότες, — μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσι, — 24 cf. Γ 25
ὣς Τρῶες ποταμοῖο κατὰ δϝεινοῖο ῥέεθρα
'πτῶσσον ὑπὸ κρημνούς. ὃ δ' ἐπεὶ 'κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα 'λέξατο κούρους,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς, 29b cf. Δ 243
'δῆσε δ' ὀπίσσω χεῖρας ἐυ τμητοῖσιν ἱμᾶσι, 30b = Κ 567
τοὺς αὐτοὶ 'φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι,
'δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας. 32 cf. Ε 26
αὐτὰρ ὃ ἂψ ἐπόρουσε δαϊξέμεναι μενεαίνων.

ἔνθ' υἷι Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ' αὐτὸς
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὃ δ' ἐρινεὸν ὀξέι χαλκῷ
'τάμνε νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
τῷ δ' ἄρ' ἀνώιστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς. 39 cf. γ 306

---

15 *βαθυδινήεντος*] *ὑπὸ δινήεντος* D.

17 *ὁ*] delendum? || *αὐτόθ'* § 322] *αὐτοῦ* mss. || *ἐπ'*] *ἐν* Syr.

18 *κεκλιμένον*] veteres male interpretabantur *abditum*, item vs. 549; vid. ad *Ε* 356. || *εἴσθορε*] *ἔνθορε* D et l. a. in schol.; cf. *Μ* 462.

22 *δ'*] om. Syr. || *μεγακήτεος*] vid. *Θ* 222. || *ἄλλοι*] coll. *Ν* 64 defendi potest, poetae enim, ut recte observatur in schol., delphinos piscibus iure suo accensent. Suspicamur tamen veram lectionem esse **ἐλλοί*; cf. Soph. Ai. 1297 et fragmentum e Titanomachia allatum Athen. VII 277*d*; in Hes. Scut. vs. 212 *δελφῖνες* persequuntur *ἔλλοπας ἰχθῦς*.

25 *δϝεινοῖο*] *δινοῖο* mss. complura non recte, vid. ad *Υ* 259.

26] Hermodorus rhapsodus stulte iungens *χεῖρας ἐναίρων* interpretabatur *χειροκοπῶν* (*manus hostium truncans*).

27 sq.] imitatur Verg. Aen. X 517-519.

31 *στρεπτοῖσι*] vid. *Ε* 113.

33 *αὐτὰρ ὃ ἂψ ἐπόρουσε*] l. a. *αὐτὸς δ' αἶψ' ἐπόρουσε* (aut *ἐσόρουσε*) in schol. Φ 18. || *ὃ*] **ὅς*? alii *ὅ γ'*, vid. § 15. || *δαϊξέμεναι*] sic Ar., *δαϊζέμεναι* Vrat., alii olim *κατακτάμεναι*.

34 *υἷι*] *υἱεῖ* mss. pleraque; cf. § 78 et *Β* 791 *Π* 177.

38 *ὄρπηκας*] †. Cum duplici accusativo cf. *Α* 236.

39 *ἀνώιστον*] †, cf. *ἀνωιστί* δ 92.

καὶ τότε μέν μιν Λῆμνον ἐϋ κτιμένην ἐπέρασσε
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε· 41 cf. Ψ 746
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκε, 41[b] cf. ο 388, 429
Ἴμβριος Ἠετίων, 'πέμψεν δ' εἰς δῖαν Ἀρίσβην·
ἔνθεν ὑπεκπροφυγὼν πατρώιον ἵκετο δῶμα.
ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο Ϝοῖσι φίλοισι
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
πεμψέμεν' εἰς ἈϜίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι. 48 cf. Σ 240
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς 49[a] = Ε 95
γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ 'βάλε, — 'τεῖρε γὰρ ἱδρὼς 51[b] cf. Ε 796[a]
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα, —
ὀχθήσας δ' ἄρ' ἔϜειπε ποτὶ μεγαλήτορα θυμόν· 53 sq. = Υ 343 sq.
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος, 56[b] cf. Ψ 51
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ, 57[b] = ι 17
Λῆμνον ἐς ἠγαθέην πεπρημένος· οὐδέ μιν ἔσχε 58[a] = 79 cf. Β 722
πόντος ἁλὸς πολιῆς, ὃ πολῦς ἀϜέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα Ϝίδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαήω
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
ὣς ὥρμαινε μένων· ὃ δέ Ϝοι σχεδὸν ἦλθε τεθηπώς, 64 cf. Χ 131
γούνων ἅψασθαι μεμαώς, περὶ δ' ἤθελε θυμῷ

---

41 *ὦνον*] argenteum vas, cuius pretium fuit centum boum (vs. 79), pro eo dedit Euneus (Ψ 741 sqq.).

42 *πολλὰ*] trecentos boves (vs. 79 sq.).

43 *'πέμψεν — Ἀρίσβην*] scil. ut ibi maneret donec bellum confectum esset.

48 *πεμψέμεν'* § 125] *πέμψειν* mss. || *νέεσθαι*] *redeundi* verbum more novicio *abeundi* sensu usurpatum est, item Ψ 51 δ 8 ξ 261 (= ρ 430), 498 σ 186 (= χ 434, 496) χ 484 Hes. Oper. 237, et *νοστέω* δ 619 (= ο 119). Cf. § 292.

52 *ἐδάμνα*] cf. § 195.

53 *ἄρ' ἔϜειπε*] *ἄρα εἶπε* mss. || **ποτὶ*] *πρὸς ὃν* mss.; vid. ad Δ 403.

56 *ὑπὸ*] *ἀπὸ* Nauck; an **ὑπ' ἐκ*?

58 *ἠγαθέην*] vid. § 21. || *πεπρημένος* Leskien] *πεπερημένος* mss.; cf. § 299.

59 *πόντος ἁλὸς*] imitatur Verg. Aen. X 377 *maris...pontus.* || *πολῦς* § 83] *πολεῖς* mss.

62 *καὶ κεῖθεν*] sic Ar., *κἀκεῖθεν* mss. nonnulla; cf. § 9. || *ἐρύξει*] *ἐρύκει* Syr.

63 *γῆ φυσίζοος*] *-ζωος* mss. complura. Novicium est *γῆ* pro *γαῖα* et ingrata est caesura post pedem 2[um]. Christ et Fick *γαῖα φερέσβιος* coll. h. Ap. 341 (adde h. XXIX 9), *γαῖα φῠσίζωōς* Brandreth deleto *κατά* (om. D H L Lips., *καὶ* C), sed longam esse syllabam *φυ-* docent Γ 243 λ 301 h. Ven. 125.

ἐκφυγέμεν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν. 66 cf. Π 47 χ 14
ἦ τοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς
οὐτάμεναι μεμαώς, ὃ δ᾽ ὑπέδραμε καὶ ᾽λάβε γούνων 68ª = τ 449
κύψας· ἐγχείη δ᾽ ἄρ᾽ ὑπὲρ νώτοι᾽ ἐνὶ γαίῃ 68ᵇ = κ 323 69ᵇ sq.ª = Υ 279 sq.
ἔστη, ϝιεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ᾽ ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον οὐδὲ μεθίει·
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα· 73 sq. cf. χ 311 sq. [343 sq.
„γουνάομαί σ᾽, Ἀχιλεῦ· σὺ δέ μ᾽ αἴδεο καί μ᾽ ἐλέησον· 74ᵇ cf. Χ 82
ἀντί τοί εἰμ᾽ ἱκέταο, διοτρεφές, αἰδοίοιο.
πὰρ γὰρ σοὶ πρώτῳ ᾽πασάμην Δημήτερος ἀκτὴν 76ᵇ cf. Ν 322
ἤματι τῷ ὅτε μ᾽ εἷλες ἐϋ κτιμένῃ ἐν ἀλωῇ, 77ᵇ = Υ 496
καί μ᾽ ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον. 79ª = 58
νῦν δ᾽ ἐλύμην τρὶς τόσσα πορών, ἠὼς δέ μοί ἐστι 80ᵇ sq. cf. 155 sq.
ἥδε δυωδεκάτη ὅτε ϜΊλιον εἰλήλουθα 81ᵇ cf. Ε 204
πολλὰ παθών· νῦν αὖ με τεῇσ᾽ ἐν χερσὶν ἔθηκε
μοῖρ᾽ ὀλοή· μέλλω ποθ᾽ ἀπεχθέσθαι Διὶ πατρί,
ὅς μέ σοι αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
᾽γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτα᾽, ὃς Λελέγεσσι φιλοπτολέμοισι ϝανάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ᾽ ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·

73 Ar. om.

66 ἐκφυγέμεν § 126] -γέειν mss.

69 δ᾽ ἄρ᾽] δὲ Nauck. || νώτοι᾽ § 59] νώτου mss.

70 ἄμεναι] § 195; cf. ἆσαι Λ 574 alibi, et ἄομεν Τ 402.

71] cf. Ζ 45.

73] deerat in Aristarcheis, abesse tamen nequit (diversi enim sunt loci Ζ 45 κ 265), et satis defenditur Odysseae locis parallelis. || μιν φωνήσας] μιν λισσόμενος (ut χ 311, 343) mss. complura, ῥ᾽ ὀλοφυρόμενος H Vrat.

74 *γουνάομαι § 144] γουνοῦμαι mss.

76 πρώτῳ] nempe inter Graecos. Stesimbrotum hinc efficientem diversum fuisse cibum Troianorum et Graecorum, hos enim polenta vesci fuisse solitos, illos pane, refellebat Ar.

79 ἠγαθέην] vid. § 21. || ἑκατόμβοιον] vid. vs. 41 et ad Ζ 236.

80 τρὶς τόσσα] cf. Λ 213.

81 ὅτε Bentley] ὅτ᾽ ἐς mss.; cf. vs. 156.

82 αὖ με τεῇσ᾽] αὖτέ με σῇς Syr.; vid. ad Α 185.

83 ποθ᾽ § 322] που mss.

84 ἔδωκε] δῶκε Ar.

86] de epanalepsi vid. ad Β 672. || Ἄλτα᾽ § 55] Ἄλταο C, Ἀλτάω G, Ἄλτεω mss. cett. cum vitio metrico (vid. § 14). || ἀνάσσει] sic Ar.; ἄνασσε mss. nonnulla et olim libri quidam „τῶν κατὰ πόλεις"; cf. Υ 92.

87] αἰπήεσσαν] †; adi. vitio natum (vid. § 69); Nauck ἠνεμόεσσαν. || ἐπὶ Strab. XIII p. 605] ὑπὸ mss. male; vid. Ζ 34 Ξ 445.

88 πολλὰς δὲ καὶ ἄλλας] πολλῶν τε (δὲ Nauck) καὶ ἄλλων liber Massil.

τῆς δὲ δύ' ἐκγενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις.
ἦ τοι τὸν πρώτοισι μετὰ πρυλέεσσ' ἐδάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ 'βάλες ὀξέι δουρί· 91 cf. Υ 407 sqq.
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεαι, οὐ γὰρ ὀίω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων. 93ᵇ = Ο 418
ἄλλο δέ τοι Ϝερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι· 94 = Α 297
μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε." 96 cf. Ρ 204
ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς
λισσόμενος Ϝεπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσε 98 cf. Α 137
„νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε.
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπέμεν' αἴσιμον ἦμαρ,
τόφρ' ἔτι μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγῃ, ὅν κε θεός γε
Ϝιλίοο προπάροιθεν ἐμῇσ' ἐν χερσὶ βάλῃσι, 104ᵃ cf. Ο 66
καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι αὔτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων. 107ᵇ = Η 114
οὐχ ὁράεις οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με 'γείνατο μήτηρ· 109ᵇ cf. Α 280
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή.
ἔσσεται ἢ ἠὼς ἢ δείελος ἢ μέσον ἦμαρ,

---

89 *δύ' ἐκγενόμεσθα* vHerwerden coll. *Γ* 199 etc.] *δύω γενόμεσθα* mss.; an **τῆς δύω ἐκγενόμεσθα*?

90 *πρυλέεσσ' ἐδάμασσας*] *-σσι δ.* mss. — De voce *πρυλέες* vid. ad *Ε* 744.

92 *ἔσσεαι* L Lips. et l. a. in schol.] *ἔσσεται* mss. cett.; cf. *Φ* 39 *β* 166 *π* 103.

95 *οὐχ ὁμογάστριος*] Zenodotum male legisse *οὐκ ἰογάστριος* coll. *Ω* 496, non enim componendis nominibus inservire vocem *ἴα*, observavit Ar. Sed fortasse Zenodotus voluit *οὐκὶ ὀγάστριος*, non recte quidem, nam *οὐκί* (*οὐχί*) in fine tantum sententiae locum habet, nec tamen absurde, cf. *ὀϜέτης ὄθριξ ὄπατρος*. — Redit adi. *Ω* 47.

96] in Syr. additur *ᾧ σὺ μάλιστα χόλωαι* leg. *χολώε'*?) *ἐνὶ φρεσὶν οἶδα καὶ αὐτός*.

97 *προσηύδα*] *-δαε*? vid. § 191.

98 *ὄπ'*] neglecto *Ϝ*; cf. § 41[26].

99 *ἄποινα*] *ταῦτα* l. a. apud Eust.

100 *ἐπισπέμεν'* § 125] *ἐπισπεῖν* mss. || *αἴσιμον*] *μόρσιμον* G; vid. ad *Υ* 302.

101 *τόφρ' ἔτι* Doederlein] *τόφρα τί* mss. pleraque, *τόφρα δὲ* H Vrat. et l. a. in schol.

102 *πολλοὺς*] *πολέας* Christ metri causa.

103 *τις*] *γε* C, *κεν* Eust. || *φύγῃ*] *φύγοι* mss. nonnulla.

104 *Ϝιλίοο* § 59] *'Ιλίου* mss.

105 *καὶ πάντων*] *συμπάντων* G et l. a. in schol., fortasse recte.

106 *αὔτως* G Eust.] *οὕτως* Ar. et mss. cett.; cf. *Ν* 447, 810.

108 *ὁράεις* § 191] *ὁράᾳς* mss. || *καὶ ἐγὼ* Syr.] *κἀγὼ* mss. cett.; cf. § 9.

111 **δείελος*, cf. vs. 232] *δείλη* Ar., sic vel *δείλης* mss., hoc sententia invita, illud claudicante metro (cf. § 14); utrumque autem a dictione Homerica alienum est, nam

ὁππότε τις καὶ ἐμεῖο Ἄρη' ἐκ θυμὸν ἕληται,
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀιστῷ.“ 113^b = Ν 585
ὣς 'φάτο, τοῦ δ' αὖθι 'λύτο γούνατα καὶ φίλον ἦτορ· 114 = ω 345 cf. Φ 425 δ 703 χ 68 ψ 205
ἔγχος μέν ῥ' ἀφέηκεν, ὃ δ' ἕζετο χεῖρε πετάσσας
ἀμφοτέρω. Ἀχιλεὺς δὲ ϝερυσσάμενος ξίφος ὀξὺ 115^b sq.^{a} cf. ω 397 115^b = Ξ 495 [sq.
'τύψε κατὰ κληῖδα παρ' αὐχένα, πᾶν δέ ϝοι εἴσω 116^b = Μ 190
'δῦ ξίφος ἄμφηκες· ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ 117^b sq.^{a} cf. Π 340 118^b = Π 413
'κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν 'ρέε, 'δεῦε δὲ γαῖαν. 119 = Ν 655
τὸν δ' Ἀχιλεὺς ποταμόνδε λαβὼν ποδὸς ἧκε φέρεσθαι,
καί ϝοι ἐπευχόμενος ϝέπεα πτερόεντ' ἀγόρευε· 121 cf. Π 829
„ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλῆς 122^a cf. σ 105 υ 262
αἷμ' ἀπολιχμήσονται ἀκηδέα· οὐδέ σε μήτηρ 123^b sq. cf. Χ 352 sq.
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθύς, ὥς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰς ὅ κε ϝάστυ κιχήομεν Ἰλίου ἱρῆς,

δειελ- contractionem non patitur, neque δείλη apud poetam redit. Apud Nauckium proponitur δείελον (sc. ἦμαρ), fortasse recte, vid. ρ 606 et schol. V ad ο 29.

112 Ἄρη' § 73] Ἄρη (Ἄρῃ, Ἄρης) vel Ἄρει mss.; cf. vs. 431.

113 ἢ ἀπὸ notetur particula ἤ correpta; cf. § 16.

114 αὖθι § 322] αὐτοῦ mss.

115 ὃ δ'] vid. ad Δ 191.

116 *ἀμφοτέρω] -ρας mss.; cf. § 52 et λ 211 ω 398 (ubi vid. lectio vulgata).

121 πτερόεντ' ἀγόρευε] -ντα προσηύδα mss. nonnulla et l. a. in schol.; cf. vs. 427.

122-124^a] vertit Verg. Aen. X 557-560.

122 ἐνταυθοῖ] vid. ad Ι 601. || κεῖσο] l. a. ἧσο (ut σ 105 υ 262). || ὠτειλῆς] -λήν Ar. et mss. nonnulla (cf. ζ 224). De prima syllaba vid. ad Δ 140.

123 αἷμ'] sic Ar., ὠτειλὴν | αἷψ' Naber coll. vs. 347. || ἀπολιχμήσονται] †. || ἀκηδέα criticus apud Nauckium] ἀκηδέες mss. sine sensu, non enim *securum* sed *neglectum* significat hoc adi. Ω 554 etc.

124 γοήσεται, ἀλλὰ] in C est γοήσεται, ἥ τὸ πάρος περ | γείνατο κοῦρον ἐόντα <καὶ ἔτρεφεν LaRoche>, ἀλλὰ.

125 κόλπον] πόντον C, cf. vs. 59.

126 φρῖχ'] vid. ad Η 63. || ὑπαΐξει] sic Ar., ὑπαλύξει mss. pauca, quam lectionem defendebant Philetas et Callistratus, φρῖκα pro *frigore* accipientes, ὅς κε φάγῃσι autem vs. 127 (*qui ederit*) de satiato pisce interpretati, hanc igitur poetae tribuentes sententiam supra quam dici potest absurdam: *piscis aliquis Lycaonis adipe bene pastus hiemem effugiet*, i. e. proximo vere adhuc vivet: — pingues enim pisces frigoris minus esse impatientes. Talia scilicet Aristarcho erant refellenda! In vulgata tamen incommoda est verbi ὑπαΐξει vocalis α correpta. Libri Chii lectio in schol. Townl. corrupte haec affertur: μελαίνη φρῖχ' ὑπαΐξαι· Nondum emendatum versum existimat Nauck, Christ tentavit φρῖκα ϝελίξει vel φρῖχ' ὑποϝέλσει.

127 ὥς Aristophanes L Lips.] ὅς Ar. et mss. cett., at ὅς κε φάγῃσι significat *qui ederit*, quae verba Ar. coll. α 396 non recte reddebat ὅς φάγοι ἄν, *ut edat*; diversi sunt etiam loci Δ 191 Η 171 Ψ 345 δ 389, 756. Poetam piscem irruentem in praedam, non repleto ventre per undas lascivientem significasse satis apparet, aptius igitur est ὥς (*ut edat*). || ἀργέτα] cf. Λ 818.

128 κιχήομεν § 122] κιχείομεν mss. || Ἰλίου]

ὕμες μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
οὐδ' ὕμιν ποταμός περ ἐύρροος ἀργυροδίνης
ἀρκέσει, ᾧ δὴ δϝηθὰ πολῦς ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
ἀλλὰ καὶ ὧς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες — 133 cf. α 166
τίσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε νόσφιν ἐμεῖο." — [h. Ap. 138 [σ 387 χ 224 cf.
ὣς ἄρ' ἔφη, ποταμὸς δὲ 'χολώσατο κηρόθι μᾶλλον, — 136ᵇ = ι 480 ρ 458
ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο — 137ᵃ cf. β 156
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι. — 137ᵇ cf. 249; 138 = 250
τόφρα δὲ Πηλέος υἱὸς, ἔχων δολιχόσκιον ἔγχος,
Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων, — 140 cf. 170
υἱέι Πηλεγόνος· τὸν δ' Ἄξιὸς εὐρυρέεθρος
'γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῇ γάρ ῥ' ἐμίγη ποταμὸς βαθυδίνης.
τῷ ῥ' Ἀχιλεὺς ἐπόρουσεν, ὃ δ' ἀντίος ἐκ ποταμοῖο
ἔστη ἔχων δύο δοῦρε, μένος δέ ϝοι ἐν φρέσ' ἔθηκε
Ξάνθος, ἐπεὶ 'κεχόλωτο δαΐ κταμένων αἰζηῶν, — 146ᵇ = 301
τοὺς Ἀχιλεὺς ἐδάιζε κατὰ ῥόον οὐδ' ἐλέαιρε.
τὸν πρότερος προσέϝειπε ποδάρκης δῖος Ἀχιλλεύς· — 149 = Υ 177
„τίς πόθεν ἔσσ' ἀνδρῶν, ὅ μοι ἔτλης ἀντίος ἐλθεῖν; — 150ᵃ = α 170 η 238 etc.
δυστήνων δέ τε παῖδες ἐμῷ μένε' ἀντιάουσι." — 151 = Ζ 127
τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·

148 οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, — 148 = Υ 176
130—135 Aristoph. (et Ar.?) —

neglecto ϝ; Brandreth κιχήετε Ϝιλίου, Naber κιχείω (-ήω) Ϝιλίου deleto vs. 129.

129 ὕμες § 92] ὑμεῖς mss.

130-135] damnabat Aristophanes teste neque obloquente Ar. in commentariis.

130 ὕμιν § 92] ὑμῖν mss.

131 πολῦς § 83] πολέας Ar., sic vel πολεῖς (vel πολλοὺς metro invito) mss.

132] vid. Herod. VII 113 Pausan. VIII 7 § 2.

137 πόνοιο] φόνοιο mss. complura; cf. vs. 249.

140] *Asteropaeum* in libro *B* non commemorari aegre olim quidam ferebant; vid. ad *B* 848. || ἐπᾶλτο] pro ἐπιᾶλτο suspectum; coniecimus *ἐπῶρτο coll. vs. 324 et ἐπόρουσε vs. 144.

141 εὐρυρέεθρος] † (καλλιρέεθρος κ 107 etc.).

143 ῥ' ἐμίγη l. a. in schol.] ῥα μίγη mss.

144 ῥ'] δ' mss. nonnulla.

145 φρέσ' ἔθηκε] φρεσὶ θῆκε mss.

148] versum cum vs. 145 pugnantem, quem ex *Υ* additum censemus, om. Syr.

150 ἔσσ' § 302] εἶς vel εἷς mss. || *μοι] μευ mss., l. a. μου. Metrum scribi sinit μ'(ο), cf. 92, sed dativum dedimus coll. *Η* 20 *Ο* 584 *Υ* 371, 422.

151 μένε' § 71] μένει mss. || ἀντιάουσι § 191] ἀντιόωσι mss.

152 προσεφώνεε] -νει C; cf. § 191.

„Πηλεΐδη μεγάθυμε, τίη γενεήν μ' ἐρεείνεις; 153 cf. Z 145
εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν 155ᵇ sq. cf. 80 sq.
ἠὼς ἐνδεκάτη, ὅτε Ϝίλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος, 157ᵇ sq. = B 849 sq.
ὃς 'τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασι
γείνασθαι. νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ."
ὣς 'φάτ' ἀπειλήσας, ὃ δ' ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὃ δ' ὁμαρτῇ δούρασιν ἀμφὶς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν.
καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος 'βάλεν, οὐδὲ διὰ πρὸ
'ρῆξε σάκος, χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο· 165 = Y 268
τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην 'βάλε χειρὸς
δεξιτερῆς, 'σύτο δ' αἷμα κελαινεφές· ἣ δ' ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι. 168 cf. Λ 574
δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων. 170 cf. 140
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ὑψηλὴν ἔβαλ' ὄχθην, 171ᵃ = Θ 119
μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλεΐδης δ' ἄορ ὀξὺ Ϝερυσσάμενος παρὰ μηροῦ 173 cf. κ 321 λ 24
ἆλτ' ἐπί Ϝοι μεμαώς· ὃ δ' ἄρα μελίην Ἀχιλῆος
οὐ 'δύνατ' ἐκ κρημνοῖο Ϝερύσσαι χειρὶ παχείῃ.

158 Ἀξιοῦ, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶαν, 158 cf. λ 239

153 *μ'] addidimus; cf. α 220.

154 ἐριβώλου] -λοο? cf. § 59.

155 ἄγων] ἔχων A C. || δολιχεγχέας] †; ἀγκυλότοξοι dicuntur Paeones B 848; cf. tamen Δ 533.

156 ὅτε Bentley] ὅτ' ἐς mss.; cf. vs. 81.

158] versum ex B 850 repetitum, quo divellitur contextus, om. mss. complura. De epanalepsi vid. ad B 672.

162 sq.] Asteropaeus, qui ambidexter est, utramque simul hastam torquet in hostem. Sed explicari nequit δούρασιν ἀμφίς (aut ἀμφί), aegre autem desideratur verbum unde suspendi possit dativus. Barnes acute ὁμάρτει (-τεε) δούρασιν ἀμφοῖν, sed ἀμφοῖν pro ἀμφοῖιν Homerica non est forma. Peppmueller δοῦρ' ἵει ἄμφις, vHerwerden δοῦρ' ἵει ἄμφω, nos tentavimus *ὃ δὲ δούρατε ἄμφω ὁμαρτῇ.

162 ὁμαρτῇ] ἁμαρτῇ liber Massil. et nunc mss. pleraque, ἁμαρτὴ Ar.; cf. § 319. || ἀμφὶς] ἄμφω liber Massil.

163 περιδέξιος] †, forma insolita pro ἀμφιδέξιος (quod hexametro non aptum).

165] vid. ad Y 269 sqq.

166 ἐπιγράβδην] †, cf. ἐπέγραψε Δ 139 et ἐπιλλίγδην P 599.

168 ἐνεστήρικτο] comp. † (simplex Δ 443 etc.).

169 ἰθυπτίωνα] †, sed vid. v. l. Y 273; Zen. et Callistratus (schol. Genev.) ἰθυκτίωνα. Verbi πέτεσθαι inesse stirpem vidit Ar.; cf. Y 99 ἰθὺ βέλος πέτεται.

171 ὃ δ'] vid. ad Λ 191. || *ἔβαλ'] βάλεν mss.

172 μεσσοπαγὲς] †, -λὲς Ar. et mss. nonnulla, quam lectionem Ar. infeliciter interpretabatur ἕως μέσου παλλόμενον.

τρὶς μέν μιν 'πελέμιξε Ϝερύσσασθαι μενεαίνων, 176 sq.[a] = φ 125 sq.
τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον ἤθελε θυμῷ
Ϝᾶξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρίν Ϝ' Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπέϜρα. 179[b] = Υ 290
γαστέρα γάρ μιν ἔτυψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶσαι 180[b] sq. = Δ 525 sq.
'χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε
ἀσθμαίνοντ'. Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας
τεύχεά Ϝ' ἐξενάριξε καὶ εὐχόμενος Ϝέπος ηὔδα· 183 = Ν 619
„κεῖσ' οὕτως· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι.
'φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
αὐτὰρ ἐγὼ γενεὴ μεγάλου Διὸς εὔχομαι εἶναι·
'τίκτε μ' ἀνὴρ πολλοῖσι Ϝανάσσων Μυρμιδόνεσσι, 188 cf. Ν 452
Πηλεὺς Αἰακίδης, ὃ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
τῷ κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων, 190 sq. cf. Υ 106
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμέμεν'· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῷ οὐδὲ κρείων Ἀχελώιος ἰσοφαρίζει,
οὐδὲ βαθυρρεῖταο μέγα σθένος Ὠκεανοῖο, 195[b] = Σ 607
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα

195 Zen. et Megaclides (vid. schol. Genev.) om., Crates defendit (vid. ibid.).

176 *Ϝερύσσασθαι*] *ἐρύσσεσθαι* mss. pleraque male, videatur versus parallelus et ad *Β* 544.

177 *βίης* Lips.] *-η(ι)* mss. cett.; vid. vs. parall.

179 **πρίν Ϝ'*] *ἑ πρὶν* Z Cant., *πρὶν* mss. cett. || *ἀπέϜρα* § 150] *ἀπηύρα* mss.

180 *ἔτυψε*] *τύψε* mss.

181 *χολάδες*] vid. *Δ* 526.

182 *δ' ἄρ'*] *δ'* (om. *ἄρ'*) C, *δὲ* Nauck. || *ἐνὶ στήθεσσιν ὀρούσας*] idem valet quod *λὰξ ἐν στήθεσι βάς* *Ζ* 65, vid. etiam *Ν* 618 *Π* 503 (*Ε* 620 *Π* 863). || *στήθεσσιν*] *-σφιν*? vid. ad *Μ* 401. || *ὀρούσας*] *ὀρούων* mss. nonnulla, cf. *Ν* 618.

183 **Ϝ'*] *τ'* mss. || *ἐξενάριξε*] l. a. *-ζε*.

184 *οὕτως*] *οὕτω* mss. multa.

185 *περ*] Nauck *γε*. || *ἐκγεγαῶτι*] sic Ar., *-τα* G L Lips.

187 *γενεὴ* Bekker] *γενεὴν* mss.; redit locutio *ο* 225. Bentley *γενεῆς*, ut *Ζ* 211 *Υ* 241.

190 *τῷ*] Duentzer *τῶν*. Vulgatam ita interpretatur Platt: *igitur <te fortior sum, nam> ut Iuppiter fortior est fluviis, sic Iovis filii fluviorum filiis sunt fortiores.* || *ἁλιμυρηέντων*] sic Ar., *ἁλιμοιρηέντων* mss. pauca; adi. *ε* 460 redit.

191 *αὖτε* Ar.] *δ' αὖτε* mss. || *ποταμοῖο*] vid. ad *Ρ* 51.

192 *πάρα μέγας*] *μέγας πάρα* G.

193 *χραισμέμεν'* § 125] *-σμεῖν* mss.

194 *οὐδὲ*] *οὔτε* H L Lips. (vid. ad vs. 195). || *ἰσοφαρίζει*] neglecto Ϝ, *ἀντιφερίζει* Bentley; vid. *Φ* 357 et ad *Ζ* 101.

195 *οὐδὲ*] *οὔτε* Ar. A^2 L Lips.; sic igitur Ar. etiam vs. 194 scripsit, certe scribere debuit. || *βαθυρρεῖταο*] †, cf. *ἀκαλαρρείτης* *Η* 422 = *τ* 434.

196 *καὶ πᾶσα θάλασσα*] *πᾶσαί τε θάλασσαι* Vrat.

καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσι·
ἀλλὰ καὶ ὃς δέδϝοικε Διὸς μεγάλοιο κεραυνὸν
δϝεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.“
ἦ ῥα, καὶ ἐκ κρημνοῖο 'ϝερύσσατο χάλκεον ἔγχος, 200 cf. Χ 367
τὸν δὲ κατ' αὐτόθ' ἔλειπεν, ἐπεὶ φίλον ἦτορ ἀπέϝρα, 201ᵇ = Ω 50
κείμενον ἐν ψαμάθοισι, 'δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο, 203 cf. 353 τ 455
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·
αὐτὰρ ὃ 'βῆ ῥ' ἴμεναι μετὰ Παίονας ἱπποκορυστάς, 205 cf. Κ 73
οἵ ῥ' ἔτι πὰρ ποταμὸν 'πεφοβήατο δινήεντα,
ὡς ἔϝιδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ' ὕπο Πηλεΐδαο καὶ ἄορι ϝῖφι δαμέντα. 208 cf. Υ 143
ἔνθ' ἕλε Θερσίλοχόν τε Μύδωνά ετ Ϝαστύπυλόν τε
Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ' 'Οφελέστην·
καί νύ κ' ἔτι πλέονας 'κτάνε Παίονας ὠκὺς Ἀχιλλεύς, 211 cf. Ε 679
εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης,
ἀνέρι ϝεισάμενος, βαθέης δ' ἐκ 'φθέγξατο δίνης·
„ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις 214ᵇ cf. Ε 403
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν
στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀιδήλως.

197 φρείατα] φρέατα D; φρήατα? Vox φρέαρ nonnisi h. Cer. 99 redit.

198 ὅς] ὡς D.

199 σμαραγήσῃ] vid. ad *B* 210.

201 αὐτόθ' ἔλειπεν] -θι λ. mss. || ἀπέϝρα § 150] ἀπηύρα mss.

203 ἐγχέλυες] vox nonnisi vs. 353 redit; non piscibus accensentur sed reptilibus, cognatae autem sunt voces ἔγχελυς et ἔχις *anguis*.

204 ἐπινεφρίδιον] † (νεφρός apud poetam non obvium).

205 ῥ'] om. mss. multa. || ἴμεναι § 125] ἰέναι mss.

208 ἄορι ϝῖφι] ἠνορέηφι Bothe; aliquanto probabilius *ἀναγκαίηφι possis conicere coll. *Υ* 143, sed vulgata non est sollicitanda, vid. *σ* 156.

209 Μύδωνα] Μέδοντα MSchmidt coll. *P* 216.

212 ποταμός] Ξάνθος Syr.[1]

213] del. Heyne, fortasse iure. || ϝεισάμενος] εἰδόμενος Ambr. || βαθέης] vid. ad *O* 606. || δ' om. L et olim alii (Ar.?). || ἐκ φθέγξατο (ἐκφθ.) Paris. 2766] ἐκφέγξατο L, ἐφθέγξατο mss. cett.; sed suspicamur aliud latere, δίνης autem vocem e vs. 212 esse repetitam; βροτέῃ δ' ἐφθέγξατο φωνῇ coll. *τ* 545 tentavit vHerwerden.

214 αἴσυλα] vid. ad *E* 403.

215] del. Duentzer.

217 γ' ἐλάσας] sic Ar., alii olim πελάσας. || ῥέζε] ῥέζειν D.

219] cf. Verg. Aen. V 807 sq.

220 ἀιδήλως] adv. †, adi. *B* 455 etc.

ἀλλ᾽ ἄγε δὴ καὶ ἔασον· ἄγη μ᾽ ἔχει, ὄρχαμε λαῶν.“
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις· 223 cf. Ω 669
Τρῶας δ᾽ οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
πρὶν Ϝέλσαι κατὰ Ϝάστυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.“
ὣς Ϝειπὼν Τρώεσσιν ἐπέσσυτο, δαίμονι Ϝῖσος. 227ᵇ = Ε 438
καὶ τότ᾽ Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
„ὢ πόποι, ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
εἴρυσο Κρονίωνος, ὅ τοι μάλα πόλλ᾽ ἐπέτελλε 230ᵇ cf. Ζ 207
Τρωσὶ παρεστάμεναι καὶ ἀμυνέμεν᾽, εἰς ὅ κεν ἔλθῃ 231 cf. Ο 255
δείελος ὀψὲ δύων, σκιάσῃ δ᾽ ἐρίβωλον ἄρουραν.“
ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρὶ κλυτὸς ἔνθορε μέσσῳ
κρημνοῦ ἀπαΐξας· ὃ δ᾽ ἐπέσσυτο οἴδματι θύων,
πάντα δ᾽ ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ᾽ αὐτὸν ἔσαν Ϝάλις, οὓς ᾽κτάν᾽ Ἀχιλλεύς· 236 = 344
τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠύτε ταῦρος,
χέρσονδε· ζωοὺς δὲ ᾽σάου κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσι.
δϜεινὸν δ᾽ ἀμφ᾽ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθεε δ᾽ ἐν σάκεϊ πίπτων ῥόος· οὐδὲ πόδεσσι
εἶχε στηρίξασθαι. ὃ δὲ πτελέην ἕλε χερσὶ

---

221 ἄγη] *admiratio*, redit vox γ 227 π 243; vHerwerden ἄγος (vid. h. Cer. 480).

223 ἔσται ταῦτα] verba obscura, pugnant enim cum vss. 233 sq.; Heyne vulgatam sic explicat: „sarcastice respondet Achilles: fiet hoc, sed tum demum cum Troianos in urbem compulero etc.”

226 ἤ] εἴ D, cf. § 327.

230 εἴρυσο Heyne] εἰρύσαο mss.; cf. § 164.

231 παρεστάμεναι] παριστ. mss. nonnulla. || ἀμυνέμεν᾽ § 125] -νειν mss.

232 δείελος] i. e. *Ϝέσπερος, stella vespertina*; cf. Χ 318. Substantivum nonnisi h. l. extat, adi. ρ 606, utrumvis autem restituendum est Φ 111 (ubi vid.). || ὀψὲ] *sero*, sub solis demum ortum. Non de vero *occasu* stellae poeta loqui videtur, sed δύειν dicit de pallescentibus luce solis appropinquante sideribus, item ε 272. || δύων] participium nonnisi ε 272 redit, ibi quoque intransitive usurpatum et praemisso ὀψέ; alias dicitur δῦνω, vid. § 167. || σκιάσῃ] stella, quae noctem ingruentem comitatur, ipsa terras caligine obducere dicitur; sic Hesperus *niger* audit α 423. Activum †, passivum β 388 (= γ 487 etc.).

234 ἀπαΐξας] compositum †. || θύων] θυίων A.

236 ἔσαν ἅλις Eust. Harl. Mosc.] ἅλις ἔσαν mss. cett. metro invito. Apud Nauckium proponitur κατ᾽ αὖθι Ϝάλις ἔσαν, sed κατά sic apte explicari nequit neque apparet cur -ις producatur.

237 ἔκβαλλε] l. a. ἐξῆγε.

238 σάου Cobet] σάω mss.; cf. Π 363 et § 195.

239] om. C. De re cf. λ 244.

241 ὤθεε § 191] ὤθει mss.

242 εἶχε] εἷα L Lips. || ὃ δὲ] vid. ad Α 191.

εὐφυέα μεγάλην, ἐκ ῥιζάων δ' ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
ὄζοισιν πυκινοῖσι, 'γεφύρωσεν δέ μιν αὐτὸν 245^{b} cf. *O* 357
εἴσω πᾶσ' ἐριποῦσ'· ὃ δ' ἄρ' ἐκ δίνης ἀνορούσας
ἤιξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δϜείσας. οὐδέ τ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτῷ
ἀκροκελαινιάων, ἵνα μιν παύσειε πόνοιο 249^{b} cf. 137
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι. 250 = 138
Πηλεΐδης δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή, 251^{b} = *O* 358
αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος,
ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·
τῷ ϜεϜικὼς ἤιξεν, ἐπὶ στήθεσφι δὲ χαλκὸς 254^{b} sq.^{a} cf. *N* 497 sq.
σμερδαλέον 'κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
'φεῦγ', ὃ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἂμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ,
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·

---

243 **ἐκ ῥιζάων δ'*] *ἡ δ' ἐκ ῥιζῶν* mss., in quibus novicium est *ῥιζῶν* (vid. § 56) et displicet *ἣ δὲ* post *ὃ δὲ* vs. 242.

244 *διῶσεν*] comp. †.

245 *μιν αὐτὸν*] l. a. *κέλευθον* (ut *O* 357).

246 *ἐριποῦσ'· ὃ δ' ἄρ'*] *-ποῦσα· ὃ δ'* Nauck. || *δίνης*] sic Ar., *λίμνης* mss. complura (quam lectionem norat Ar.), alii olim *ῥιπῆς*.

247 *πεδίοιο*] sic Ar.; l. a. *πεδίονδε*. De genitivo vid. ad *B* 785. || *πέτεσθαι*] l. a. *φέρεσθαι* (vid. ad *O* 743).

248 *θεὸς μέγας*] *μέγας θεὸς* G L Lips. || *αὐτῷ*] *αὐτὸν* Syr. Eust., vid. *E* 590 *Λ* 343. Dativum multi loci tuentur (*E* 629 *M* 293 *Ξ* 401 *O* 579, 726 *P* 677, 725 *κ* 214 *χ* 80), in quibus praepositio *ἐπί* per tmesin aut anastrophen a verbo suo seiuncta est.

249 *ἀκροκελαινιάων* § 191] *-ιόων* mss.; verbum †. || *μιν*] abundat, ut *ζ* 48. || *πόνοιο*] sic Ar., *φόνοιο* Aristoph. Syr.; cf. vs. 137.

251 *ἐρωή*] *ἐρωήν* mss. pauca, male.

252 *οἴματ'*] *ὄμματ'* Philetas non recte; vid. *Π* 752 *X* 140, 308, 311 et ad *Θ* 349. || *μέλανος τοῦ*] verba suspecta. Aristarcho *μελανός του* tribuit Eust.; sed e lacunoso scholio Genev. Nicole probabiliter effecit Aristarchum hanc lectionem repudiasse. Aristoteles *μελανόστου* absurde, neque enim nigra sunt aquilae ossa neque cernuntur quamdiu vivit volatque avis, praeterea *-οστέου* dicendum fuisset in lingua epica; quam lectionem non Aristoteli sed Democrito tribuendam esse e schol. *Ω* 315 efficit Rose, cui oblocuti sunt Lehrs Arist.[2] p. 42 Ludwich Arist. I p. 464 sq. — In schol. affertur l. a. (Philetae?) *μελανόσσου* (*nigris oculis*), quapropter Ahrens proposuit *μελανόρσου*, i. e. *μελαμπύγου* (quo adiectivo Archilochus fr. 109 usus est teste schol. *Ω* 315, non *aquilam* tamen eo designans sed *Herculem*); Menrad autem Ahrensio assensus *μελανούρου* scribi mavult. Iure suo Nauck adnotavit „quid lateat nescimus"; nos contulimus *Ω* 316, Hes. Scut. 134, Orac. 138 Hendess, Aesch. Ag. 115, sed non habemus quod illorum locorum ope reponamus.

254 *ϜεϜικὼς*] vitiosum pro *ϜεϜοικὼς*, vid. § 160. || *στήθεσφι* D] *-σσι* mss. cett.; vid. ad *M* 401.

256 *ὀρυμαγδῷ*] *ἀλαλητῷ* C, cf. vs. 10.

257-262] imitatur Verg. Georg. I 106-110.

257 *ὀχετηγὸς*] † (*ὀχετός* apud Hom. non obvium).

258 *ὕδατι*] *-τος* mss. nonnulla.

259 *μάκελλαν*] †, cf. *μακέλη* Hes. Op. 470; *δίκελλαν* scribebat *ἡδροδοῦρις* (?—*Ἡλιόδωρος*

τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλεῦνται· τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα 'κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς 265ᵃ = X 194
στήμεν' ἐναντίβιον, καὶ γνώμεναι εἴ μιν ἅπαντες 266ᵃ = ξ 270 ϱ 439
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
'πλάζ' ὤμους καθύπερθεν· ὁ δ' ὑψόσε ποσσὶν ἐπήδα
θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα 270ᵃ = χ 87
λάβρος ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖιν.
Πηλεΐδης δ' ᾤμωξε Ϝιδὼν εἰς οὐρανὸν εὐρύν· 272 cf. Γ 364
„Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ' οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγε·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖσ' ὀλέεσθαι Ἀπόλλωνος βελέεσσι.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος· 279ᵇ cf. Ψ 348
τῷ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε.
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο Ϝαλῶναι 281 = ε 312 cf. ω 34
Ϝερχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβὸν,

Nicole) teste scholio Genev. || ἀμάρης] †. || ἐξ] δ' ἐξ Syr.

260 ψηφῖδες] †.

261 ὀχλεῦνται] vid. § 7 et 191 et ad *M* 448.

262 προαλεῖ] †, vox incertae originis, dativi autem terminus novicius, vid. § 73. || φθάνει] φθανέει Zen., item Lysanias et Duris teste scholio Genev.; cf. *I* 506.

265 ὁρμήσειε] l. a. οἰμήσειε ab Ar. minus probata.

266 στήμεν' § 125] στῆναι mss.

266 sq. εἰ — φοβέουσι] *num omnes eum dei propellant*; vHerwerden coniecit φθονέουσι (sc. στήμεν' ἐναντίβιον) coll. α 346 σ 16.

269 'πλάζ'] hic, ut *M* 285 (ubi vid.) ε 389, *ferire* interpretantur; vid. etiam μ 61. Aut igitur 'πλᾶζ' scribendum videtur ex Aristarchi sententia, quod Aeolicum pro πλήσσειν fuisse fertur, aut *'πλῆσσ', cf. σ 231 *M* 211; vHerwerden coniecit κλύζ', item Nauck.

270 ἐδάμνα] vid. § 195.

271 ὑπέρεπτε] comp. †; male L Lips. ὑπέριπτε; schol. Paris. bene interpretatur ὑφήρπαζεν, vid. ad *Y* 234.

279 γ' ἔτραφ' A D Mor.] τέτραφ' mss. cett.; redit vitium Ψ 348 κ 417. Cf. *B* 661 *E* 555 etc.

280 ἀγαθὸς ... ἀγαθὸν] ἀγαθὸν ... ἀγαθὸς Eust. male; cum vulgata concinit Soph. Philoct. 336.

282 Ϝερχθέντ'] ἐρχθέντ' mss., εἰρχθέντ' liber Massil., ἑρχθέντ' Genev., sic Ptolemaeus Asc. teste schol. Genev., Crates autem εἰλθέντ' (ab ἴλλειν ducens), Alexio ἐρθέντα sine χ coll. ἀπόερσε (= ἀπέπνιξε) *Z* 348 Φ 283, 329, alii denique ἐρθέντα (ab ἔρση = δρόσος).

ὅν ῥά τ' ἔναυλος ἀποϝϝέρσῃ χειμῶνι περῶντα."
ὣς 'φάτο, τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
'στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσ' ἐϝεϝίκτην,
χειρὶ δὲ χεῖρα λαβόντε ἐπιστώσαντο ϝέπεσσι. 286 cf. Z 233
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
„Πηλεΐδη, μήτ' ἄρ τι λίην τρέε μήτε τι τάρβει·
τοίω γάρ τοι νῶι θεῶν ἐπιταρρόθω εἰμὲν 289 cf. Δ 390
Ζηνὸς ἐπαινέσσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη.
ὣς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστι,
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ ϝείσεαι αὐτός. 292^{b} cf. β 40 ω 506
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι· 293 cf. α 279
μὴ πρὶν παύειν χεῖρας ὁμοιίοο πτολέμοιο,
πρὶν κατὰ Ϝιλίοο κλυτὰ τείχεα λαὸν ἐϝέλσαι
Τρωικόν, ὅς κε φύγῃσι, σὺ δ' Ἕκτορι θυμὸν ἀποϝρὰς
νῆας ἔπ' ἂψ ἴμεναι· δίδομεν δέ τοι εὖχος ἀρέσθαι." 297^{a} = Σ 14
τὼ μὲν ἄρ' ὣς ϝειπόντε μετ' ἀθανάτους ἀπεβήτην,
αὐτὰρ ὃ 'βῆ — μέγα γάρ ῥα θεῶν ϝ' ὤτρυνεν ἐφετμή —
εἰς πεδίον· τὸ δὲ πᾶν 'πλῆθ' ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαΐ κταμένων αἰζηῶν 301^{b} = 146
'πλῶον καὶ νέκυες. τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
πρὸς ῥόον ἀίσσοντος ἀν' ἰθὺν, οὐδέ μιν ἶσχε
εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη.
οὐδὲ Σκάμανδρος ἔληγεν ἑϝὸν μένος, ἀλλ' ἔτι μᾶλλον 305^{a} cf. N 424

290 Ar. —

283 ἀποϝϝέρσῃ] secunda syllaba producitur etiam vs. 329; cf. § 27.

285 ἄνδρεσσ' ἐϝεϝίκτην] -σσιν εἴκτην mss.

286 λαβόντε Ahrens] -ντες mss. || ἐπιστώσαντο ϝέπεσσι] -σαντ' ἐπέεσσι mss.

288 τρέε] sic, non τρέμε, etiam Zen. teste schol. Genev. (?).

289 sq.] spurii? Posteriorem Ar. damnavit quod ineptum sit ἐγώ.

289 ἐπιταρρόθω] -θοι D Vrat.

290 ἐπαινέσσαντος § 295] -νήσαντος mss.

291 ὣς (ὧς) Cauer coll. I 414] ὡς mss.

292 λωφήσει] verbum incertae originis apud Homerum nonnisi ι 460 redit; cf. Thuc. VI 12 § 1 Plat. Phaedr. 251c Soph. Ai. 61 etc.

293 τοι] σοι mss. nonnulla (τοι σοὶ D). || ὑποθησόμεθ'] -σομαι D.

294 ὁμοιίοο § 59] -ίου mss.; de adi. vid. ad Δ 315. || πτολέμοιο D G H] πολ. mss. cett.

295 Ϝιλίοο Ahrens] Ἰλιόφιν mss.; cf. § 46. || ἐϝέλσαι] forma notabilis; vid. § 43.

296 Ἕκτορι] *-ρα? sed vid. P 236. || ἀποϝρὰς § 150] ἀπούρας mss.

297 *νῆας ἔπ' ἂψ ἴμεναι] ἂψ ἐπὶ νῆας ἴμεν mss.; in vulgata vitii indicium est ἴμεν pro ἴμεναι (vid. § 126), lectio quam restituimus extat Σ 14. || δίδομεν — ἀρέσθαι] vid. l. a. B 15.

299 μέγα] μάλα Syr. || *ϝ'] adiecimus; fortasse praestat *γάρ ϝε.

303 ἶσχε] ἴσχεν Ar. Z, ἔσχεν mss. cett.

305 ἔληγεν] ἔπαυεν Nauck; vid. ad N 424. || ἑϝὸν PKnight] τὸ ὃν mss. (τεὸν G et schol. V ad N 424); cf. Θ 430.

'χώετο Πηλεΐωνι, 'κόρυσσε δὲ κῦμα ῥόοιο
ὑψόσ' ἀειρόμενος, Σιμόεντι δὲ 'κέκλετ' ἀΰσας·
„φίλε κασίγνητε, σϑένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν, ἐπεὶ τάχα ϝάστυ μέγα Πριάμοιο ϝάνακτος — 309ᵇ = Η 296
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόϑον οὐ μενέουσι.
ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίμπληϑι ῥέεϑρα — 311ᵃ = 333
ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόϑυνον ἐναύλους,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα, — 314ᵃ = Μ 29
ὃς δὴ νῦν κρατέει, μέμονεν δ' ὅ γε ϝῖσα ϑεοῖσι.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν' οὔτε τι ϝεῖδος
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόϑι λίμνης
κείσεϑ' ὑπ' ἰλῦος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
ϝειλύσω ψαμάϑοισι, ϝάλις χέραδος περιχεύας,
μυρίον, οὐδέ ϝοι ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην ϝοι ἄσιν καϑύπερϑε καλύψω.
αὐτόϑι ϝοι καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρὴ
ἔσται τυμβοχοῆσ', ὅτε μιν ϑάπτωσιν Ἀχαιοί."
ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆι κυκώμενος, ὑψόσε ϑύων,
μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεσσι. — 325ᵃ cf. Ε 599 Σ 403
πορφύρεον δ' ἄρα κῦμα διιπετέος ποταμοῖο
ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλεΐωνα. — 327ᵃ cf. Β 151 Ψ 366

308 φίλε] vid. § 22. ‖ κασίγνητε] *κασίγνητος? cf. Δ 155.
310 κατὰ μόϑον] l. a. κακὸν ϑεόν.
311 ἐμπίμπληϑι] ἐκπίμπληϑι C, ἐμπίπληϑι mss. cett.
312 πηγέων] novicium, vid. § 56.
317 τὰ τεύχεα καλὰ] Ar. conferebat ρ 10. ‖ νείοϑι] †, cf. νείοϑεν Κ 10.
318 ἰλῦος] †, suspecta autem est vocalis ῡ, cf. § 75. Bentley ἰλύοφιν; an *ἰλυῖ κείσονται?
319 ϝειλύσω § 265] alii olim ἰλύσω (i. e. ἰλύι καλύψω), item Cobet. ‖ χέραδος] †; neutri esse accusativum vidit Ar., et Alcaeum ita usurpasse vocem testatur scholion Genev. corruptum; χεράδος (gen.) H et olim alii (cf. Pind. Pyth. VI 13) non recte, nam ϝάλις genitivum non adsciscit; alios denique σχέραδος legisse coll. Euphorionis versu τύμβος ὑπὸ κνημοῖσι πολυσχεράδος Μυκόνοιο, his autem oblocutum esse Apollonium, dicit schol. Genev.
320 μυρίον] suspectum (cf. Υ 282); vHerwerden οὐδέ ϝοι αὔριον.
321 ἀλλέξαι] ἀνλ. Ar., cf. Φ 347 τ 150 et § 10. ‖ ἄσιν] †. ‖ καλύψω] vid. ad Ε 315.
322 αὐτόϑι § 322] αὐτοῦ mss. ‖ χρὴ PKnight δ 707 (h. l. οὐδέ τι χρηώ)] χρεὼ mss.; cf. § 8.
323 ἔσται] vid. ad δ 634. ‖ τυμβοχοῆσ' Ar.] τυμβοχόης Crates (cf. Ι 607 sq. δ 634), mss. utrumque. Infinitivi terminus -σαι apud Hom. elisus alibi non reperitur (cf. § 13), sed vid. Aristoph. Nub. (7, 42) 523, 550 (Av. 1340) et ad Δ 53. — Cum verbum tum substantivum †.
324 ϑύων] ϑυίων A.
327 ἀειρόμενον] -ράμενον D.

Ἥρη δὲ μέγ' ἄυσε περιδϝείσασ' Ἀχιλῆι,
μή μιν ἀποϝϝέρσειε μέγας ποταμὸς βαθυδίνης. 329ᵇ = Γ 73
αὐτίκα δ' Ἥφαιστον προσεφώνεε, ϝὸν φίλον υἱόν· 330 = 378
„ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἐϝεϝίσκομεν εἶναι·
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν. 333ᵃ = 311
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο 334 sq. cf. Λ 305 sq.
ϝίσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήῃ,
φλέγμα κακὸν φορέουσα. σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν 338ᵇ sq. cf. Γ 108 sq.
μειλιχίοισι ϝέπεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·
μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὅτε κεν δὴ 340 cf. Π 62
φθέγξομ' ἐγὼ ϝιϝάχουσα, τότε σχέμεν' ἀκάματον πῦρ."
ὣς ἔφαθ', Ἥφαιστος δὲ 'τιτύσκετο θεσπιδαὲς πῦρ.
πρῶτα μὲν ἐν πεδίῳ πῦρ 'δαίετο, 'καῖε δὲ νεκρούς.
πᾶν δ' ἐξηράνθη πεδίον, 'σχέτο δ' ἀγλαὸν ὕδωρ.
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν 346ᵃ = ε 328
αἶψ' ἀγξηράνῃ, — χαίρει δέ μιν ὅς τις ἐθείρῃ, —
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκροὺς
'κῆεν, ὃ δ' εἰς ποταμὸν 'τρέψε φλόγα παμφανάουσαν.
'καίοντο πτελέαι καὶ ϝιτέαι ἠδὲ μυρῖκαι,

344 πολλούς, οἵ ῥα κατ' αὐτὸν ἔσαν ϝάλις, οὓς 'κτάν' Ἀχιλλεύς. 344 = 236
331 Ar. —

328 Ἀχιλῆι] -λῆος C.
329 ἀποϝϝέρσειε] cf. vs. 283.
331 κυλλοπόδιον] vid. ad Σ 371; Ar. vocem in matris ore hic ineptam ratus versum del.
332 μάχῃ] -χην D. || ἐϝεϝίσκομεν] ἐίσκομεν H et l. a. apud Eust., ἠίσκομεν mss. cett.
334 sq.] Iunonem propositum tenuisse ex sequentibus non apparet.
335 ϝίσομαι § 201] ἴσομαι Etym. M. 306, 14, εἴσομαι mss. || ὄρσουσα § 254] ὄρσασα Zen., ὀρέουσα pseudo-Plut. vit. Hom. 108.
336 ἥ] Zen. ἥ, verbum εἴσομαι vs. 335 interpretatus γνώσομαι. || κήῃ Nauck] κήαι (κῆαι) mss.
337 φλέγμα] †.
339 μειλιχίοισι ϝέπεσσιν § 60] -οις ἐπέεσσιν mss.
340 *ὅτε κεν § 326] ὁπότ' ἂν mss.
341 σχέμεν' § 125] σχεῖν mss.
343 'καῖε] δαῖε vHerwerden coll. vs. 376.
344] del. Heyne; suo loco extat vs. 236. || ἔσαν ϝάλις Bentley] ἅλις ἔσαν mss.; cf. vs. 236.
345 ἐξηράνθη] simplex vs. 348 redit, ἀγξηραίνειν vs. 347; cf. ξερός ε 402.
346 νεοαρδέ'] †, cf. § 211; l. a. νεοαλδέ' in lex. Apoll. (cf. Ψ 599).
347 ἀγξηράνῃ] ἀνξηράνῃ Ar., sic vel ἂν ξηρ. mss.; cf. vs. 321 et § 10. Aristoph. ἐξαυαίνῃ aut ἐξαυήνῃ (cod. ἐξευαίνει). Compositum †, vid. ad vs. 345. || ἐθείρῃ] †, *colit?* Si cum verbo ϝέθω (§ 218) cohaeret, scribi possit ὅς τε ϝεθείρῃ.
348 ἐξηράνθη] cf. vs. 345.
349 παμφανάουσαν § 191] -νόωσαν mss.
350 καὶ L Lips.] τε καὶ mss. cett.; cf. κ 510.

'καίετο δὲ λωτός τε ἰδὲ θρύον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα Ϝάλις ποταμοῖ' ἐπεφύκει·
'τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες, οἳ κατὰ δίνας, 353 cf. 203
οἳ κατὰ καλὰ ῥέεθρα 'κυβίσταον ἔνθα καὶ ἔνθα
πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
'καίετο Ϝὶς ποταμοῖο, Ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
„Ἥφαιστ', οὔ τις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
οὐδέ κ' ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
Ϝάστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;"
'φῆ πυρὶ καιόμενος, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡς δὲ λέβης ζέει ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ,
κνίσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο,
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
ὣς τοῦ καλὰ ῥέεθρα πύρ' ἐφλέγετ', ἔζεε δ' ὕδωρ·
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· 'τεῖρε δ' ἀυτμὴ
Ἡφαίστοιο βίηφι πολύφρονος. αὐτὰρ ὅ γ' Ἥρην
πολλὰ λισσόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
ἐξ ἄλλων; οὐ μήν τοι ἐγὼ τόσον αἴτιός εἰμι,

351 *θρύον*] appellativum †, nomen proprium *B* 592, h. Ap. 423, *Θρυόεσσα Λ* 711. || *κύπειρον*] *κύπαιρον* veteres libri („*αἱ ἐκ τῶν πόλεων*"), unde fortasse fluxit *κύπερον* D. Redit vox *δ* 603.

352 *τὰ*] vix recte producitur, cf. § 22. Bentley parum probabiliter *τὰ προτὶ*. || *ποταμοῖ' ἐπεφύκει*] *-μοῖο π.* mss.

353 *ἐγχέλυες*] vid. vs. 203.

354 *'κυβίσταον* § 191] *-στων* mss.

355 *πνοιῇ*] l. a. *ῥιπῇ*, quam reiecisse videtur Ar.

356 *Ϝὶς* Heyne] *δ' ἲς* mss.; *καί ἑ τόδ' ἲς* legebat Ptolemaeus Pindarion grammaticus. Periphrasticus usus vocis *Ϝίς* in Iliade non redit (in Odyssea frequens est); verbum autem *'καίετο* cum sententiae vix aptum sit, coniecimus **'λύτο δὲ Ϝίς* (*ῡ* ut *Ω* 1).

357 *ἀντιφερίζειν*] redit vs. 488, vid. etiam ad *Z* 101 *Φ* 194, 411; *ἰσοφαρίζειν* Harl. Mosc. et l. a. apud Eust.

358 *οὐδέ κ'* § 326] *οὐδ' ἂν* mss.

360 *ἀρωγῆς*] *ἀυτῆς* Syr.

361 *ἔφλυε*] †.

362-364] cf. Verg. Aen. VII 462-466.

362 *ζέει* § 191] *ζεῖ* mss. metro invito, vid. § 14.

363 *κνίσην*] sic Ar. et Callistratus Comanus, alii olim *κνίσῃ* (sic Genev.) et *κνίσης*, mss. *κνίσην* vel *κνί(σ)σῃ* (neutr., vid. ad *B* 423). || *μελδόμενος*] †; pro medio activi sensu usurpato (= *τήκων*) habebat Ar., Pisistratus vero Ephesius et Hermogenes (in scholio Genev. notatu dignissimo) legebant *κνίσῃ μελδομένου*, errorem e vetusta litteratura, in qua *-μενΟ* scriptum fuisset, profluxisse rati. In promptu est coniectura **κνίσης μελδομένης*. || *ἁπαλοτρεφέος*] †.

364 *ἀμβολάδην*] nonnisi h. Merc. 426 redit, cf. *ἀμβλήδην X* 476, *ὑποβλήδην A* 292, *παραβλήδην Δ* 6. || *κάγκανα*] adi. redit *σ* 308 h. Merc. 112, 136; cf. *πολυκαγκής Λ* 642.

365 *πύρ' ἐφλέγετ', ἔζεε*] *πυρὶ φλέγετο, ζέε* mss.

368 *πολλὰ*] vid. § 26 et ad *E* 358.

370 *ἐξ ἄλλων*] *prae ceteris*; cf. *Σ* 431 et *A* 505. || *μήν* § 18] *μέν* mss.

ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί. 371ᵇ = 428 cf. Θ 205
ἀλλ' ἦ τοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις,
παυέσθω δὲ καὶ οὗτος. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, 374-377ᵃ = Υ 315 sqq.
μηδ' ὁπότε Τροίη μαλερῷ πυρὶ πᾶσ' ἀπόληται
δαιομένη, δαίωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεε, Ϝὸν φίλον υἱόν· 378 = 330
„Ἥφαιστε, σχέο, τέκνον ἀγακλεές· οὔ τι ϜέϜοικε
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν." 380 cf. Ω 464
ὣς ἔφαθ', Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ,
ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.

αὐτὰρ ἐπεὶ Ξάνθοιο 'δάμη μένος, οἱ μὲν ἔπειτα
'παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις 'πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ, 'βράχε δ' εὐρεῖα χθών,
ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός. ἄιε δὲ Ζεὺς
ἥμενος Οὐλύμπῳ· ἐγέλασσε δέ Ϝοι φίλον ἦτορ 389ᵇ cf. ι 413
γηθοσύνῃ, ὅ θ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε
χάλκεον ἔγχος ἔχων, καὶ ὀνειδέιον 'φάτο μῦθον· 393ᵇ = 471

---

371 οἱ] *τ'?

373 ὀμοῦμαι] forma novicia, cf. § 147.

374 ἐπὶ] cf. Θ 365 Λ 428; ἔτι Nauck dubitanter.

375 *ὁπότε § 326] ὁπότ' ἂν mss. || πᾶσ' ἀπόληται Nauck] πᾶσα δάηται mss.; cf. Υ 316.

376 δαιομένη, δαίωσι] καιομένη, καίωσι mss. pleraque; cf. Υ 317.

379 οὔ τι Nauck] οὐ γὰρ mss.; cf. Λ 126 Β 233. Bentley οὐδὲ coll. vs. 436, ubi vid.

381 κατέσβεσε] comp. †.

382] cf. Μ 32 sq. ποταμοὺς δ' ἔτρεψε νέεσθαι κὰρ ῥόον. || κατέσσυτο] comp. †; l. a. κατέσχετο.

383-513] deorum pugnam a quoquam serio sic potuisse describi mirari licet; quapropter parodiam potius vocat Leaf, cum Batrachomyomachia comparandam. Indigna sane erat sterilis ingenii haec elucubratio quae in carmine epico locum obtineret.

384 χωομένη περ] -νω περ aut -νη κῆρ (coll. Ψ 37) Doederlein.

386 ἄητο] ignotae stirpis verbum (cf. § 197) legitur etiam h. Cer. 277 et Hes. Scut. 8. Ecquid *ἄορτο (vid. Γ 272 coll. Γ 108 etc.)?

387 πατάγῳ] ὁμάδῳ mss. complura.

388 ἐσάλπιγξεν] †, cf. σάλπιγξ Σ 219 et de re vid. Hes. Theog. 676 sqq.

390 γηθοσύνῃ] vid. ad Ν 29. || ὅ θ' LaRoche] ὅθ' mss., cf. θ 78 λ 540.

391 δηρὸν] neglecto Ϝ; πάμπαν Porphyr. p. 298 Schr.

392 ῥινοτόρος] †.

„τίπτ' αὖτ', ὦ κυνόμυια, θεοὺς ἔριδι ξυνελαύνεις — 394^{b} cf. *Υ* 134
θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκε; — 395^{b} = *Η* 25
οὐ μέμνησ' ὅτε Τυδεΐδην Διομήδε' ἀνῆκας — 396 cf. *Ε* 856; 396^{a} = *Ο* 18
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῖ' ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας; — 398^{b} cf. *Ε* 858
τῷ σ' αὖ νῦν ὀίω ἀποτισέμεν' ὅσσα ϝέϝοργας."
ὣς ϝειπὼν ϝ' οὔτασσε κατ' αἰγίδα θυσανόεσσαν — 400 cf. *Λ* 434
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
τῇ μιν Ἄρης οὔτασσε μιαιφόνος ἔγχεϊ μακρῷ.
ἣ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ — 403 cf. *Η* 264
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε, — 404 = *Η* 265
τόν ῥ' ἄνδρες πρότεροι 'θέσαν ἔμμεναι οὖρον ἀρούρης.
τῷ 'βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, 'λῦσε δὲ γυῖα.
ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας, — 407^{a} cf. *λ* 577^{b}
τεύχεα δ' ἀμφ' ἀράβησε· 'γέλασσε δὲ Παλλὰς Ἀθήνη,
καί ϝοι ἐπευχομένη ϝέπεα πτερόεντα προσηύδα· — 409 cf. *Π* 829
„νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσσα' ὅσσον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις; — 411^{b} = 488
οὕτω κεν σῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις."

---

394 *αὖτ'*] *αὖ* mss. nonnulla. || *κυνόμυια*] *κυνάμυια* mss. multa. Nomen e vocibus *κύων* et *μυῖα* compositum nonnisi vs. 421 redit; *κινάμυια* legebat Neoptolemus Parianus teste schol. Genev.

395 *ἄητον*] †; cf. *Σ* 410. || *θυμὸς ἀνῆκε*] vid. ad *Η* 25. || *ἀνῆκε*] *ἀνώγει* Syr.

396 *οὐ* Brandreth] *ἦ οὐ* mss.; cf. § 8. || *μέμνησ'* § 117] *μέμνῃ* mss.; vid. ad *Ο* 18.

397 *οὐτάμεναι*] *-ναί μ'* Mosc. Eust., fortasse recte. || *πανόψιον*] sic Ar., *conspicuum* interpretatus; cf. *ὑπόψιον* *Γ* 42. Antimachus *ὑπονόσφιον* corrigebat (cf. *νοσφίδιος* Hes. fr. 4), Bentley *πανίψιον*, vHerwerden *πελώριον*, Christ *παναίολον* (aptumne hastae epitheton?). Non adiectivum sed aliam orationis particulam latere suspicamur. Vox †.

398 *ἐμεῖ'* § 92] *ἐμεῦ* mss.

399 *ὅσσα* Ambros.] *ὅσσα μ'* mss. cett. Cf. *Γ* 57 *Χ* 347.

400 *ϝ] addidimus, cf. *μιν* vs. 402. || *οὔτασσε] *οὔτησε* mss., cf. § 150. || *αἰγίδα* Ar.] *ἀσπίδα* mss. pleraque (cf. *Λ* 534 *Ρ* 43). || *θυσανόεσσαν* Genev.] *θυσσανόεσσαν* mss. cett.; vid. § 21 et ad *Β* 448.

402 *οὔτασσε] *οὔτασε* C^{1}, *οὔτησε* mss. cett., cf. § 150.

403 *χειρὶ παχείῃ*] *Παλλὰς Ἀθήνη* Ambr.; *χειρὶ βαρείῃ* potius de dea dicendum fuisse contendit schol. Genev.; sic olim alii (Ar.)? cf. v. l. *Φ* 590 *σ* 56. Redit *χεὶρ παχεῖα* (*pugnus*) de feminis dictum *Φ* 424 *φ* 6 h. Ap. 340.

404 sq.] imitatur Verg. Aen. XII 807 sq.

405] similis est versus *Ψ* 332, cf. etiam *Μ* 421 sqq. || *ῥ' ... πρότεροι*] *δ' ... πρότερον* Apoll. lex.

407] cf. *Ε* 860 *λ* 577.

408 *δ'* Ambr.] *τ'* mss. cett.

409 *ϝοι*] *μιν* mss. pauca.

410 *ἐπεφράσσα'* § 117] *-φράσω* mss.

411 *ἀντιφερίζεις*] *ἰσοφαρίζεις* mss. multa; vid. ad vs. 357.

412 *σῆς] *τῆς* mss. || *ἐξαποτίνοις*] comp. †.

414 *ἀμύνεις*] *ἀρήγεις* mss. nonnulla.

ὧς ἄρα φωνήσασα πάλιν ’τρέπεν ὄσσε φαεινώ. 415^{b} = Ν 3
τὸν δ’ ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα στενάχοντα· μόγις δ’ ἐσαγείρετο θυμόν. 417^{a} cf. Σ 318
τὴν δ’ ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη, 417^{b} cf. Ο 240; 418 cf. Ε 711
αὐτίκ’ Ἀθηναίην Ϝέπεα πτερόεντα προσηύδα· 418^{a} cf. Γ 21; 419sq. = Ε 713 sq.
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
καὶ δ’ αὖθ’ ἡ κυνόμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηίου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.“
ὧς ’φάτ’, Ἀθηναίη δὲ μετέσσυτο, ’χαῖρε δὲ θυμῷ,
καί Ϝ’ ἐπιϜισαμένη πρὸς στήθεα χειρὶ παχείῃ
ἤλασε· τῆς δ’ αὖθι ’λύτο γούνατα καὶ φίλον ἦτορ. 425 cf. Φ 114
τὼ μὲν ἄρ’ ἄμφω ἐκείατ’ ἐπὶ χθονὶ πολυβοτείρῃ,
ἡ δ’ ἄρ’ ἐπευχομένη Ϝέπεα πτερόεντ’ ἀγόρευε·
„τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί, 428^{b} = 371
εἶεν, ὅτ’ Ἀργεΐοισι μαχοίατο θωρηκτῇσι,
ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρῃ’ ἐπίκουρος, ἐμῷ μένε’ ἀντιάουσα· 431^{b} cf. Ζ 127
τῷ κεν δὴ πάλαι ἧμε ἐπαυσάμεθα πτολέμοιο,
Ϝιλίου ἐκπέρσαντε ἐὺ κτίμενον πτολίεθρον.“ 433 cf. Α 164
ὧς ’φάτ’, ἐμείδησεν δὲ θεὰ λευκώλενος Ἥρη. 434 = Α 595
αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων·
„Φοῖβε, τίη δὴ νῶι διέσταμεν; οὐδὲ ϜέϜοικε
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ’ ἀμαχητὶ

---

415 ’τρέπεν] τράπεν mss. nonnulla.

416 ἄγε] imperfectum conatus, cf. vs. 426. || Διὸς θυγάτηρ] φιλομμειδὴς mss. nonnulla; cf. Υ 40.

417 ἐσαγείρετο] sic Ar., -ρατο mss. multa.

421 καὶ δ’] κεῖθ’ coniecit Burgard. || αὖθ’ ἡ κυνόμυια] l. a. αὖ τὴν κυνάμυιαν (?). || κυνόμυια] κυνάμυια mss. pleraque; vid. ad vs. 394.

424 *Ϝ’] ῥ’ mss. || ἐπιϜισαμένη § 201] ἐπιεισαμένη mss., ἐπερεισαμένη Demetrius Ixio (vid. schol. Genev.); Nauck ἐπιμασσαμένη. || χειρὶ παχείῃ] vid. ad vs. 403.

425 αὖθι § 322] αὐτοῦ mss.

426 ἐκείατ’] κείατ’ Curtius, κεῖντο mss.; cf. § 119. Bentley coniecit πλῆντο (ποτὶ). || ἐπὶ] ποτὶ mss. multa. || πολυβοτείρῃ H] πουλ. mss. cett.; cf. § 21.

427 πτερόεντ’ ἀγόρευε] -ντα προσηύδα mss. nonnulla; cf. vs. 121.

431 Ἄρῃ’ Lips.] Ἄρῃ (Ἄρη) vel Ἄρει mss cett.; cf. vs. 112. || ἐπίκουρος] l. a. ἐπίουρος (cf. Ν 450). || μένε’ § 71] μένει mss. || ἀντιάουσα § 191] -ιόωσα mss.

432 sq. *ἧμε ... ἐκπέρσαντε] ἄμμες ... ἐκπέρσαντες mss. De se et Iunone Minervam loqui arbitramur.

433 Ϝιλίου] Ἴλιον L et l. a. in schol., cf. Β 133 Δ 33.

434] om. mss. multa; vix tamen potest abesse, sed suspectus videri debuit postquam pluralis numerus in vs. 432 sq. per errorem invectus est. || ’φάτ’, ἐμείδησεν δὲ] φάτο, μείδησεν δὲ G L Lips., ἔφαθ’· ἡ δ’ ἐγέλα(σ)σε H Z Cant. Townl.

436 διέσταμεν] *nondum manus conseruimus.* Verbum ita alias non adhibetur. || οὐδὲ] *οὔ τι? cf. Α 119.

437 ἀμαχητὶ] †.

ἴομεν Οὔλυμπόνδε, Διὸς ποτὶ χαλκοβατὲς δῶ. 438ᵇ = *A* 426
ἄρχε, σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἐμοί γε
καλὸν, ἐπεὶ πρότερος ’γενόμην καὶ πλείονα Ϝοῖδα. 440 cf. *T* 219
νηπύτι’, ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
μέμνησαι, ὅσα δὴ ’πάθομεν κακὰ Ϝίλιον ἀμφὶ
μοῦνοι νῶι θεῶν, ὅτ’ ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες ’θητεύσαμεν εἰς ἐνιαυτὸν
μισθῷ ἔπι ῥητῷ· ὃ δὲ σημαίνων ἐπέτελλε.
ἦ τοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλὸν, ἵν’ ἄρρηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ’ εἰλίποδας Ϝέλικας βοῦς ’βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολύπτυχος ὑληέσσης. 449 cf. *X* 171
ἀλλ’ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
ἐξέφερον, τότε νῶι ’βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ’ ἀπέπεμπε.
σὺν μὲν ὅ γ’ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε 453ᵇ = *E* 122
δήσειν, καὶ περάειν νήσων ἔπι τηλεδαπάων· 454ᵇ = *X* 45
’στεῦτο δ’ ὅ γ’ ἀμφοτέρων ἀπολεψέμεν’ οὔατα χαλκῷ.
νῶι δέ τ’ ἄψορροι ’κίομεν κεκοτηότι θυμῷ,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε. 457ᵇ cf. γ 99 δ 329
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ’ ἥμων
πειράε’, ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται

---

441 *ἄνοον*] †. || *ἔχες*] sc. quo tempore Troianis succurrere decrevisti.

442 *μέμνησαι* § 117] *μέμνησαι* Ar. mss.; plena forma extat *Ψ* 648.

444 *’θητεύσαμεν*] verbum redit λ 489 σ 357, cf. *θῆτες* δ 644 et ad *Σ* 550.

445 *ῥητῷ*] † (*ἄρρητος* ξ 466); cf. *ῥητήρ* *I* 443, *ῥήτρη* ξ 393, *ῥῆσις* (?) φ 291.

446] ex hoc versu, de quo videatur schol. Genev., Ar. iure effecit spurios esse *H* 452 et vicinos; vid. ad *H* 443 sqq. || *πόλιν*] *πόλει* Aristoph. H Vrat. non recte (vid. § 74); Aridices autem grammaticus (qui etiam ad vs. 474 laudatur) teste schol. Genev. legebat *ἦ τοι μὲν γὰρ ἐγὼ πόλεως (πόλιος) περὶ τεῖχος ἔδειμα.*

447 *καλὸν*] *μακρὸν* Zoilus teste schol. Genev.

449 *πολύπτυχος* Naber] *πολυπτύχου* mss.; vid. ad *Θ* 411.

450 *πολυγηθέες*] *-θέος* Vrat. et l. a. apud Eust.; adi. †.

451 *ἐξέφερον*] hoc uno loco translate usurpatur. || *’βιήσατο*] hoc uno loco duplicem accusativum adsciscit.

452 *ἀπέπεμπε*] l. a. *ἀπέβλεψε* (immo *ἀπέπεμψε*, sic Vrat.) in schol. Genev.

453 *σὺν*] *σοὶ* mss. nonnulla male.

454 *περάειν* § 191] *-ράαν* mss. || *τηλεδαπάων*] sic Ar. et Ptolemaeus (vid. schol. Genev.), *θηλυτεράων* olim libri vetusti (“*αἱ ἀπὸ τῶν πόλεων*”), sic Etym. M. 451,6. Vid. ad *X* 45.

455 *ἀπολεψέμεν*] sic Ar., *ἀποκοψέμεν* (vel *-ψειν*) mss. pleraque, *ἀπολουσέμεν* l. a. apud Eust.

458 *ἥμων* § 92] *ἡμέων* mss.; an **ἧμιν*? vid. § 316.

459 **πειράε’*] *πειρᾷς* L Lips. Harl. Vrat. (cf. *Ω* 390), *πειρᾷ* mss. cett. vitio metrico (cf. § 14). Vid. § 117.

πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃσ' ἀλόχοισι."
τὸν δ' αὖτε προσέϝειπε ϝάναξ ϝεκάϝεργος Ἀπόλλων·
„ἐνοσίγαἰ, οὔ κέν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δϝειλῶν, οἳ φύλλοισι ϝεϝοικότες ἄλλοτε μέν τε — 464-466 cf. Z 146-149
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες, — 465^b cf. Z 142
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἳ δ' αὐτοὶ δηριαέσθων."
ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ᾽· ἥδετο γάρ ῥα — 468^a cf. Σ 138 [sq.^a
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι. — 468^b sq. cf. ν 341; 468^b sq.^a cf. ζ 329 sq.
τὸν δὲ κασιγνήτη μάλ' ἐνείκεσε, πότνια θηρῶν·
472 „φεύγεις δή, ϝεκάϝεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ ϝοι εὖχος ἔδωκας·
νηπύτιος, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
μή σεο νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω — 475 sq.^a cf. A 396 sq.
εὐχομένοἰ, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσι,
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίξειν." — 477^b = Γ 85
ὣς᾽φάτο, τὴν δ' οὔ τι προσέφη ϝεκάϝεργος Ἀπόλλων, — 478 cf. A 511
ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις
᾽νείκεσεν ἰοχέαιραν ὀνειδείοισι ϝέπεσσι· — 480 cf. B 277
„πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδϝεές, ἀντί' ἐμεῖο

---

471 Ἄρτεμις ἀγροτέρη, καὶ ὀνειδέιον 'φάτο μῦθον· — 471^b = 393
471 Ar. — || 475—477 Ar. —

---

461 ϝεκάϝεργος] Διὸς υἱὸς B C, cf. O 253.
462 ἐνοσίγαἰ § 21] ἐννοσ. mss. || οὔ κέν § 326] οὐκ ἄν mss. || μυθήσαιο] hoc uno loco μυθέομαι acc. c. inf. adsciscit, vid. ad Σ 289.
463 πτολεμίξω] -ζω mss. pauca; vid. ad N 644.
465 ζαφλεγέες] *ardentissimi*, i. e. *vigoris pleni*. Adi. redit h. VII 8.
466 δὲ] δ' αὖ mss. complura. || ἀλλὰ τάχιστα] οὐδέ τις ἀλκὴ Plut. Mor. 104 *f* Stob. Flor. 98, 52 omisso versu 467.
467 παυσώμεσθα] παυώμεσθα mss. multa. || δηριαέσθων § 191] -ριαάσθων mss.
468 ἥδετο] αἴδετο mss.
469 μιγήμεναι ἐν παλάμῃσι] locutio non redit. || μιγήμεναι] δαμήμεναι olim alii.
470 μάλ' ἐνείκεσε] μάλα ν. mss.
474 νηπύτιος Barnes] νηπύτιε mss. || ἀνεμώλιον αὔτως] teste schol. Genev. Aridices (vid. ad vs. 446) καὶ τειρέας οἰστούς reiecta lectione καὶ ἀτειρέας οἰστούς.
475 σεο § 92] σευ mss.
476 εὐχομένοἰ § 59] -νου mss. || ὡς τὸ πρὶν] hoc uno loco non sequitur verbum.
477 ἄντα ... ἐναντίβιον] parum eleganter sunt iuncta. || π(τ)ολεμίξειν D] πολεμίζειν mss. cett.; vid. ad N 644.
480] habent G H Z Vrat., om. mss. cett.; ignotus erat Aristonico et Eustathio, neque Aristarcho fuit cognitus, hic enim cum vs. 479 comparabat A 443 (damnabat A 444). Non tamen importunus est versus, immo necessarius potius. || ὀνειδείοισι ϝέπεσσι] -οις ἐπέεσσιν mss.
481 κύον ἀδϝεές] vid. ad Θ 423.

στήσασθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
τοξοφόρῳ περ ἐούσῃ, ἐπεί σε λέοντα γυναιξὶ
Ζεὺς 'θῆκεν καὶ ἔδωκε κατακτάμεν' ἥν κ' ἐθέλῃσθα.
ἦ τοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν
ἀγροτέρας τ' ἐλάφους ἢ κρείσσοσι Ϝῖφι μάχεσθαι.
εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' ἐὺ Ϝείδῃς 487 cf. Z 150 [sq.
ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις ...—" 487^{b} sq.^{a} cf. Λ 185 488^{b} = 411
ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
σκαιῇ, δεξιτερῇ δέ Ϝ' ἀπ' ὤμων ἥνυτο τόξα, 490^{a} = Λ 501
αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιάουσα
ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀιστοί.
δακρυόεσσα δ' ὕπαιθα θεὰ 'φύγεν ὥς τε πέλεια,
ἥ ῥά θ' ὑφ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
χηραμόν, οὐδ' ἄρα τῇ γε Ϝαλώμεναι αἴσιμον ἦεν·
ὣς ἣ δακρυόεσσ' ἔφυγεν, 'λίπε δ' αὐτόθι τόξα.
Λητόα δὲ προσέϜειπε διάκτορος Ἀργεϊφόντης·
„Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχέσσομαι, ἀργαλέον γὰρ
πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσι
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφι." 501^{b} = ι 476 μ 210
ὣς ἄρ' ἔφη, Λητὼ δὲ συνήνυτο καμπύλα τόξα
πεπτεότ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης. 503^{b} cf. Π 775
ἣ μὲν τόξα λαβοῦσα πάλιν 'κίε θυγατέρος Ϝῆς·

482 στήσασθαι l. a. apud Eust., cf. Z 528] στήσεσθαι mss.; vid. ad B 544. || ἀντιφέρεσθαι] cf. Λ 589; an legendum *ἀντιφερίζειν? hoc suadet vox μένος (cf. vs. 411 = 488).

483 τοξοφόρῳ] redit epitheton h. Ap. 13, 126. || λέοντα] et ipsa vox suspecta est (vid. tamen ad P 134) et metrum (cf. § 3). || γυναιξὶ] *mulieribus mortalibus scilicet, non deabus.*

485 ἐναίρειν] insolite h. l. usurpatum esse observavit Ar. (cf. schol. Soph. Ai. vs. 26).

488 ἀντιφερίζεις] vid. ad Φ 357.

490 *δέ Ϝ'] δ' ἄρ' mss.; cf. Λ 501. || ἥνυτο] αἴνυτο mss. || τόξα] hac voce neque solum *arcum* neque solam *pharetram* sed simul ambo arma indicari ex vs. 492 et 502 sq. patet.

491 μειδιάουσα § 191] -ιόωσα mss.

492 ἐντροπαλιζομένην] sic Ar. et Ptolemaeus (schol. Genev.), -νη mss. complura; e corrupto autem scholio Genev. nos efficimus in libris Chio et Cyprio fuisse -νης, Nicole vero πολλὰ λισσομένης (vid. ad E 358).

493 ὕπαιθα cf. X 141] ἔπειτα Harl. Eust. et l. a. in schol.

494 ὑφ' ἴρηκος] ὑπ' ἴρ. mss. || εἰσέπτατο] comp. †. De verbi forma cf. § 216.

495 χηραμὸν] †, cf. χειή X 93.

496 δακρυόεσσ' ἔφυγεν] -σσα φύγεν mss.

497 Λητόα § 77] Λητὼ mss.

498 μαχέσσομαι § 291] -ήσομαι mss. pleraque. || γὰρ] δὲ mss. pleraque.

499 πληκτίζεσθ'] †.

501 νικῆσαι] νικήσειν B C.

502 συνήνυτο] συναίνυτο mss.; comp. †.

503 πεπτεότ' C Z] πεπτ(ε)ῶτ' mss. cett.; vid. ad K 200. || μετὰ] ἐνὶ Nauck.

504 θυγατέρος Ϝῆς] genitivus incommodus a voce τόξα pendere videtur.

ἣ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ, 505ᵇ = Α 426
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ' ἄρ' ἀμβρόσιος Ϝεανὸς 'τρέμε. τὴν δὲ ποτὶ Ϝοὶ
εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο Ϝηδὺ γελάσσας·
„τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων;" 509 = Ε 373
τὸν δ' αὖτε προσέϜειπεν ἐυστέφανος κελαδεινή·
„σή μ' ἄλοχος 'στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νείκε' ἐφῆπται."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ϝίλιον ἱρήν·
'μέμβλετο γάρ Ϝοι τεῖχος ἐυδμήτοιο πόληος,
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἳ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες, 518ᵇ = Α 494
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιάοντες·
κὰδ δ' ἷζον παρὰ πατρὶ κελαινεφέ'. αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἵκηται 522 cf. Σ 207
Ϝάστεος αἰθομένοιο, θεῶν δέ Ϝε μῆνις ἀνῆκε,
ὣς Ἀχιλεὺς Τρώεσσι πολύστονα κήδε' ἔθηκε. 525ᵇ cf. Χ 488

εἱστήκει δ' ὁ γέρων Πρίαμος θείοι' ἐπὶ πύργου,
εἰς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ 'κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ

---

510 μαψιδίως, ὥς εἴ τι κακὸν ῥέξουσαν ἐνωπῇ. 510 = Ε 374
524 πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκε,

---

507 ποτὶ] προτὶ mss.; cf. ω 347.
508 ἀνείρετο] ἀνήρετο mss. pauca; cf. § 264.
510] om. mss. pleraque; irrepsit ex *E* 374.
511 ἐυστέφανος] vid. ad Σ 597.
513 νείκε' Ar.] νεῖκος mss., νείκε' ἐτύχθη l. a. in schol. Townl. V. Pluralem commendat versus *B* 15, vid. etiam *E* 891, singulari favent *M* 348 υ 267.
516 'μέμβλετο] vid. § 270. || ἐυδμήτοιο πόληος] quoniam δέμειν πόλιν alibi non legitur, Grashof coniecit ἐυ κτιμένου πτολιέθρου (cf. Δ 33) aut ἐυ δμητὸν πτολιέθρου (cf. *M* 36).
517 ὑπὲρ μόρον] vid. ad Γ 30.
519 κυδιάοντες § 191] -ιόωντες mss.
520 παρὰ πατρὶ] sic Ar., πὰρ Ζηνὶ mss. pauca. || κελαινεφέ' § 73] -φεῖ mss.
522 ἵκηται l. a. in schol.] ἱκάνει mss.; cf. Σ 207.
523-525] etiam Ψ 152-154 in easdem syllabas exire observavit Christ.
523 Ϝε] ad καπνὸς vs. 522 spectat, cogitandum tamen *incendium*.
524] om. L.
525] om. Townl.[1], post 526 habet Syr. || πολύστονα L Lips.] φόνον καὶ A Harl. Mor., πόνον καὶ mss. cett. || ἔθηκε] l. a. ἔτευξε.
526 εἱστήκει] ἑστήκει A Vrat. || δ' ὁ] δὲ? || θείοι' § 59] θείου mss.
528 πεφυζότες] vid. § 237.

’γίγνεθ’· ὃ δ’ οἰμώξας ἀπὸ πύργου ’βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαουρούς·
„πεπταμένας ἐν χερσὶ πύλας ἔχετ’, εἰς ὅ κε λαοὶ
ἔλθωσιν προτὶ Ϝάστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
ἐγγὺς ὅδε κλονέων· ὀίω νῦν λοίγι’ ἔσεσθαι.
αὐτὰρ ἐπεί κ’ εἰς τεῖχος ἀναπνεύσωσι Ϝαλέντες,
αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δέδϜια γὰρ μὴ οὖλος ἀνὴρ εἰς τεῖχος ἅληται.“
ὣς ἔφαθ’, οἳ δ’ ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας·
αἳ δὲ πετασθεῖσαι ’τεῦξαν φάος. αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
οἳ δ’ ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο
’φεῦγον· ὃ δὲ σφεδανὸν ἔφεπ’ ἔγχεϊ, λύσσα δέ Ϝοι κῆρ
αἰὲν ἔχε κρατερή, ’μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε,
φῶτ’ Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν Ϝοι κραδίῃ θάρσος ’βάλε, πὰρ δέ Ϝοι αὐτὸς
ἔστη, ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι,
φηγῷ κεκλιμένος, ’κεκάλυπτο δ’ ἄρ’ ἠέρι πολλῇ.
αὐτὰρ ὅ γ’ ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
ἔστη, πολλὰ δέ Ϝοι κραδίη ’πόρφυρε μένοντι·

531 sq. cf. Μ 122 sq.
533[b] cf. Ψ 310
535[b] cf. β 344
540[b] = Π 397
544 = Π 698
545[a] = Π 700
546 cf. Δ 194
546[b] = Δ 89
551 cf. δ 427, 572 [κ 309

538 sq. Zen. —

529 πύργου] πύργοο? cf. § 59.

530 ὀτρύνων] sic Ar., -νέων mss. pleraque. Cf. Κ 38. || πυλαουρούς] -ωρούς mss.; redit vox Ω 681, ubi vid.; cf. θυραουρός Χ 69.

532 πεφυζότες] vid. § 237.

533 κλονέων] κλονέει B C Vrat. || *ὀίω νῦν] νῦν οἴω mss.; cf. § 292* et Ψ 310.

535 ἐπανθέμεναι Ar.] ἐπ’ ἂψ θέμεναι mss. et olim libri nonnulli „τῶν κατὰ πόλεις“; cf. Σ 14. Comp. †.

536 μὴ οὖλος] hiatus vitiosus ut Σ 193; vid. § 14 et de ipsa voce ad Β 6.

537 ἄνεσαν] *diduxerunt*; vid. ad Χ 80. Idem dicitur ἀνακλῖναι (vid. Ε 751), oppositum est ἐπιθεῖναι vel ἐπιϜερύσαι; vid. ad α 441.

538 φάος] *salutem*, ut Ζ 6 Σ 102 etc.; *lucem* perperam interpretatus Zen. versum damnabat.

539 ἀλάλκοι] ἀμύναι mss. multa (et Ar.?); cf. Ο 736.

541 καρχαλέοι] †, *asperi*; καρφαλέοι G Vrat., quod verum videtur coll. ν 398, 430. Locutionem δίψῃ καρχαλέοι Vergilius Georg. III 434 *asper siti* vertit.

542 σφεδανὸν] σφεδανῶν Ar. (pro participio habens) et mss. nonnulla, σφεδανῶς C[1]. Cf. Λ 165 Π 372.

548 κῆρας] χεῖρας mss. pleraque; vid. ad Λ 97.

549 φηγῷ] vid. ad Ε 693. || κεκλιμένος] vid. ad vs. 18. || δ’ ἄρ’] δὲ Nauck.

550 Ἀχιλλῆα πτολίπορθον] sic Ar., alii olim Ἀχιλλέα Πηλείωνα; vid. ad Ο 77.

551 μένοντι] κιόντι Barocc. et Porphyrius

ὀχθήσας δ' ἄρ' ἔϜειπε ποτὶ μεγαλήτορα θυμόν· 552 = Λ 403
„ὤ μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῖ' Ἀχιλῆος 553ᵃ = Ρ 91
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται, 554 cf. Ζ 41
αἱρήσει με καὶ ὧς καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δέ κ' ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλεΐδῃ Ἀχιλῆι, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον λεῖον, ὄφρ' ἄγκε' ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήια δύω,
Ϝεσπέριος δέ κ' ἔπειτα λοεσσάμενος ποταμοῖο,
ἱδρό' ἀποψυχθεὶς, προτὶ Ϝίλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 562 = Λ 407
μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσι.
οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέ Ϝοι πρόσθεν πόλιος κατεναντίον ἔλθω....,
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέι χαλκῷ,
ἐν δὲ μία ψυχή, θνητὸν δέ Ϝέ φασ' ἄνθρωποι."

570 ἔμμεναι· αὐτάρ Ϝοι Κρονίδης Ζεὺς κῦδος ὀπάζει. 570 cf. Θ 141
570 Ar. —

ad Λ 269 vitio manifesto, quod e versibus parall. huc irrepsit.

552 ἄρ' ἔϜειπε] ἄρα εἶπε mss. || *ποτὶ] πρὸς ὃν mss.; vid. ad Λ 403.

553 κρατεροῖ' § 59] -ροῦ mss.

554 περ οἱ] *τέ περ? || κλονέονται] φοβέονται mss. multa (ut Ζ 41 Φ 4).

556 εἰ] apodoseos vice fungitur vs. 560 sq. || δέ κ' § 326] δ' ἂν mss. || ὑποκλονέεσθαι] comp. †; cf. συγκλ. Ν 722.

558 *λεῖον, ὄφρ' ἄγκε'] 'Ιλήιον, ὄφρ' ἂν Ar. mss., Crates 'Ιδήιον, at sequitur Idae nomen. Adiectivum (Ϝ)ιλήιον a voce Ϝίλιος aut Ϝῖλος deduci non potuit, Ili autem σῆμα situm erat in vicinia castrorum navalium. Coniecturam nostram tuetur Ψ 359, vid. praeterea Δ 484 Ψ 330 etc. et ad Θ 264; vox ἄγκεα autem in persecutione describenda constanter fere adhibetur, vid. Σ 321 Χ 190 et praesertim δ 337 = ρ 128; ὄφρα *donec* (sine κε) extat Λ 82 Μ 281. Vox ἄγκε' in ἂν κε abiit, deinde in ἄν, tum ex litteris ΛΕΙΟΝ natum est adiectivum 'Ιλήιον.

559 κνημοὺς] κρημνοὺς Genev.

560 δέ κ' § 326] δ' ἂν (ἄρ D, ἄρ' Vrat.) mss.

561 ἱδρό' § 77] ἱδρῶ mss. || προτὶ] ποτὶ C G. || ἀπονεοίμην] de ἀ- vid. § 21.

563 μή] cf. Χ 123; Naber coniecit ἤν, quod novicium foret pro αἴ κ' (§ 326). || ἀπαειρόμενον] -ράμενον A²; comp. †, novicius autem est verbi usus; vHerwerden coniecit ὅ γ' ἀπεσσυμένον.

565 ἔσται] ἔσεται Barocc.

567 εἰ] apodosis omittitur, cf. Χ 111 et vid. ad Λ 136. || πρόσθεν Menrad coll. Χ 464] προπάροιθε mss., vid. § 8 et ad Β 811 Ζ 307 Θ 524. || κατεναντίον] -ντίος L Lips., comp. †.

568 τρωτὸς] adi. verb. † (τρώω Μ 66 etc.).

569 μία Heyne, cf. Υ 272] ἴα mss., Bentley τ' ἴα, fortasse recte, vid. Λ 174; Agar Ϝ'(οι) ἴα (cf. § 13). Idem vitium est Ι 319.

ὣς Ϝειπὼν Ἀχιλῆα Ϝαλεὶς ἔμεν᾽, ἐν δέ Ϝοι ἦτορ
ἄλκιμον ὡρμάετο πτολεμιζέμεν᾽ ἠδὲ μάχεσθαι.
ἠύτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο 573ᵇ = Λ 415
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ 574ᵇsq.ᵃ cf. η 50 sq. σ 330 sq. 390 sq.
ταρβέει οὐδὲ φοβεῖται, ἐπεὶ κυνυλαγμὸν ἀκούσῃ· 575ᵃ = Μ 46
εἴ περ γὰρ φθάμενός Ϝ᾽ ἤ᾽ οὐτάσῃ ἠὲ βάλῃσι,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ᾽ ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
ὣς Ἀντήνορος υἱὸς ἀγανοῦ, δῖος Ἀγήνωρ,
οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ᾽ Ἀχιλῆος.
ἀλλ᾽ ὅ γ᾽ ἄρ᾽ ἀσπίδα μὲν πρόσθ᾽ ἔσχετο πάντοσ᾽ ἐϜίσην, 581ᵇ = Μ 294
ἐγχείῃ δ᾽ αὐτοῖο ᾽τιτύσκετο, καὶ μέγ᾽ ἀύτει·
„ἦ δή που μάλα Ϝέλπε᾽ ἐνὶ φρεσί, φαίδιμ᾽ Ἀχιλλεῦ,
ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων, 584 cf. Π 708
νηπύτι᾽· ἦ τ᾽ ἔτι πολλὰ τετεύξεται ἄλγε᾽ ἐπ᾽ αὐτῇ.
ἐν γάρ Ϝοι πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν,
οἳ καὶ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ϝίλιον εἰρύμεσθα· σὺ δ᾽ ἐνθάδε πότμον ἐφέψεις,
ὧδ᾽ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.“
ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε, 590ᵇ = Ν 410
καί ῥ᾽ ἔβαλε κνήμην ὑπὸ γούνατος οὐδ᾽ ἀφάμαρτε.
ἀμφὶ δέ Ϝοι κνημὶς νεοτεύκτου κασσιτέροιο

571 Ϝαλεὶς] de re vid. Υ 168. || *ἔμεν᾽] μένεν mss.

572 ὡρμάετο § 191] ὡρμᾶτο mss. || πτολεμιζέμεν᾽ § 125] π(τ)ολεμίζειν mss.

573 πάρδαλις Ar. G H L Lips.] πόρδαλις mss. cett.; cf. Ν 103.

575 ταρβέει § 191] ταρβεῖ mss. vitio metrico, vid. § 14. || κυνυλαγμὸν Zen.] κεν ὑλαγμὸν Ar. mss. metro ingrato, vid. § 3. Vox †, cf. Stesichori fr. 85 ἀπειρέσιοι κυνυλαγμοί.

576 *Ϝ᾽] τις L Lips. et olim „αἱ ἀπὸ τῶν πόλεων“, μιν mss. cett. (de correpto ἤ cf. § 16).

578 ξυμβλήμεναι] aor. †, vid. § 258 et ad Π 565 φ 15.

579 ἀγανοῦ] -όο? cf. § 59.

580 φεύγειν] φυγέειν B. || πρὶν] hoc uno loco iungitur optativo, item πρίν γ᾽ ὅτε Ι 488.

581 γ᾽ ἄρ᾽] γὰρ mss. pleraque.

583 μάλα Ϝέλπε᾽(αι) Hoffmann] μάλ᾽ ἔολπας mss.; Bentley μάλ᾽ ἐϜέλπε᾽(ο), Christ σὺ ϜέϜολπας, Cobet ἦ μάλα δή τι ϜέϜολπας.

584 ἀγερώχων] vid. ad Β 654.

585 τ᾽ ἔτι] μάλα A Harl. (e vs. 583); de eliso pronomine τ(οι) cf. § 13.

586 Ϝοι] ῥ᾽ οἱ vel τοι mss. multa. || ἀνέρες εἰμὲν] l. a. ἄνδρες ἔνειμεν a Didymo (et Ar.?) non improbata; cf. Β 131 Ε 477.

587 καὶ Ar.] κε(ν) mss.

588 εἰρύμεσθα Heyne] εἰρυ(σ)όμεσθα mss.; cf. § 164.

590 βαρείης] παχείης mss. nonnulla; cf. vs. 403.

591 ῥ᾽] *Ϝ᾽? vid. ad Ν 651.

592 οἱ H Vrat.] μιν mss. cett. Cf. Μ 396 Ν 805 etc. || νεοτεύκτου] †, cf. -τευχέες Ε 194, τυκτός (ἐύτυκτος) Μ 105 etc.

σμερδαλέον ’κονάβησε· πάλιν δ’ ἀπὸ χαλκὸς ὄρουσε 593ᵃ = Ο 648
βλημένου, οὐδ’ ἐπέρησε, θεοῦ δ’ ἠρύκακε δῶρα. 594 cf. Υ 268
Πηλεΐδης δ’ ὡρμήσατ’ Ἀγήνορος ἀντιθέοιο
δεύτερος· οὐδέ Ϝ’ ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
ἀλλά μιν ἐξήρπαξε, ’κάλυψε δ’ ἄρ’ ἠέρι πολλῇ, 597ᵇ = Γ 381.
ἡσύχιον δ’ ἄρα μιν πολέμοι’ ἒκ ’πέμπε νέεσθαι.
αὐτὰρ ὃ Πηλεΐωνα δόλῳ ἀπεϜέργαθε λαοῦ·
αὐτῷ γὰρ ϜεκάϜεργος Ἀγήνορι πάντα ϜεϜοικὼς
ἔστη πρόσθε ποδῶν· ὃ δ’ ἐπέσσυτο ποσσὶ διώκειν.
ἦος ὃ τὸν πεδίοιο ’διώκετο πυροφόροιο,
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα, — δόλῳ δέ Ϝε ’θέλγεν Ἀπόλλων,
ὡς αἰεὶ Ϝέλποιτο κιχήσεσθαι ποσὶ Ϝοῖσι, —
τόφρ’ ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀσπάσιοι προτὶ Ϝάστυ, πόλις δ’ ἔμπλητο Ϝαλέντων.
οὐδ’ ἄρα τοί γ’ ἔτλαν πόλιος καὶ τείχεος ἐκτὸς
μεῖναι ἔτ’ ἀλλήλους, καὶ γνώμεναι ὅς τ’ ἐπεφεύγει
ὅς τ’ ἔθαν’ ἐν πολέμῳ· ἀλλ’ ἐσσυμένως ἐσέχυντο
εἰς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦν’ ἐσάωσαν.

---

593 ’κονάβησε] -βιζε D (cf. *Β* 466 etc.).
593 sq.] *πάλιν … ἀπὸ … ὄρουσε* | *βλημένου*] vid. ad Σ 138.
594] in margine habet A.
595 *Ἀγήνορος ἀντιθέοιο*] de genitivo vid. Ξ 488.
596 Ϝ’ Brandreth] τ’ mss. (om. A C D). || *Ἀπόλλων κῦδος ἀρέσθαι*] l. a. *ἄναξ Διὸς υἱὸς Ἀπόλλων*.
597 ’*κάλυψε δ’ ἄρ’*] l. a. *καλύψας*, Nauck *κάλυψε δὲ*.
598 *ἡσύχιον*] †, adv. -*χίως* h. Merc. 438; cf. *ἡσυχίη* σ 22 h. Merc. 356. || *πολέμοι’* § 59] -*μου* mss.
599 *ἀπεϜέργαθε*] *ἀποέργαθε* Ar. mss.
600 *γὰρ*] sic Ar., *γάρ ῥ’* olim alii et mss. nonnulla.
601 *ἔστη*] „suspectum" Nauck.
602 *ἦος* § 323] *ἕως* mss. || *πεδίοιο*] vid. ad *Β* 785.
603 *τρέψας*] accuratius Χ 16 dicitur *fugiens τρέψαι persequentem.*
604 **δέ Ϝε ’θέλγεν*] *δ’ ἄρ’* (*γὰρ* G H) *ἔθελγεν* mss. caesura vitiosa, vid. § 3.
606 *Τρῶες*] *πάντες* B C.
607 *πόλις δ’ ἔμπλητο*] *πύλαι δ’ ἔμπληντο* Antimachus et Rhianus vix recte, vid. § 119.
609 *τ’ ἐπεφεύγει*] *τε πεφεύγει* D, *τε πεφεύγοι* mss. cett.; cf. § 159.
610 *ἐσσυμένως*] *ἀσπασίως* mss. pleraque.
611 *γοῦν’ ἐσάωσαν*] *γοῦνα σάωσαν* mss. pleraque, *γοῦνα σαώσαι* Ar., Bekker *γοῦνα σαώσαιν* male, vid. § 113 et ad α 414 υ 383.

ΙΛΙΑΔΟΣ X.

Ἕκτορος ἀναίρεσις.

ὣς οἳ μὲν κατὰ Ϝάστυ, πεφυζότες ἠύτε νεβροὶ,
ἱδρό᾽ ἀπεψύχοντο ᾽πίον τ᾽ ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
τείχεος ἆσσον ἴσαν σάκε᾽ ὤμοισι κλίναντες. 4ᵇ = Λ 593
Ἕκτορα δ᾽ αὐτόθι μεῖναι ὀλοιὴ μοῖρ᾽ ἐπέδησε,
Ϝιλίοο προπάροιθε πυλάων τε Σκαιάων. 6ᵃ = Ο 66
αὐτὰρ Πηλεΐωνα προσηύδα Φοῖβος Ἀπόλλων·
„τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις, 8ᵇ cf. Θ 339
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ᾽ ἀσπερχὲς μενεαίνεις. 10ᵇ cf. Δ 32
ἦ νύ τοι οὔ τι μέλει Τρώων φόνος οὓς ἐφόβησας,
οἳ δή τοι εἰς Ϝάστυ ᾽Ϝάλεν, σὺ δὲ δεῦρ᾽ ἐλιάσθης;
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι.“

---

1 *πεφυζότες*] vid. § 237.

2 *ἱδρό᾽* § 77] *ἱδρῶ* mss. ‖ *ἀπεψύχοντο*] *ἀνεψύχοντο* A² Vrat.; in schol. B Aristarcho tribuitur *ἀνα-*, sed praeferendum est *ἀπο-*, cf. *Λ* 621 *Φ* 561; ipsi *homines ἀναψύχονται* (*δ* 568 *E* 795 *K* 575 *N* 84). Nauck coniecit *ἀπε(ν)νίζοντο.*

5 *αὐτόθι* § 322] *αὐτοῦ* mss. ‖ *ὀλοιὴ*] *ὀλοὴ* mss. pleraque invito metro. Longior haec adiectivi forma nonnisi *Δ* 342 h. Ven. 225 redit, ex ultimo autem loco Nauck efficit pro *ὁμοίιος* (*Δ* 315, ubi vid., etc.) legendum esse *ὀλοίιος* (cf. *ὀλώιος* Hes. Theog. 591).

6 *Ϝιλίοο* § 59] *᾽Ιλίου* mss.

7 *αὐτὰρ*] *αὐτὰρ ὁ* Ambr. Syr. H; cf. *Λ* 660 *Π* 25. ‖ *προσηύδα*] *-δαε*? cf. § 191.

10] Syr. addit *᾽Ιλίου ἐξαλαπάξαι ἐὺ κτίμενον πτολίεθρον* (= *Δ* 33).

11 *φόνος* Bothe] *πόνος* Ar. mss., quod contorte admodum Aristonicus interpretatur *τὸ περὶ τοὺς Τρῶας πονεῖν καὶ ἐνεργεῖν.* Vid. ad *Φ* 137, 249, 525 *μ* 117.

12 *δή τοι*] *δ᾽ ἤτοι* Syr.; cf. *μ* 61. ‖ *δεῦρ᾽ ἐλιάσθης*] *-ρο λ.* mss. multa.

13 *κτενέεις*] *κτανέεις* G; vid. § 269 et ad *Z* 409.

τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· 14 = Π 48
„'βλάψας με, ϝεκάϝεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον πρὶν Ϝίλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
ῥηιδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδϜεισας ὀπίσσω. 19 cf. Α 515
ἦ σέ κε τισαίμην, εἴ μοι δύναμίς γε παρείη." 20 cf. β 62
ὣς ϝειπὼν προτὶ ϝάστυ μέγα φρονέων ἐβεβήκει, 21b = Λ 296
σευάμενος ὥς θ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφι,
ὅς ῥά τε ῥεῖα θέησι τιταινόμενος πεδίοιο·
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα. 24 cf. Ο 269
τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος 'ϝίδεν ὀφθαλμοῖσι, [Δ 62 sq.
παμφαίνονθ' ὥς τ' ἀστέρ' ἐπεσσυμένον πεδίοιο, 26 sq. cf. Ε 5 sq.
ὅς ῥά τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ ϝοι αὐγαὶ 27b = Ν 244
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ, 28b = 317
ὅν τε κύν' Ὠαρίωνος ἐπίκλησιν καλέουσι· 29b = Σ 487
λαμπρότατος μὲν ὅ γ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δϜειλοῖσι βροτοῖσι·
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος. 32 = Ν 245
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε 'κόψατο χερσὶ
ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγέγωνε 34a cf. Μ 138 / 34b cf. μ 370
λισσόμενος φίλον υἱόν· ὃ δὲ προπάροιθε πυλάων
εἱστήκειν, ἄμοτον μεμαὼς Ἀχιλῆι μάχεσθαι.
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα χεῖρας ὀρεγνύς· 37b cf. Α 351

---

15 *βλάψας με* Bentley] *ἔβλαψάς μ'* mss.; Hoffmann *ἔβλαψας ϝεκάϝεργε* et in vs. sequenti *τρέψας μ'*. || *ὀλοώτατε*] cf. Γ 365; l. a. *δολοώτατε* (? — Heyne *δολιώτατε* coll. Φ 604).

16 *τρέψας*] vid. ad Φ 603.

18 *ἀφείλεο*] sic Ar., *-λαο* Ambr. Harl.

20 *σέ κε* § 326] *σ' ἂν* mss. || *τισαίμην ... παρείη*] de optativo vid. ad Δ 314.

23 *πεδίοιο*] vid. ad Β 785.

25 *δ' ὁ*] *δὲ*?

26 *πεδίοιο*] vid. ad Β 785.

27-31] duo anni tempora in hac comparatione sunt permixta: *aestas*, qua Sirii ortus heliacus (*ἐπιτολὴ ἑῴη*) febrem affert, et *hiems*, qua horis nocturnis Sirius fulget (cf. Hes. Oper. 417-419). — Locum imitatur Verg. Aen. X 274 sq.

27 *ὀπώρης*] cf. *ἀστὴρ ὀπωρινός* Ε 5. De genitivi usu cf. η 118. || *ἀρίζηλοι*] vid. ad Ν 244.

28 *νυκτὸς ἀμολγῷ*] vid. ad Λ 173.

29 *'Ωαρίωνος* PKnight] *Ὠρίωνος* mss.; vid. ad Σ 486. Una voce *κυνωρίωνος* Dionysius Sidonius pessime.

30 *ὅ γ'*] *ὅδ'* mss. multa.

31 *πυρετὸν*] †, *febrem*; male *calorem* quidam interpretabantur (cf. schol. Soph. Oed. R. 27).

32 *ἔλαμπε περὶ*] *-πεν ἐνὶ* D. || *στήθεσσι*] *-σφι*? vid. ad Μ 401.

33 *δ' ὁ*] *δὲ*? || *'κόψατο*] *'λάζετο* Par. L Lips. (cf. Ε 365 etc.).

34] del. Duentzer. || *ἀνασχόμενος*] cf. Γ 362. || *ἐγέγωνε* § 260] *ἐγεγώνει* mss.

36 *εἱστήκει(ν)* mss. pleraque] *ἑστήκει* Ar.

37 *δ' ὁ*] *δὲ*? || *προσηύδα*] *-δαε*? vid. § 191.

„῞Εκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
οἶος ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς
Πηλεΐωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι, 40^a cf. Υ 294
σχέτλιος. αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο 40^b = Θ 144, 211 cf. Λ 169
ὅσσον ἐμοί· τάχα κέν ϝε κύνες καὶ γῦπες ἔδοιεν 42^b cf. Σ 271
κείμενον. ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι· 43 cf. Θ 147 Ω 514
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε
κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων. 45^b = Φ 454
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ϝιδέμεν Τρώων εἰς ϝάστυ ϝαλέντων,
τούς μοι Λαοθόη 'τέκετο, κρείουσα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦ κεν ἔπειτα
χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ', ἔστι γὰρ ἔνδον· [υ 208 ω 264
52 εἰ δ' ἤδη τεθνᾶσι καὶ ἐν ᾈϝίδαο δόμοισι, 52 cf. δ 834 ο 350
ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ 'τεκόμεσθα· 52^b = Ψ 19
λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
ἔσσεται, εἰ μὴ καὶ σὺ θάνῃς Ἀχιλῆι δαμασθείς.
ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρωίας, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλεΐδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ 60^b = Ω 487

---

51 *πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὄνομα κλυτὸς Ἄλτης.*

---

42 *ἔδοιεν* Ar.] *ἔδονται* mss. (cf. § 122).

45 *τηλεδαπάων*] l. a. *θηλυτεράων*; cf. vs. parall.; *ἀλλοδαπάων* Eust.

46 sq.] cf. Υ 407 sqq. Φ 34 sqq.

47 *ϝιδέμεν* § 126] *ἰδέειν* mss.

48 *τούς*] sic Ar., *οὕς* D. Vrat. et olim alii. || *κρείουσα γυναικῶν*] locutio †; suspicionem movet concubina sic appellata.

49 *κεν* § 326] *τ' ἂν* mss.

50 *ἀπολυσόμεθ'*] l. a. *ἀπολύσομεν* (vitiose; an *-μαι* fuit l. a.?).

51] delevimus; cf. α 278 β 197. Priamo non opus erat concubinae vel uxoris peculio ut filios posset redimere, neque dotem accipiebant heroes sed uxorem sibi emebant. Perperam Ar. coll. Ι 147 (ubi vid.) statuit nuptas constanter dona quaedam a patre suo accepta in mariti domum attulisse. — Totum locum vs. 46-55 damnavit Hoffmann (vs. 46-53 Naber), fortasse iure. || *γέρων*] *φίλη* olim „*αἱ ἀπὸ τῶν πόλεων*"; cf. α 278. In schol. V „*Ἀριστοφάνης πολλά*" quid lateat incertum est.

52 *ἐν* § 315] *εἰν* mss.

53 *ἐμῷ*] **ἐμοί*? aptius enim dicitur *mihi eorumque matri qui eos genuimus* quam *animo meo* etc.

55 *εἰ* § 326] *ἢν* mss.

56 *τέκος*] l. a. *θάλος* (e vs. 87).

57 *Τρωίας*] cf. § 17.

58 *ἀμερθῇς*] novicium pro *-θήῃς*, cf. § 122. Coniecimus **αὐτός γε ... ἀμερθείς*. Aor. pass. † (cf. § 211^3).

59 *φρονέοντ'*] l. a. *ζώοντ'*. || *ἐλέησον*] *ἐλέαιρε* mss. nonnulla.

60 *γήραος οὐδῷ*] redit locutio Ω 487 ο 246, 348 ψ 212 h. Ven. 106; qua quoniam non *ingruens senectus* sed *extrema vitae aetas*

αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πολλὰ Ϝιδόντα,
υἷάς τ' ὀλλυμένους ἑλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
64 βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηιοτῆτι.
66 αὐτὸν δ' ἂρ πύματόν με κύνες πρώτῃσι θύρῃσι
ὠμεσταὶ Ϝερύουσιν, ἐπεί κέ τις ὀξέι χαλκῷ 67ª = Λ 454
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς 'τρέφον ἐν μεγάροισι τραπεζῆας θυραουρούς,
οἵ τ' ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῷ,
κείσοντ' ἐν προθύροισι. νέῳ δέ τε πάντα ϜέϜοικε,
Ἄρηι κταμένῳ, δεδαϊγμένῳ ὀξέι χαλκῷ, 72ᵇ cf. Σ 236
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανήῃ·
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον 74 cf. Ω 516
αἰδόα τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἴκτιστον πέλεται δϜειλοῖσι βροτοῖσι."
ἦ ῥ' ὁ γέρων, πολιὰς δὲ ἀνὰ τρίχας εἵλκετο χερσὶ
τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε. 78ᵇ cf. 91
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα, 79 cf. Σ 32
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε·
καί μιν δάκρυ χέουσ' ἔπεα πτερόεντα προσηύδα·
„Ἕκτορ, τέκνον ἐμόν, τάδε τ' αἴδεο καί μ' ἐλέησον 82ᵇ cf. Φ 74
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον.

65 ἑλκομένας τε νυοὺς ὀλοῇσ' ὑπὸ χερσὶν Ἀχαιῶν.

designatur, sunt qui non vocem *οὐδός limen* sed *ὁδός via* agnoscant (vid. ad ρ 196). Nobis *limen in quo senex versetur* (sc. limen mortis vel Orci), id est *ipsa senectus*, significari videtur.

61 *αἴσῃ*] *νούσῳ* pseudo-Plut. vit. Hom. 67, *δύῃ* Stob. Flor. 104,1 (cf. ξ 215 etc.). || *πολλὰ Ϝιδόντα* Bentley] *πόλλ' ἐπιδόντα* mss., *πολλὰ παθόντα* Naber.

65] om. Plut. Mor. 114*a*, del. Duentzer.

66 δ'] τ' D. || *ἆρ] ἆν mss. male (cf. § 122 et 326), Leaf αὖ; in versu sq. *Ϝερύουσιν* est *futurum*, vid. Λ 454.

67 *ὠμεσταὶ* Wackernagel] *ὠμησταὶ* Ar. mss. || *Ϝερύουσιν* § 147] *ἐρύσουσι(ν)* mss. nonnulla, *-σωσιν* Plut. Mor. 114*a*; vid. ad vs. 66.

68 *ἕληται*] l. a. *ἕλοιτο*.

69 *τραπεζῆας*] canes *τραπεζῆες* commemorantur etiam Ψ 173 ρ 309. || *θυραουρούς*] *θυραωρούς* Ar. Syr., *πυλαωρούς* mss. cett., ut Φ 530 Ω 681 legitur. Vox †, de termino *-ουρούς* vid. ad Ω 681.

70 *τ'] κ' mss.; cf. § 122. || *ἀλύσσοντες*] praesentis forma longior †, *ἀλύω* saepius.

71-76] imitatus est Tyrtaeus fr. 10 vs. 21-30.

71 *πάντα ϜέϜοικε* Bentley] *πάντ' ἐπέοικε* mss ; Christ coniecit *δέ τοι ἀνδρὶ ϜέϜοικε*.

73 *φανήῃ*] sic Ar., *-νείη(ι)* mss. complura (cf. Τ 27).

75 *αἰδόα* § 77] *αἰδῶ* mss. || *αἰσχύνωσι*] *-νουσι* mss. complura.

77 *ῥ' ὁ*] *ῥα*? || *δὲ* Nauck] δ' mss. nonnulla, δ' ἄρ' cett. || *εἵλκετο*] *ἕλκετο* mss.

80 *ἀνιεμένη*] *diducens, aperiens*, cf. Φ 537 β 300 et Helbig Hom. Epos[1] p. 137 sq.

81] del. Bekker. || *ἔπεα*] neglecto Ϝ; Monrad *δάκρυ χέουσα δέ μιν Ϝέπεα*, at vid. ad Ο 35.

83 *αὐτήν*] in lingua epica *matrem* signi-

τῶν μνῆσαι, φίλε τέκνον, ἄμυνε δὲ δήιον ἄνδρα
τείχεος ἐντὸς ἐών, μηδὲ πρόμος ἵστασο τούτῳ·
σχέτλιος· εἴ περ γάρ σε κατακτάνῃ, οὔ σ' ἔτ' ἐγώ γε
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν 'τέκον αὐτή,
οὐδ' ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶιν — 88^a = ω 294
Ἀργεΐων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται."
ὣς τώ γε κλαίοντε προσηυδήτην φίλον υἱόν, — 90^a = Λ 136
πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον, — 91^b cf. 78
ἀλλ' ὅ γ' ἔμιμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,
σμερδαλέον δὲ δέδορκε Ϝελισσόμενος περὶ χειῇ·
ὣς Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει,
πύργῳ ἔπι προέχοντι φαεινὴν ἀσπίδ' ἐρείσας.
ὀχθήσας δ' ἄρ' ἔϜειπε ποτὶ μεγαλήτορα θυμόν· — 98 = Λ 403
„ὤ μοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω, — 99 = P 91
Πολυδάμας μοι πρῶτος ἐλεγχεΐην ἀναθήσει,
ὅς Τρωσίν μ' ἐκέλευε ποτὶ πτόλιν ἡγήσασθαι — 101 cf. Σ 254 sqq.
νύχθ' ὕπο τήνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ' ἐγὼ οὐ 'πιθόμην· ἦ κεν πολὺ κέρδιον ἦεν. — 103 = E 201
νῦν δ', ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσι, — 104 cf. η 60 ψ 68
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους, — 105 = Z 442
μή ποτέ τις Ϝείπῃσι κακώτερος ἄλλος ἐμεῖο· — 106 cf. ζ 275 φ 324; 106^a = Ψ 575
‚Ἕκτωρ Ϝῆφι βίηφι πιθήσας ὤλεσε λαόν.' — 107^a cf. φ 315^b

---

ficare fuere qui putarent coll. B 317. || εἴ] ἦ Nauck. || τοι] sic Ar., alii olim σοι. || λαθικηδέα] †, cf. κακῶν ἐπιλῆθον δ 221.

84 φίλε τέκνον] item β 363 γ 184 ο 125, 509; vid. etiam ad Λ 690.

85 ἐὼν] sic Ar., ἰὼν mss. multa male.

86 σ' ἔτ'] σέ γ' Naber.

87 θάλος] τέκος A Townl. Paris. (cf. vs. 56); θάλος legitur etiam ζ 157 h. Ven. 279 Cer. 66, 187. || ὃν] cf. Λ 690.

88 πολύδωρος] cf. Z 394. || μέγα] adverbiis alias non invenitur additum, in promptu autem est conicere μάλα; vid. tamen ι 330 et ad Y 260.

90 προσηυδήτην Paris.] προσαυδήτην mss. cett. De termino -ήτην vid. § 195.

91 πολλὰ] vid. § 26 et ad E 358.

93-95] imitatur Verg. Aen. II 471-475.

93 χειῇ] vox nonnisi vs. 95 redit, cf. χηραμός Φ 495. || ὀρέστερος ... μένῃσι] ὀρέστερον ... δοκεύῃ olim quidam libri „τῶν κατὰ πόλεις", non recte autem -ρον, vid. κ 212.

94 βεβρωκὼς κακὰ φάρμακ'] Vergilius l. l. vertit: *mala gramina pastus.*

95 σμερδαλέον] -λέος Syr. || χειῇ] cf. vs. 93.

97 προέχοντι] προύχοντι mss.

98 ἄρ' ἔϜειπε] ἄρα εἶπε mss. || *ποτὶ] πρὸς ὃν mss.; vid. ad Λ 403.

100 Πολυδάμας Eust.] Πουλ. mss.; cf. § 21.

101 Τρωσίν μ' ἐκέλευε Nauck] μ' ἐκέλευε Τρωσὶ mss.; cf. § 24. De re vid. Σ 254 sqq.

102 ὕπο] *circa*, ut apud recentiores; subsimilis est Π 202.

103 κεν § 326] τ' ἂν mss.

ὥς ϝερέουσιν· ἐμοὶ δὲ τό κεν πολὺ κέρδιον εἴη, 108ᵇ = *H* 28
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι
ἠέ κεν αὐτόθ' ὀλέσθαι ἐυκλεέως πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθήομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας 112ᵃ = *Λ* 375
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί ϝοι ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ 114ᵇ = *Γ* 458
πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλῃσ' ἐνὶ νηυσὶ 115 sq.ᵃ cf. *H* 389 sq.
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
δωσέμεν Ἀτρεΐδῃσιν ἄγειν, ἅμα δ' ἀμφὶς Ἀχαιοῖς 117ᵃ cf. *H* 351
ἄλλ' ἀποδάσσεσθαι, ὅσσα πτόλις ἥδε κέκευθε·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσεσθαι...., 120ᵇ cf. *Σ* 511
122 ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 122 = *Λ* 407
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὃ δέ μ' οὐκ ἐλεήσει 123ᵇ sq.ᵃ cf. *Ω* 207 sq.
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
αὔτως ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης 126 cf. *τ* 163
127 τῷ ὀαριζέμεναι, ἅ τε παρθένος ἠίθεός τε·

121 *κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐϝέργει,* 121 cf. *Σ* 512
128 *παρθένος ἠίθεός τ' ὀαρίζετον ἀλλήλοιιν.*

108 *τό κεν* criticus apud Nauckium] *τότ' ἂν* mss.; vid. *H* 28 *P* 417 et § 326. || *κέρδιον*] olim libri „*αἱ κατ' ἄνδρα*"; cf. *O* 197, 226.

109 *κατακτείναντα*] *-ντι* mss. pauca et olim alii.

110 *κεν*] sic Ar., *καὶ* probabiliter Brandreth; vid. *Ξ* 245 et ad *I* 684. || *αὐτόθ'* § 322] *αὐτοῦ* Heyne dubitanter, *αὐτῷ* Ar., sic aut *αὐτὸν* mss. || *ἐυκλεέως* § 73] *-κλειῶς* mss.

111 *εἰ*] apodosis omittitur, cf. *Φ* 567 et vid. ad *Λ* 136. || *καταθήομαι* § 122] *-θείομαι* mss. || *ὀμφαλόεσσαν*] *ὅπλα τε πάντα* Syr.

113 *ἀντίος*] *ἀντίον* mss. nonnulla.

115 *ἐνὶ*] *ἐπὶ* A[1] D.

116 *Τροίηνδ'*] *Τροίην* L Lips., fortasse recte.

117 *δ'*] *τ'* mss. complura. || *ἀμφὶς Ἀχαιοῖς*] *-οῖς* pro *-οῖσι* novicium, cf. § 60; Nauck coniecit *Ἀργείοισιν*.

118 *ἀποδάσσεσθαι*] sic Ar., *-σσασθαι* mss. pleraque. || *ὅσσα*] *ὅσα τε* mss. pauca.

119 *γερούσιον*] cf. *Δ* 259. || *ἕλωμαι*] l. a. *ὀμοῦμαι*.

120 *δάσεσθαι* HStephanus] *δάσασθαι* mss.

121] om. A D H, propter vs. 118 autem melius abest.

122 *τίη*] sic (non *τί δή*) Ar.

123 *μή*] *ἤν* Naber (sic potius *αἴ κέ ϝ'* scribendum esset, vid. § 326); cf. *Φ* 563.

124 *κτενέει*] *κτανέει* Apoll. lex.; cf. § 269 et ad *Z* 409.

126 sq.] verba obscura, quibus vix quidquam lucis afferunt collati *τ* 163 Hes. Theog. 35. Platt laudavit praeterea Plat. Apol. 34*d* Rep. 544*d*, Cic. ad Att. XIII 28, Ovid. Art. Amat. II 541, Nonn. XLVIII 504. Schol. A interpretantur *οὐκ ἔστιν ἀρχαῖα μυθολογεῖν τῷ Ἀχιλλεῖ νηπίων δίκην*. Praepositionem *ἀπό* vertendam esse *initio facto ab* putat Iordan coll. *ἔνθεν* *Θ* 500.

128] del. Heyne. De epanalepsi vid. ad *Γ* 372. || *ἀλλήλοιιν*] *-λοισι* mss. multa.

βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν', ὅττι τάχιστα
Ϝείδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ."
ὣς ὥρμαινε μένων· ὃ δέ Ϝοι σχεδὸν ἦλθεν Ἀχιλλεὺς — 131 cf. Φ 64
Ϝῖσος Ἐνυαλίῳ κορυθάικι πτολεμιστῇ,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δϜεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο Ϝείκελος αὐγῇ
ἢ πυρὸς αἰθομένοι' ἤ' ἠελίοι' ἀνιόντος. — 135^{b} = Θ 538^{a}
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ' ἄρ' ἔτ' ἔτλη — 136^{b} cf. Τ 14
αὖθι μένειν, ὀπίσω δὲ πύλας 'λίπε, 'βῆ δὲ φοβηθείς.
Πηλεΐδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς. — 138^{b} = Ζ 505
ἠύτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν, — 139 cf. ν 87
ῥηιδίως ᾤμησε μετὰ τρήρωνα πέλειαν·
ἣ δέ θ' ὕπαιθα φοβεῖται, ὃ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
ταρφέ' ἐπαΐσσει, ἑλέμεν τέ Ϝε θυμὸς ἀνώγει·
ὣς ἄρ' ὅ γ' ἐμμεμαὼς ἰθὺς 'πέτετ', ἔτρεσε δ' Ἕκτωρ
τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γοῦνατ' ἐνώμα. — 144^{a} cf. Ρ 404; 144^{b} = Κ 358
οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὑπ' ἐκ καθ' ἁμαξιτὸν ἐσσεύοντο,
κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα τε πηγαὶ
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
ἣ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
γίγνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο· — 150^{b} = τ 39
ἣ δ' ἑτέρη θέρεϊ προρέει ϜεϜικυῖα χαλάζῃ
ἢ χιόνι ψυχρῇ ἤ' ἐξ ὕδατος κρυστάλλῳ.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι

---

129 ξυνελαυνέμεν'] *manus conserere*; verbum hoc uno loco intransitive usurpatur (Υ 134 etc. transitive). || ὅττι] l. a. ὄφρα (ut Ν 326). Vulgatam tuentur Χ 450 Ψ 71 γ 18, cf. § 108. Sunt qui post τάχιστα colon ponant, sed vid. ad Ψ 71.

132 κορυθάικι] † pro κόρυθ' αἰόλος; vid. ad Ο 709.

134 sq.] cf. Ε 4 sqq.

135 αἰθομένοι' § 59] -οιο L Lips., -ου mss. cett. || ἠελίοι' § 59] -λίου mss.

139-142] imitatur Verg. Aen. XI 721 sqq.

139 κίρκος] cf. Ρ 757.

140 ᾤμησε] οἴμησε mss.

141 ὕπαιθα] cf. Ο 520 Φ 493. || λεληκὼς] cf. § 239.

142 ἑλέμεν § 126] ἑλέειν mss.

143 'πέτετ', ἔτρεσε] -το, τρέσε mss.

144 τεῖχος] τείχει mss. pauca.

145 ἐρινεὸν] vid. Ζ 433. || ἠνεμόεντα] cf. § 21; -εσσαν A[2].

146 καθ' ἁμαξιτὸν] κατ' ἁμ. mss.; vox ἁμαξιτός nonnisi h. Cer. 177 redit.

147 τε GHermann] δὲ mss.; vid. ad Θ 48.

148 sqq.] fluvius Scamander (hodie Menderé) prope Idae montis cacumen e duobus fontibus prodit, quorum alter est calidus alter frigidus (+ 65° et 40° Fahr.). Sed urbs ab his fontibus procul remota fuit, itaque apparet poetam locorum sibi cognitorum situm minus accurate depingere.

148 Σκαμάνδρου] -δροο? cf. § 59.

152 κρυστάλλῳ] redit vox ξ 477, ubi vid.

153 πλυνοὶ] nonnisi ζ 40, 86 redit.

καλοὶ λαΐνεοι, ὅθι ϝείματα σιγαλόεντα
'πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες
τὸ πρὶν ἐπ' εἰρήνης, πρίν γ' ἐλθέμεν' υἷας Ἀχαιῶν. 156 = Ι 403
τῇ ῥα παρεδραμέτην, φεύγων, ὃ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, 'δίωκε δέ μιν μέγ' ἀμείνων
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήιον οὐδὲ βοείην
ἠρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆς 'θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τροχάωσι, τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος,
ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι 'δινηθήτην
καρπαλίμοισι πόδεσσι. θεοὶ δέ τε πάντες ὁρῶντο,
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε· 167 = Ω 103 α 28
„ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ 169ᵇ cf. Π 450
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηε
Ἴδης ἐν κορυφῇσι πολύπτυχος, ἄλλοτε δ' αὖτε 171 cf. Φ 449
ἐν πόλι' ἀκροτάτῃ· νῦν αὖτέ ϝε δῖος Ἀχιλλεὺς
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει. 173 cf. 230 173ᵇ cf. Θ 339
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάεσθε, 174-176 cf. Π 435 sqq.
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη
Πηλεΐδῃ Ἀχιλῆι δαμάσσομεν ἐσθλὸν ἐόντα.“ 176 cf. Υ 312
τὸν δ' αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ὦ πάτερ ἀργικέραυνε κελαινεφὲς, οἷον ἔϝειπες.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ, 179-181 = Π 441 sqq.

---

154 *λαΐνεοι*] †, alias *λάινος* (*Γ* 57 etc.).

156 *πρίν γ'* § 18] *πρὶν* mss. || *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss.

157 *παρεδραμέτην*] *παραδρ.* mss.; Axt coniecit *παράδραμ' ὃ μέν*.

158] quidam olim addebant *φεῦγ' υἱὸς Πριάμοιο, δίωκε δὲ δῖος Ἀχιλλεύς*. Ipsum versum 158 del. Bekker.

159-161] vertit Verg. Aen. XII 764 sq.: *neque enim levia aut ludicra petuntur | praemia, sed Turni de vita et sanguine certant.*

159 *ἱερήιον*] de re cf. *Ψ* 260.

160 *ἠρνύσθην*] *ἀρν.* mss.

162 *τέρματα*] *-σι* C.

163 *τροχάωσι*] *τρωχῶσι* mss.; vid. § 191 et 310, et de subiunctivo *B* 462. || *κεῖται* **κείετ'* (subiunct.)? Cf. § 169.

164 *ἀνδρὸς*] de genitivo vid. ad *Ψ* 631. || *κατατεθνηῶτος*] *-ειῶτος* mss. nonnulla.

166 *δέ τε*] *δὲ* (om. *τε*) D H L, *δ' ἐς* Par. Z Vrat.

168 *τεῖχος*] *ἄστυ* Plat. Rep. III 388*c*.

171 *κορυφῇσι*] *κνημοῖσι* D. || *πολύπτυχος* Naber] *πολυπτύχου* mss., vid. ad *Θ* 411. — Haec ara commemoratur etiam *Θ* 48.

172 *πόλι'* § 74] *πόλει* mss.

174 *μητιάεσθε* § 191] *-ιάασθε* mss.

175 *μιν ἤδη*] *καὶ ἤδη* Sittl.

ἂψ ἐθέλεις θανάτου δυσϜηχέος ἐξαναλῦσαι;
Ϝέρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς· 182^b-184 = Θ 38 sqq.
„θάρσεε, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
Ϝέρξον ὅπῃ δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει."
ὧς Ϝειπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην· 186 sq. = Δ 73 sq.
'βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς. 188 cf. Δ 496^a
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας·
τὸν δ' εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
ὧς Ἕκτωρ οὐ 'λῆθε ποδώκεα Πηλεΐωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων 194^a = Φ 265
ἀντίον ἀίξασθαι, ἐὺ δμητοὺς ὑπὸ πύργους, 195^b cf. Μ 154
εἴ πώς Ϝοι καθύπερθεν ἀλάλκοιεν βελέεσσι,
τοσσάκι μιν προπάροιθεν ἀπετρέψασκε παραφθὰς
198 πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος 'πέτετ' αἰεί.
202 πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,

199 ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν,
οὔτ' ἄρ' ὃ τὸν δύναται ὑποφευγέμεν' οὔθ' ὃ διώκειν,
ὧς ὃ τὸν οὐ 'δύνατο μάρψαι ποσὶν οὐδ' ὃς ἀλύξαι.

199—201 Ar. ——

180 θανάτου Bekker] -τοιο mss.

183 sq.] hic suum locum obtinere iure observavit Ar.; cf. locus parall.

183 θάρσεε § 191] θάρσει mss. || Τριτογένεια] cf. Δ 515.

192 ἀνιχνεύων] † (ἴχνος saepius).

194 Δαρδανιάων] cf. Ε 789.

195 ὑπὸ] ἐπὶ C (cf. Π 700).

197 προπάροιθεν] *prius*? cf. § 318^6. || ἀπετρέψασκε] ἀποτρέψασκε Syr. H (cf. Φ 603 X 16), ἀποστρέψασκε mss. cett., sic et παρατρέψασκε (? — παραστρέψασκε Bekker) schol. Cf. λ 597. || παραφθὰς] sic Ar., παραστὰς Paris. G L Lips.; cf. Κ 346 Ψ 515.

198 ποτὶ] προτὶ D. || πέτετ'] sic Ar., πέτατ' Syr.

199-201] comparatio, quae parum aptis verbis expressa est, postea addita videtur. Imitatur Verg. Aen. XII 908 sqq.

199] vox ὀνείρῳ vitiose producit ultimam, vid. § 14, verbi δύναται autem desideratur subiectum τις (vid. ad Ν 287 υ 88); huic incommodo subvenias coniciendo δυνατὸν (quod tamen apud Hom. non extat adi. verbale), sed nisi utrumque simul vitium tolli possit, textus traditus sollicitandus non videtur; Christ e vs. 199 sq. unum fecit ὡς δ' ὄναρ οὐ δύναται μάρψαι φεύγοντα διώκων. || διώκειν] *consequendi* sensu nonnisi vs. sq. redit.

200 ὑποφευγέμεν' § 125] -γειν mss. || διώκειν] vid. ad vs. 199.

201 ὃ] ῥα mss. multa.

202-204] aptum sensum non praebent; del. Nauck, vs. 202-207 Iordan. Duentzer pro πῶς vs. 202 coniecit τῶς.

202 ὑπεξέφυγεν] ὑπεξέφερεν Syr. (cf. Ο 628 Ψ 376 sq. γ 496), quae lectio in schol. A falso tribuitur Aristarcho.

εἰ μή ϝοι πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς ϝοι ἐνῶρσε μένος λαιψηρά τε γοῦνα; 204 cf. Υ 93
λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
οὐδ' ἔα' ἵεμεναι ἔπι Ἕκτορι πικρὰ βέλεμνα,
μή τις κῦδος ἄροιτο βαλών, ὃ δὲ δεύτερος ἔλθοι. 207ᵇ = Κ 368
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, 209 sq. = Θ 69 sq.
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
εἷλκε δὲ μέσσα λαβών· 'ρέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ. 212 cf. Θ 72
Πηλεΐωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
ἄγχι δέ ϝ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 215 = Δ 92
„νῦν δὴ νῶι ϝέϝολπα, Διὶ φίλε φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δῃώσαντε μάχης ἄατόν περ ἐόντα.
οὔ ϝοι νῦν ἔτι γ' ἔστι πεφυγμένον ἦμε γενέσθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθῃ ϝεκάϝεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυο, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.“
ὣς 'φάτ' Ἀθηναίη, ὃ δ' ἐπείθετο, 'χαῖρε δὲ θυμῷ, 224 = ω 545
'στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
ἣ δ' ἄρα τὸν μὲν ἔλειπε, 'κιχήσατο δ' Ἕκτορα δῖον,
Δηιφόβῳ ϝεϝικυῖα δέμας καὶ ἀτειρέα φωνήν· 227 cf. Ν 45
ἄγχι δέ ϝ' ἱσταμένη ϝέπεα πτερόεντα προσηύδα· 228 = Δ 92

213 *ᾤχετο δ' εἰς Ἀϝίδαο, 'λίπεν δέ ϝε Φοῖβος Ἀπόλλων.*

204 **ἐνῶρσε*] *ἐπῶρσε* mss., vid. ad Υ 93.
205 *λαοῖσιν*] *ἄλλοισιν* mss. multa. ‖ *καρήατι*] cf. § 82.
206 *ἔα'*] *εἴα* G. ‖ *ἵεμεναι*] *ἔμεναι* Eust. ‖ *ἔπι Ἕκτορι*] hiatus notabilis; *τιν' ἐφ' Ἕκτορι* coniecit Fick; an **ἵεμεναι δ' οὐκ εἴα' ἐφ' Ἕκτορι*?
209 sq.] vid. ad Θ 69 sq.
212 *εἷλκε*] *ἕλκε* mss. ‖ *μέσσα*] *ῥῦμα* (i. e. *ῥοπὴν τοῦ ζυγοῦ*) scribebat Chrysippus. ‖ *'ρέπε*] vid. ad Θ 72.
213] del. Duentzer, vs. 209-213 Fick.
215 **ἄγχι δέ ϝ'(οι)* § 318] *ἀγχοῦ δ'* mss.
216 *νῶι* Bentley] *νῶιν* Zen., *νῶΐ γ'* mss.
218 *ἄατον*] *ἄτον* mss. pleraque.
219 *ἦμε* § 92] *ἄμμε* vel *ἄμμι* mss.
220 *πάθῃ*] sic vel *πάθοι* mss., *κάμοι* l. a. apud Eust., *κάμῃ* probabiliter Naber coll. Θ 22.
221 *προπροκυλινδόμενος*] redit comp. ρ 525, ubi *πρόχνυ κυλινδόμενος* habet codex F, quod utrobique mavult Nauck. Vulgatam sequitur Dionysius de comp. verb. 47, cf. *προκυλίνδεται* Ξ 18. Hoc uno loco comp. genitivum adsciscit (= *cum precibus se advolvens pedibus patris*).
222 *ἄμπνυο* Cobet] *ἄμπνυε* mss.; vid. § 117. ‖ *δ'*] *τ'* mss. pauca.
225 *χαλκογλώχινος*] †, cf. Θ 297. Sagittarum hami alibi commemorantur, hastarum non item.
228 **ἄγχι δέ ϝ'(οι)* § 318] *ἀγχοῦ δ'* mss.

„ἠθεῖ᾽, ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς, 229a = Z 518
ϝάστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων· 230 cf. 173; 230b = Θ 339
ἀλλ᾽ ἄγε δὴ στάομεν καὶ ἀλεξώμεσθα μένοντες.“ 231 = Λ 348
τὴν δ᾽ αὖτε προσέϝειπε μέγας κόρυθ᾽ αἰόλος Ἕκτωρ· 232 = Z 440
„Δηίφοβ᾽, ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
γνωτῶν, οὓς Ϝεκάβη ἠδὲ Πρίαμος ᾽τέκε παῖδας·
νῦν δ᾽ ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσεσθαι,
ὃς ᾽τλῆς εἵνεκ᾽ ἐμεῖο, ἐπεὶ ᾽ϝίδες ὀφθαλμοῖσι,
τείχεος ἐξελθεῖν, ἄλλοι δ᾽ ἔντοσθε μένουσι.“
τὸν δ᾽ αὖτε προσέϝειπε θεὰ γλαυκῶπις Ἀθήνη·
„ἠθεῖ᾽, ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
᾽λίσσονθ᾽ ἑξείης γουνώμενοι, ἀμφὶ δ᾽ ἑταῖροι,
αὖθι μένειν, τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ᾽ ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
νῦν δ᾽ ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα ϝείδομεν ἤ κεν Ἀχιλλεὺς
νῶι κατακτείνας ἔναρα βροτόεντα φέρηται 245a cf. P 505
νῆας ἔπι γλαφυράς, ἤ κεν σῷ δουρὶ δαμήῃ.“ 245b cf. Θ 534
ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ᾽ Ἀθήνη.
οἳ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες, 248 = Γ 15
τὸν πρότερος προσέϝειπε μέγας κόρυθ᾽ αἰόλος Ἕκτωρ·
„οὔ σ᾽ ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος περ
τρὶς περὶ ϝάστυ μέγα Πριάμου ᾽δϝίον, οὐδέ ποτ᾽ ἔτλην 251b sq.a cf. Δ 534 sq.
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε
στήμεναι ἀντία σεῖο· ϝέλοιμί κεν ἤ κε ϝαλοίην.
ἀλλ᾽ ἄγε δεῦρο θεοὺς ἐπιβωσόμεθ᾽· οἳ γὰρ ἄριστοι

229 βιάζεται] -το L Lips. Cant.

231 στάομεν § 122] στέωμεν vel στέομεν mss.; vid. § 17 et ad Λ 348.

232 τὴν] τὸν D Z Vrat.

233 μέν μοι] μὲν ἐμοὶ Thiersch coll. Ξ 275 Ω 749, 763 ν 425 ξ 281.

234] del. PKnight. || ἠδὲ Πρίαμος] δίῳ Πριάμῳ vHerwerden.

235 δ᾽ ἔτι] δέ σε proponitur apud Nauckium. || τιμήσεσθαι Eust.] -σασθαι mss.; cf. Ω 561.

236 ὃς τλῆς εἵνεκ᾽ ἐμεῖο criticus apud Bekkerum] ὃς (ὡς B C H[1] Townl.) ἔτλης ἐμεῦ εἵνεκ᾽ mss.; cf. § 22. Correctionem commendat versus 253.

240 *γουνώμενοι § 144] -ούμενοι mss.

244 φειδωλὴ] †, alias φειδώ. || ἤ § 327] εἴ mss.

246 ἤ] εἴ C. || δαμήῃ Lips.] δαμείη(ι) mss. cett.; cf. § 122.

247 καὶ] *Ϝῇ? || κερδοσύνῃ] -νης A[2] et l. a. in schol.

250 ὡς] ὃς Nauck.

251 δίον] sic et δίες Ar.; utrumque insolitum, coniecimus *᾽δίε᾽ (i. e. ἐδίεο). Cf. § 199.

254 ἐπιβωσόμεθ᾽· οἳ H[2]] ἐπιδωσόμεθ᾽· οἳ H[1] Vrat., ἐπιδώμεθα· τοὶ mss. cett., quod non a verbo διδόναι sed ab ἰδεῖν in scholiis repetitur, collato Atticorum vocabulo antiquo

μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ᾽ ἔκπαγλον ἀϝεικίσω, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι· 257ª = Ψ 661
ἀλλ᾽ ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε᾽, Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν."
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ϝιδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„῞Εκτορ, μή μοι, ἀλαστὲ, συνημοσύνας ἀγόρευε.
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
οὐδὲ λύκοι καὶ ϝάρνες ὁμόφρονα θυμὸν ἔχουσι,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισι,
ὣς οὐκ ἔστ᾽ ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶιν
ὅρκια ἔσσονται, πρίν γ᾽ ἢ ἕτερόν γε πεσόντα 266ᵇ sq. = Ε 288 sq.
αἵματος ἆσαι ῎Αρηα ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ 268ᵇ sq. = Π 492 sq.
αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ᾽ ἔσθ᾽ ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχε᾽ ἐμῷ δαμάει· νῦν δ᾽ ἀθρόα πάντ᾽ ἀποτίσεις 271ᵇ cf. α 43
κήδε᾽ ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος. 273 = Γ 355
καὶ τὸ μὲν ἄντα ϝιδὼν ἠλεύατο φαίδιμος ῞Εκτωρ· 274 cf. Ν 184
ἕζετο γὰρ προϝιδὼν, τὸ δ᾽ ὑπέρπτατο χάλκεον ἔγχος, 275ᵇ = Ν 408
ἐν γαίῃ δ᾽ ἐπάγη· ἀνὰ δ᾽ ἥρπασε Παλλὰς Ἀθήνη,

ἰδυίους (sic enim in schol. B legendum pro δήους) = μάρτυρας, cf. Hesych. s. v., Eust. 1158,20, Aristoph. fr. 1 Dind. De syllaba -βωσ- pro -βοησ- cf. *K* 463 et § 192.

255 μάρτυροι] sic Ar.; vid. ad *B* 302. || ἁρμονιάων] hoc uno loco translate usurpatur (= συνημοσύναι vs. 261); redit vox sensu *iuncturae* ε 248, 361 (nomen proprium Ἁρμονίη h. Ap. 195).

256 ἀϝεικίσω § 147 et 210] ἀεικιῶ mss.

257 καμμονίην] vox redit Ψ 661; cf. Lehrs Arist.[2] p. 105.

261 ῞Εκτορ] ῞Εκτωρ Apoll. lex. || ἀλαστὲ] sic Doederlein, i. e. *vesane*; cf. *M* 163. Mss. ἄλαστε. || συνημοσύνας] † (= ἁρμονίαι vs. 255); cf. συνώμεθα *N* 381.

262 ἀνδράσιν] ἄρνασιν schol. Plat. Phaedr. 241*d*.

263 καὶ Heyne] τε καὶ mss. || ϝάρνες] ἄνδρες C[1] Barocc. Mor. et schol. Aristoph. Pac. 1076. || ὁμόφρονα] nonnisi h. Merc. 195, 391 h. Cer. 435 redit (ὁμοφροσύνη ζ 181 ο 198, ὁμοφρονέω ζ 183 ι 456).

265 φιλήμεναι] cf. § 195. || οὐδέ] οὔτε mss. multa.

266 ὅρκια ἔσσονται] hiatus vitiosus, cf. § 15; ὅρκιά γ᾽ D, ὅρκιον ἐσσεῖται Bentley coll. *Δ* 158; ὅρκι᾽ ἀρέσσονται Naber, at vid. *Δ* 362 *Θ* 402. Suspicamur ὅρκι᾽ ἔσοντ᾽ fuisse, deinde aliquid intercidisse, assensus autem nobis vHerwerden proposuit ὅρκι᾽ ἔσονται πιστὰ πρὶν ἤ. || γ᾽] om. Syr.[1] Eust.; vid. ad *E* 288.

267 ἆσαι] vid. ad *E* 289.

270 ἔτ᾽] om. B C G L Lips.

271 ἔγχε᾽ § 71] ἔγχει mss. || δαμάει § 191] δαμάᾳ mss. || δ᾽] om. Barocc. Paris., fortasse recte.

272 θύων] θυίων A Harl.

275 ὑπέρπτατο] § 216. || χάλκεον] l. a. μείλινον.

ἂψ δ' Ἀχιλῆ' ἐδίδου, 'λάθε δ' Ἕκτορα ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέϜειπεν ἀμύμονα Πηλεΐωνα·
„ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖσ' ἐπιϜείκελ' Ἀχιλλεῦ,
ἐκ Διὸς ἐϜϜείδησθα ἐμὸν μόρον, — ἦ τοι ἔφης γε, —
ἀλλά τις ἀρτιϜεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων, 281ᵇ cf. φ 397
ὄφρα σ' ὑποδϜείσας μένεος ἀλκῆς τε λάθωμαι. 282ᵇ cf. Z 265
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις, 283 cf. Θ 95
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεός. νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον· ὡς δή μιν σῷ ἐνὶ χροΐ πᾶν κομίσαιο.
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, 289 = Γ 355
καὶ 'βάλε Πηλεΐδαο μέσον σάκος οὐδ' ἀφάμαρτε·
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ. 'χώσατο δ' Ἕκτωρ, 291ᵇ sq. = Ξ 406 sq.
ὅττι ῥά Ϝοι βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρὸς,
'στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος.
Δηίφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀύσας·
ᾔτεέ μιν δόρυ μακρόν· ὃ δ' οὔ τί Ϝοι ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω Ϝῇσιν ἐνὶ φρεσὶ 'φώνησέν τε· 296 cf. Λ 333
„ὢ πόποι, ἦ μάλα δή με θεοὶ θανατόνδ' ἐκάλεσσαν· 297 cf. Π 693
Δηίφοβον γὰρ ἐγώ γ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὃ μὲν ἐν πύργῳ, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς οὐδ' ἔτ' ἄνευθε,
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν

277 *Ἀχιλῆ' ἐδίδου*] *-λῆι δίδου* mss.

280 *ἐϜϜείδησθα* (*εὐείδησθα*) Naber] *ἠείδεις* (*-δης*) *τὸν* mss.; de termino *-ησθα* vid. § 110, de molesto articulo β 97, 403 et ad Α 185 Μ 280, de prima syllaba § 27 (an fuit **ἐκ Διόθεν* vel *ἐκ Ζηνὸς 'Ϝείδησθα?*). || *ἔφης γε*] *ἔφησθα* Nauck.

281 *ἀρτιϜεπὴς*] †. Adi. significare debet *fallax*, vHerwerden autem negans in malam partem adhiberi potuisse substituit *ἀπτοεπής*. Nos coniecimus **ἀλλά τ' ἀναρτοϜεπής*, vid. ad Θ 209. Halbertsma *ἀλλ' ἄρ' ἁμαρτοϜεπὴς* coll. Ν 824.

282 *μένεος*] *μένεός τ'* Vrat. fortasse recte, cf. § 19. || *λάθωμαι*] *λαθοίμην* mss. nonnulla; vid. ad Α 158.

286 *μιν σῷ ἐνὶ*] *σῷ μιν ἐνὶ* aut *μιν τεῷ ἐν* (cf. π 438) expectaveris potius. || *ἐνὶ* Z Cant.] *ἐν* mss. cett. metro invito, cf. § 14.

287 *κεν*] l. a. *σφιν*. || *ἐλαφρότερος*] *ἐλαφρότατος* D.

293 *κατηφήσας*] vid. ad π 342.

294 *ἐκάλει*] . *ἐβόα* olim libri „*αἱ ἀπὸ τῶν πόλεων*". || *λευκάσπιδα*] †. De re cf. Λ 35.

295 *οὔ τί Ϝοι*] *οὐκέτι Ϝ'(οι)* Platt (cf. § 13).

299 **πύργῳ*] *τείχει* mss., cf. § 71; *τείχεσσ'* Roehl. De vocibus *τεῖχος* et *πύργος* confusis vid. Μ 333 (et Ζ 386?); sed dubitamus an verum sit *πόλιι*. || *Ἀθήνη*] vHerwerden coniecit *ἐξαπάτησ' ἄρα δαίμων*, quod nesciat Hector a quo sit deceptus.

301 *ἀλέη*] † (*ἀλέ(υ)ασθαι* passim). Non cohaeret *ἀλέη calor* ρ 23.

Ζηνί τε καὶ Διὸς υἷι Ϝεκηβόλῳ, οἵ με πάρος περ
πρόφρονες ἐρρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει. 303b cf. *P* 478
μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλεέως ἀπολοίμην, 304a = *Θ* 512
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.“ 305b = *B* 119
ὣς ἄρα φωνήσας ἐϜερύσσατο φάσγανον ὀξὺ, 306 = *χ* 79
τό Ϝοι ὑπὸ λαπάρην ’τέτατο μέγα τε στιβαρόν τε,
ᾤμησεν δὲ Ϝαλεὶς ὥς τ’ αἰετὸς ὑψιπετήεις, 308 = *ω* 538
ὅς τ’ εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων ἢ Ϝάρν’ ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ ᾤμησε τινάσσων φάσγανον ὀξύ.
ὡρμήθη δ’ Ἀχιλεύς, μένεος δ’ ἐμπλήσατο θυμὸν
ἀγρίοο, πρόσθεν δὲ σάκος στέρνοι’ ἐκάλυψε
καλὸν δαιδάλεον, κόρυθι δ’ ἐπένευε φαεινῇ
τετραφάλῳ· καλαὶ δὲ περισσείοντο Ϝέθειραι 315b cf. *T* 382
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμείας. 316 = *T* 383
οἷος δ’ ἀστὴρ εἶσι μετ’ ἀστράσι νυκτὸς ἀμολγῷ 317b = 28
Ϝέσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ,
ὣς αἰχμῆς ἀπέλαμπ’ ἐυήκεος, ἣν ἄρ’ Ἀχιλλεὺς
’πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰσοράων χρόα καλόν, ὅπῃ Ϝείξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα τεύχεα καλὰ

---

302 *υἷι*] *υἱεῖ* mss. nonnulla; vid. § 78 et ad *Π* 177. || *περ* C H] *γε* mss. cett.; vid. ad *N* 465.

303 *πρόφρονες*] *-νέως* D H, metro invito; fortasse igitur l. a. fuit *προφρονέως ῥύατο.* || *ἐρρύατο* § 164] *εἰρύατο* vel *-ται* mss.; hoc fortasse praeferendum.

304 *ἀκλεέως* § 73] *ἀκλειῶς.*

306 *ἐϜερύσσατο*] *εἰρύ(σ)σατο* mss.

308 *ᾤμησεν*] *οἴμησεν* mss.; cf. *Φ* 252. || *ὑψιπετήεις*] producta forma pro *-πέτης* (*M* 201 etc.) nonnisi vs. parall. redit; cf. § 69.

309 *διὰ*] *ἀπὸ* olim alii.

310 *ἁρπάξων*] *-ζων* mss. pleraque. || *ἀμαλὴν*] adi. nonnisi *υ* 14 redit.

311 *ᾤμησε*] *οἴμησε* mss.

313 *ἀγρίοο* § 59] *ἀγρίου* mss. || *στέρνοι’ ἐκάλυψε*] *-νοιο κ.* mss.; vid. § 59 et de verbi sensu ad *E* 315.

314 *ἐπένευε*] *-σε* C.

315 *τετραφάλῳ*] vid. ad *E* 743. || *καλαὶ*] l. a. *δειναί*; an **δϜεινὸν* (vid. *Γ* 337 *Z* 470)?

316] om. A D in textu, habent in margine; ab antiquissimo carmine, quod *τὴν ὁπλοποιίαν* ignorabat (vid. ad *Π* 134), est alienus.

317 sq.] suspectum vocabulum *ἀστήρ* ter adhibitum (vHerwerden confert *Ψ* 373 sqq., ubi quater legitur *ἵπποι*).

317 *νυκτὸς ἀμολγῷ*] cf. *Δ* 173.

319 *ἀπέλαμπ’*] insolite admodum omittitur subiectum (*σέλας* *T* 379); quadamtenus tamen conferri potest *ι* 143. || *ἐυήκεος*] †.

320 *κακὸν*] *κακὰ* Nauck coll. *H* 70 *K* 486 etc.; vulgata tamen servari posse videtur coll. *μέγα φρονέοντες* *Θ* 553 etc. et *Ϝῖσον φρονέουσα* *O* 50.

321 *εἰσοράων* § 191] *-ρόων* mss.

322 *δὲ καὶ ἄλλο τόσον*] verba obscura, quae non satis defenduntur versibus, quos contulit Ar., *Σ* 378 *Ψ* 454 (vid. ad *Δ* 130). Coniecimus **δ’ ἔκτοσθ’ ἄλλον*; de perturba-

χάλκε', ἃ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς· 323 cf. *P* 187
'φαίνετο δ', ᾗ κληῖδες ἀπ' ὤμων αὐχέν' ἔχουσι,
λαυκανίη, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
τῇ ῥ' ἐπὶ Ϝοὶ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς, 326ᵃ cf. *Θ* 327
ἄντικρυς δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή, 327 = *P* 49
οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη 'τάμε χαλκοβάρεια.
ἤριπε δ' ἐν κονίῃσ'· ὃ δ' ἐπηύξατο δῖος Ἀχιλλεύς· 330ᵃ cf. *E* 75 *Λ* 743
„Ἕκτορ, ἀτάρ ποθ' ἔφης Πατροκλέε' ἐξεναρίζων 330ᵇ = *Υ* 388
ζωὸς ἔσεσθ', ἐμὲ δ' οὔ τι ὀπίζεο νόσφιν ἐόντα,
νήπιε· τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθ' ἐλελείμμην,
ὅς τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
ἑλκήσουσ' αἰκῶς, τὸν δὲ κτερίσουσιν Ἀχαιοί.“ 336ᵇ cf. *Λ* 455
τὸν δ' ὀλιγοδρανέων προσέφη κόρυθ' αἰόλος Ἕκτωρ· 337 = *O* 246
„λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή μ' ἐάειν παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν·

329 ὄφρα τί μιν προτιϜείποι ἀμειβόμενος Ϝεπέεσσι.
329 Ar. —

tis litteris δεκΕΛΛΛΟΤΟΣΘν vid. ad *I* 664 et de adverbio ἔκτοσθε *K* 334. Halbertsma τοῦ τὸ μὲν ἄλλο τόσον κάτεχε coll. *Ψ* 454 *Γ* 419 τ 361 (*E* 473 *Ω* 730). Glossographi absurde τόσον locis laudatis interpretabantur τὸ σῶμα.

322 sq. *τεύχεα καλὰ | χάλκε', ἃ] χάλκεα τεύχη | καλά, τὰ mss. (τεύχεα Vrat.); vid. § 71. Verborum ordo quem dedimus etiam sententia commendari videtur.

323] del. Naber. Vid. ad *Π* 134.

324 'φαίνετο] φαῖνεν l. a. in Ar. commentariis reperta, ut sensus sit: *arma non tegebant guttur sed oculis* (et telis) *expositum relinquebant.*

325] cf. *Θ* 326. || λαυκανίη Nauck] -ην Ar., sic aut -ης mss.; -ῃ (locativum) mavult Christ. Vox λαυκανίη nonnisi *Ω* 642 redit. || ἵνα — ὄλεθρος] vertit Verg. Aen. XII 507: *qua fata celerrima.*

326 ἔγχεϊ] Ἕκτορα D.

327 ἄντικρυς § 31] ἀντικρὺ mss.

328 ἀπ' ἀσφάραγον] l. a. ἀπὸ σφάραγον. || ἀσφάραγον] †.

329] insulsum additamentum damnavit Ar., etiam versum 328 del. Duentzer.

330 ἐπηύξατο] -χετο A².

331 ἀτάρ] ἄφαρ schol. V. || ποθ' § 322] που mss. || Πατροκλέε' § 73] -κλῆ' mss.

332 *ζωὸς ἔσεσθ', item Fick] σῶς ἔ(σ)σεσθ' mss.; ζὼς ἔσσεσθ' Nauck minus recte, vid. ad *E* 887; σάος ἔσεσθ' PKnight (cf. § 22), σῶος ἔσεσθ' Ahrens (quae forma fide caret). Cf. § 62. || *οὔ τι § 100] οὐδὲν mss.

335 sq.] delet Fick.

335 ὅς] ὥς Syr.

336 ἑλκήσουσ' αἰκῶς] Antimachum ἑλκήσουσι κακῶς dedisse „ἐπὶ τὸ γνωριμώτερον" refert Didymus. Vitiose haec tradita esse, de *Aristarcho* enim loqui Didymum, hunc autem ἑλκήσουσι αἰκῶς scripsisse ἐκ πλήρους, statuit Lehrs, cf. Ludwich Arist. I p. 477. Quicquid id est, αἰκῶς pro ἀϜεικέως non est Homericum. IMenrad ἀϜικὲς, sed -Ϝῐ- pro -Ϝει- fide caret. Nobis κακῶς minime spernendum videtur. || ἑλκήσουσ'] ἑλκύσουσ' mss. multa. || τὸν] *Patroclum.* || κτερίσουσιν § 147 et 210] -ιοῦσιν mss.

339 μ' ἐάειν (ἐάαν) Nauck] με ἔα mss. hiatu non ferendo. Bentley μή μ' ἐάα (-ε), sed ultima syllaba formae ἔαε sic produci nequit (cf. § 19).

ἀλλὰ σὺ μὲν χαλκόν τε ϝάλις χρυσόν τε δέδεξο,
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ ϝοίκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με 342 sq.=H 79 sq.
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα."
τὸν δ' ἄρ' ὑπόδρα ϝιδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων.
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα' ἔδμεναι, οἷα ϝέϝοργας.
ὣς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκῃ,
οὐδ' εἴ κεν δεκάκις καὶ ἐϝεικοσινήριτ' ἄποινα 349 cf. I 379
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ϝερύσασθαι ἀνώγῃ
Δαρδανίδης Πρίαμος· οὐδ' ὧς σέ γε πότνια μήτηρ 352[b] sq. cf. Φ 123 sq.
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν 'τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται."
τὸν δὲ καταθνήσκων προσέφη κόρυθ' αἰόλος Ἕκτωρ·
„ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πεισέμεν'· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός. 357 cf. ψ 172
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι 358 cf. λ 73
ἤματι τῷ ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων 359 sq. cf. T 416[b]
ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσι." 359[a] cf. Θ 475 sq. sqq.
ὣς ἄρα μιν ϝειπόντα τέλος θανάτοι' ἐκάλυψε· 361-364[a]=Π 855

340 χαλκόν ... χρυσόν] χρυσόν ... χαλκόν Syr.
344 ἄρ' ὑπόδρα ϝιδὼν] l. a. ἀπαμειβόμενος.
345 κύον] κύων mss. nonnulla.
346 πως] τὼς (τῶς) Hoffmann Cauer coll. Γ 415 Θ 538 sqq. N 825 sqq.
347] cf. Δ 35. || ἀποταμνόμενον] ἀποτεμν. mss. nonnulla. || κρέα'] κρέα mss., cf. Δ 345. || οἷα] ὅσσα H Vrat. || ϝέϝοργας Bentley] μ' ἔοργας mss.; cf. Φ 399.
348 ὣς] ὡς Ar. et mss. nonnulla; cf. I 444. Lange ἔοργας, | ὡς in fine versus 348 enunciatum claudens, coll. Θ 541 N 828 ι 525 etc. || *ἀπαλάλκῃ] -κοι mss.; cf. Φ 103 π 437 sq.
349 δεκάκις] adv. nonnisi l. parall. redit. || καὶ (ἐ)ϝεικ. Heyne] τε καὶ εἰκ. mss. || ἐϝεικοσινήριτ'] †; „una voce εἰκοσινήριτ'" schol., alii igitur olim εἴκοσι νήριτ'. Obscurum utrumque, requiritur enim ἐϝεικοσάκις, quod legitur in versu simillimo I 379; quapropter vHerwerden tentavit ἐϝεικοσάκις τόσ'. Nauck vero δεκάκις mutabat in δέκα μοι. Adi. νήριτος ὕλη (= ἀνάριθμος) legitur Hes. Op. 511, cf. montis nomen Νήριτον B 632 etc.
350 στήσωσ'] Nauck τίσωσ'; cf. N 745.
351 σ' αὐτὸν] σ' αὐτῷ D. || ϝερύσασθαι] hoc uno loco = ζυγοστατῆσαι sive ἰσοστάθμῳ χρυσῷ ἀναλαβεῖν; cf. Theogn. 77 et fortasse Plat. Phaedr. p. 235*d*. Achillem hyperbolice loqui, in Aeschyli vero tragoedia *Phrygibus* corpus Hectoris revera auri aequipondio esse redemptum, annotavit Ar. || ἀνώγῃ L Lips. Paris. (Vrat.)] -γοι mss. cett.
357 πεισέμεν' § 125] πείσειν mss. || ἐν φρεσὶ] ἔνδοθι Z Eust. (ut Α 243 X 242 β 315 θ 577 τ 377).
358 μήνιμα] vox nonnisi l. parall. redit.
360 ἐνὶ] ἐπὶ schol. Pind. Nem. VII 58 fortasse recte.
361 θανάτοι' ἐκάλυψε] -τοιο κ. mss ; cf. § 59.

ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϝιδόσδ' ἐβεβήκει,
ϝὸν πότμον γοάουσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
„τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ — 365 cf. Σ 115
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.“ — 366 = Σ 116
ἦ ῥα, καὶ ἐκ νεκροῖο 'ϝερύσσατο χάλκεον ἔγχος, — 367 cf. Φ 200
καὶ τό γ' ἄνευθεν ἔθηχ', ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα — 368ᵇ = Ο 524
αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ ἐθηήσαντο φυὴν καὶ ϝεῖδος ἀγητὸν — 370ᵇ cf. Ω 376 ξ 177
Ἕκτορος· οὐδ' ἄρα ϝοί τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις 'ϝείπεσκε ϝιδὼν εἰς πλησίον ἄλλον· — 372 = Β 271
„ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάεσθαι
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ.“ — 374 cf. Θ 235
ὣς ἄρα τις 'ϝείπεσκε καὶ οὐτάσσασκε παραστάς.
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ϝέπεα πτερόεντ' ἀγόρευε· — 377 cf. Ψ 535
„ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, — 378 = Β 79
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι, — 380ᵃ cf. Ι 540
εἶ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν, — 381ᵇ cf. Ε 220
ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουσι,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; — 385 = Λ 407

---

362 *πταμένη*] cf. § 216.

363] om. D. || *γοάουσα* § 191] *γοόωσα* mss. || *ἀνδροτῆτα*] vid. ad *Π* 857.

364 *τεθνηῶτα* § 160] *-ειῶτα* mss. complura. || *προσηύδα*] *-δαε*? vid. § 191.

365-367] cf. Verg. Aen. X 743 sq.

368 *ἔθηχ', ὃ δ' ἀπ'*] *ἔθηκ'* (sic Syr.) *ἀπὸ δ'* MSchmidt; de *ὃ δ'* vid. ad *Α* 191.

369] cf. Herodot. IX 25.

370 *ἐθηήσαντο* schol. *Ο* 265] *θηήσαντο* mss.

371] cf. *Ω* 420 sq. || *Ἕκτορος*] *-ρα* GHermann (vid. *Ε* 787). || *ἀνουτητί*] †, cf. *Δ* 540. Scribendumne **ἀνουταστί* (cf. § 150)?

373 *ἀμφαφάεσθαι* § 191] *-φάασθαι* mss.

374 *ἐνέπρησεν*] *-θεν* mss. multa. || *κηλέῳ*] vid. § 8.

375 **οὐτάσσασκε*] *οὐτήσασκε* mss.; cf. § 150.

378] *Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν* (= *Ψ* 236) Zen., *ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος* B C.

379 *ἐπεί*] vid. § 22.

380 *ἔρρεξεν*] *ἔρδεσκεν* (neglecto Ϝ) mss. pleraque; cf. *Ι* 540 *Κ* 49.

381 *εἶ'* § 328] *εἰ δ'* mss. || *πειρηθῶμεν*] novicium pro *-θήομεν* hic et *θ* 100, vid. § 122; *πειρήσωμεν* (cf. l. a. *θ* 100 et *Ι* 345 *Μ* 301 etc.)? cui tamen coniecturae non favent *Ε* 220 *Λ* 386, similis autem contractio cernitur vs. 382. Coll. *φ* 180 (ubi vid. Eust.) *πειρώμεσθα* coniecerit quispiam.

382] *γνῶμεν* pro *γνώομεν* (cf. *π* 304) novicium, *κε* autem male abundat et molesta est vocula *τι*.

κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος 386[b] cf. λ 54[a], 72[a]
Πατρόκλου· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρα κ' ἐγώ γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ. 388[b] = Ι 610
εἰ δὲ θανόντων περ καταλήθοντ' ἐν Ἀϝίδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν, 391 cf. Α 473
νηυσὶν ἐπὶ γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠρόμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ϝάστυ θεῷ ὣς ηὐχετάοντο." 394[b] cf. θ 467 ο 181
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀϝεικέα 'μήδετο ϝέργα. 395 = Ψ 24; 395[b] cf. λ 429
ἀμφοτέρων μετόπισθε ποδῶν 'τέτρηνε τένοντε
εἰς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασε·
εἰς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας, 399[a] = Π 657
'μάστιξέν ῥ' ἐλάειν, τὼ δ' οὐκ ἀϝέκοντ' ἐπετέσθην. 400 cf. Ε 366
τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται
κυάνεαι 'πίτναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
'κεῖτο πάρος χαρίεν, τότε δὲ Ζεὺς δυσμενέεσσι
'δῶκεν ἀϝεικίσσασθαι ἑϝῇ ἐν πατρίδι γαίῃ.

ὣς τοῦ μὲν 'κεκόνιτο κάρη ἅπαν. ἡ δέ νυ μήτηρ
'τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην

393 sq. Ar. —

386 ἄκλαυτος] -στος mss. nonnulla; vid. ad β 175.

387 *Πατρόκλου] -κλος mss.; vid. ad Σ 152. || ὄφρα κ' § 326] ὄφρ' ἂν mss.

388] ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω B C Vrat. et olim alii (Zen.?); cf. Ψ 47 κ 52 ξ 487.

389 καταλήθοντ'] comp. †. || ἐν § 315] εἰν mss.

390 καὶ κεῖθι] κἀκεῖθι mss. pauca, vid. § 9 et ad Γ 402.

391 ἀείδοντες παιήονα] cf. Verg. Aen. X 738. || παιήονα] vid. ad Α 473.

393] vid. ad vs. 404. || ἠρόμεθα § 284] ἠ(ι)ράμεθα mss.

394] cf. Λ 761. || ηὐχετάοντο § 191] εὐχετόωντο mss.

395 'μήδετο] μήσατο D.

396-404] Aristotelis subactum de hoc loco iudicium in notis ad Ω 15 attulimus.

396 τένοντε] -ντας mss. pauca.

397 πτέρνης] †. || βοέους] cf. § 61. — Non *loris* sed ζωστῆρι, quem ab Aiace dono acceperat (Η 305), ligatum Hectorem finxit Soph. Ai. 1029 sqq.

400 ῥ'] δ' mss. complura, ut legitur l. parall. || ἐλάειν § 191] ἐλάαν mss. || ἀϝέκοντ'] ἄκοντε mss. pleraque.

401 ἦν] ἔεν? vid. § 302.

402 κυάνεαι] vid. ad Α 528. || πίτναντο Ar.] πίλναντο (cf. Τ 93 Ψ 368) vel πίμπλαντο mss. pleraque; Valckenaer coniecit χαίτας | κυανέας (-τη -νέη mavult Nauck) πεπάλακτο.

403 δυσμενέεσσι] l. a. τερπικέραυνος.

404] hic (fortasse vs. 393, ut opinatur Naber) finem habuit vetus Ilias. || ἀϝεικίσσασθαι] *-σσαι μιν? cf. Π 559.

τηλόσ', ἐκώκυσεν δὲ μάλα μέγα παῖδα ϝιδοῦσα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ϝάστυ.
τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ϝίλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλάοντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δ' ἐλλιτάνευε κυλινδόμενος κατὰ κόπρον, 414ᵇ = Ω 640
ἐξ ὀνομακλήδην ὀνομάζων ἄνδρα ϝέκαστον· 415ᵇ = Κ 68
„σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε κηδόμενοί περ 416 cf. β 70
ἐξελθόντα πόληος ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν,
λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοϝεργόν,
αἴ κέ ποθ' ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσῃ
γῆρας· καὶ δέ νυ τῷ γε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε.
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ, 424 sq.ᵃ = δ 104 sq.
ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϝιδος εἴσω,
Ἕκτορος. ὡς ὄφελεν θανέμεν ἐν χερσὶν ἐμῇσι·
τῷ κ' ἐκορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός." 428 cf. 485 Ω 727
ὣς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο πολῖται. 429 cf. Τ 301, 338

407 *παῖδα ϝιδοῦσα*] Bentley *παῖδ' οἐσιδοῦσα* mss.; cf. v. l. *ϑ* 526.

409 *κωκυτῷ*] vox nonnisi vs. 447 redit (n. pr. *Κώκυτος* *κ* 514, *κωκύειν* saepius).

410 *ἔην*] *ἔεν*? vid. § 302. || *εἰ*] *ἶ* quidam legentes interpretabantur *αὐτή*, ab Herodiano iure explosi coll. *κ* 419; vid. § 92, Apoll. Pron. 70*b* Bekk., Soph. fr. 418. Particula *εἰ* etiam *Z* 367 *λ* 317 corripitur.

411 *ὀφρυόεσσα*] †; appellativum *ὀφρύς* nonnisi *Υ* 151 translate usurpatur. || *σμύχοιτο*] sic Ar., *σμήχοιτο* mss. pauca. Cf. *I* 653. || *κατ' ἄκρης*] cf. § 82.

412 *μόγις*] *μόλις* mss. pleraque; cf. *I* 355 *Φ* 417. || *ἀσχαλάοντα* § 191] *-λόωντα* mss.

413 *Δαρδανιάων*] cf. *E* 789.

414] de luctus hoc signo cf. *Ω* 164 sq. Herod. II 85 Verg. Aen. X 844 XII 611 et in poesi Hebraica e. g. Hiob. II 8 Mich. I 10.

415 *ἐξ ὀνομακλήδην* LMeyer coll. *δ* 278] mss. una voce, item *μ* 250.

416 *σχέσθε*] *cessandi, abstinendi* sensu *ἔχεσθαι* legitur etiam *Γ* 84 *Φ* 379 *δ* 422 etc. || *κηδόμενοι* Ar.] *-νον* mss. multa; vid. *Σ* 273 et v. l. *π* 147 *σ* 178.

418 *λίσσωμ'*] *λίσσομαι* mss. nonnulla; de subiunctivo vid. vs. 130, 450 et § 108.

419 **αἴ κέ ποθ'*] *ἤν πως* mss., *εἴ πως* Brandreth; cf. § 326.

420 *τῷ γε*] *τῷδε* mss. multa; cf. *T* 33.

422 *ἄλγε' ἔθηκε*] *ἄλγεα θῆκε* B C Townl.

425 *ὡς*] post *τόσσον* collocatum est etiam *δ* 105 *φ* 403. || *κατοίσεται*] comp. †.

426 *θανέμεν* § 126] *θανέειν* mss.; Christ *ὤφελλε* (*ὤφειλε* § 273) *θανεῖν*.

428 *θ'*] om. D.

429 *πολῖται*] *γυναῖκες* D (male), *γέροντες* l. a. in schol.

Τρωάσι δ' αὖ Fεκάβη ἀδινοῖ' ἐξῆρχε γόοιο· 430 cf. Σ 316 Ω 747
„τέκνον, ἐγὼ δFειλή· τί νυ βίομαι, αἰνὰ τεκοῦσα,
σεῖ' ἄπο τεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ 432ᵇ = E 490
εὐχωλὴ κατὰ Fάστυ 'πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωίῃσι κατὰ πτόλιν, οἵ σε θεὸν ὣς
'δεδFέχατ'· ἦ γάρ καί σφι μάλα μέγα κῦδος ἔησθα
ζωὸς ἐών· νῦν σ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.“ 436 cf. P 478
ὣς ἔφατο κλαίουσ'. ἄλοχος δ' οὔ πώ τι 'πέπυστο 437ᵃ = T 301
Ἕκτορος. οὐ γάρ Fοί τις ἐτήτυμος ἄγγελος ἐλθὼν 438ᵇ cf. h. Cer. 46
ἤγγειλ' ὅττι ῥά Fοι πόσις ἔκτοθι 'μίμνε πυλάων,
ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε. 441 cf. Γ 126
'κέκλετο δ' ἀμφιπόλοισιν ἐυπλοκάμοισ' ἀνὰ δῶμα
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο 443 cf. Σ 344
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἓκ νοστήσαντι, — 444ᵇ = P 207
νηπίη· οὐδ' ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν 445ᵃ cf. Y 264
χερσὶν Ἀχιλλῆος 'δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
τῆς δ' ἐFελίχθη γυῖα, χαμαὶ δέ Fοι ἔκπεσε κερκίς.

---

430 *Τρωάσι δ' αὖ* vHerwerden] *Τρωῇσιν δ'* mss.; fortasse sufficit verborum transpositio *ἀδινοῦ Fεκάβη*, sed minus placent verba ita ordinata. Formam *Τρωάσι* pro *Τρωιάσι* satis tuentur Z 442 Ω 704 etc., vid. praeterea Ω 747. || *ἀδινοῖ'* § 59] *-νοῦ* mss.; de scholii verbis *Ἀρίσταρχος ἀθρόου* vid. Ludwich Arist. I p. 479 („Ar. adiectivum obsoletum interpretatus est *densum*").

431 *βίομαι*] *βείομαι* Ar. et mss. pleraque. || *τεκοῦσα* Ar. coll. Σ 54] *παθοῦσα* mss. Cf. A 414.

432 *σεῖ'* § 92] *σεῦ* mss. || **ἄπο τεθνηῶτος*] *ἀποτεθνηῶτος* vel *-ειῶτος* (cf. § 160) mss.; recentioris aevi esse comp. *ἀποθνήσκειν* (vid. λ 424 μ 393 φ 33) observarunt PKnight Cobet (*κατατεθν.* proponens) Nauck (*σεῖό γε τεθνηῶτος* conicieus). Nos *ἄπο* separatim scripsimus, *procul a* (i. e. *orbata*) *te mortuo*; cf. B 292 Δ 242 α 49 etc.

433 *εὐχωλὴ*] cf. B 160. || *'πελέσκεο*] *-κετο* C.

434 *Τρωίῃσι*] vid. § 17.

435 *'δεδFέχατ'* § 134] *δειδέχατ'* mss. || *καί*] *κέ* mss. multa male; vid. Y 165 etc. || *ἔησθα*] *ἔεσθα*? vid. § 302.

436 **σ' αὖ*] *δ' αὖ* mss. nonnulla, *αὖ* cett. Cf. P 478, 672.

438 *Ἕκτορος*] iungendum videtur cum verbo *'πέπυστο*; vid. θ 12. || *Fοί — ἐλθὼν*] *πως ἐτήτυμον ἄγγελον ἐλθὼν* (*ἦλθεν*[1]) D.

441 *δίπλακα*] vid. ad Γ 126. || *πορφυρέην*] *μαρμαρέην* G H et l. a. in schol.; vid. ad Γ 126. || *ἐν ... ἔπασσε*] cf. Γ 126. || *θρόνα*] †, *θρόα* mss. nonnulla. Vocem obsoletam *flores* vel *herbas* interpretantur, quo sensu Alexandrini Homeri imitatores saepius vocem usurparunt (Theocrit. II 89 Lycophr. 674 etc., item Nonn. XXXVII 418); sunt autem qui huc referant Veneris epitheton *ποικιλόθρονος* (Sapph. fr. 1, 1). *Geometrica* ornamenta intellegit Helbig Hom. Epos[1] p. 150 et 283 sq.

442 *ἐυπλοκάμοισ' ἀνὰ* Nauck] *-οις κατὰ* mss.; cf. § 60.

447 *κωκυτοῦ*] cf. vs. 409.

448 *ἐFελίχθη*] *ἐλελίχθη* mss.; vid. § 41[24] et ad A 530. Bentley *δὲ λελύατο* coll. N 85, at ῡ vitiosum; vHerwerden *ἐτινάχθη*. || *χαμαὶ — κερκίς*] imitatur Verg. Aen. IX 476. || *κερκίς*] nonnisi ε 62 redit.

ἡ δ' αὖτις δμῳῇσιν ἐυπλοκάμοισι μετηύδα·
„δεῦτε, δύω μοι ἕπεσθε, Ϝίδω τίνα Ϝέργα τέτυκται.
αἰδοίης Ϝεκυρῆς Ϝοπὸς ἔκλυον, ἐν δ' ἐμοὶ αὐτῇ
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσι.
αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμοῦ Ϝέπος· ἀλλὰ μάλ' αἰνῶς 454 cf. Σ 272 [sq.
δέδϜια μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς 454[b] sq.[a] = K 38
μοῦνον ἀποτμήξας πόλιος πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ 'μένεν ἀνδρῶν, 458[b] = λ 514[a]
ἀλλὰ πολὺ προθέεσκεν, ἑϜὸν μένος οὔ τινι Ϝείκων." 459 = λ 515
ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι Ϝίσῃ,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι 'κίον αὐτῇ. 461[b] cf. Z 399
αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
ἔστη παπτήνασ' 'ἐπὶ τείχεϊ, τὸν δ' ἐνόησε
ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵπποι
εἷλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν. 465[a] cf. Ω 417
τὴν δὲ κατ' ὀφθαλμὼ ἐρεβεννὴ νὺξ ἐκάλυψε, 466 cf. E 659
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε,
τῆλε δ' ἀπὸ κρατὸς 'βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην
κρήδεμνόν θ', ὅ ῥά Ϝοι 'δῶκε χρυσέη Ἀφροδίτη

450 ἔπεσθε Bentley] -σθον mss. || Ϝίδω τίνα Hoffmann] ἴδωμ' ὅτι(ν)' mss. Subiunctivus ab imperativo suspenditur etiam Ψ 71 γ 18; cf. X 130.

451 δ' ἐμοὶ] δέ μοι mss. pleraque.

452 γοῦνα] γυῖα Duentzer (cf. K 95).

454 *ἐμοῦ] ἐμεῦ mss.; vid. § 92. IMenrad ἐμοὶ, fortasse recte, vid. Σ 272.

455 δέδϜια § 168] δείδω mss.

457 ἀλεγεινῆς] schol. interpretantur *quae mihi luctuosa est*, cf. Z 407 M 46 Π 753; an fuit *ἐρατεινῆς? vid. Z 156.

458 sq.] del. Nauck.

458 πληθυῖ] cf. § 75; πληθεῖ mss. pauca male (vid. § 71).

459 προθέεσκεν ἑὸν PKnight] -σκε τεὸν D H, -σκε τὸ ὃν mss. cett.; vid. ad Θ 430. || *οὔ τινι] οὐδένι mss.; cf. § 100.

460 μαινάδι Ϝίσῃ] cf. μαινομένῃ ϜεϜικυῖα Z 389. Vox μαινάς nonnisi h. Cer. 387 redit.

461 ἀμφίπολοι] -λω Christ (vid. Γ 143 etc.).

465 εἷλκον] ἕλκον mss. (vid. ad P 395).

466 *ὀφθαλμὼ] -μῶν mss.; cf. E 659.

467 ἐκάπυσσε] vid. E 698.

468 sqq.] secundum Ar. melius procederet narratio si Andromache capitis ornatum tum demum abiceret postquam ad se rediit (post vs. 476[a]); vHerwerden vero statuit vs. 468-474 narrari quae acciderint priusquam retro collapsa sit Andromache.

469 sq.] de ornatu muliebri, qui h. l. describitur, vid. Helbig Hom. Epos[1] p. 157 sqq.

469 ἄμπυκα] † (χρύσαμπυξ equorum epitheton E 358 etc., Horarum h. V 5, 12, Musarum Hes. Theog. 916). || κεκρύφαλον] †. || ἀναδέσμην] †.

470 θ'] τε Ar. „ἐκ πλήρους", veterem scribendi rationem secutus (vid. § 13); sic D. || χρυσέη § 18 et 61] χρυσῆ mss.

ἤματι τῷ, ὅτε μιν κόρυϑ' αἰόλος ἠγάγεϑ' Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ 'πόρε μυρία Ϝέδνα. — 472ᵇ = Π 190
ἀμφὶ δέ μιν γάλοοί τε καὶ εἰνατέρες Ϝάλις ἔσταν, — 473 cf. Ζ 378
αἵ Ϝε μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσϑαι.
ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο καὶ εἰς φρένα ϑυμὸς ἀγέρϑη, — 475 cf. ε 458 ω 349
ἀμβλήδην γοάουσα μετὰ Τρωίῃσιν ἔϜειπε·
„Ἕκτορ, ἐγὼ δύστηνος· ἰῇ ἄρα 'γιγνόμεϑ' αἴσῃ
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ — 479 cf. Ζ 396
ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτϑὸν ἐοῦσαν, — 480ᵇ cf. Θ 283
δύσμορος αἰνόμορον· ὡς μή μ' ὤφειλε τεκέσϑαι.
νῦν δὲ σὺ μὲν ἈϜίδαο δόμους ὑπὸ κεύϑεσι γαίης — 482 cf. ω 204
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένϑεϊ λείπεις — 483ᵇ-485 cf. Ω 725 sqq.
χήρην ἐν μεγάροισι. πάις δ' ἔτι νήπιος αὔτως,
ὃν 'τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ — 485 cf. 428
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ 'ϑάνες, οὔτε σοὶ οὗτος,

αἲ γάρ κεν πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω — 488ᵇ cf. Δ 270 Φ 525
ἔσσοντ'· ἄλλοι γάρ Ϝοι ἀποϜρήσουσιν ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίϑησι·
πάντα δ' ὑπεμνήμυκε, δεδακρύαται δὲ παρειαί. — 491ᵇ = υ 353
δευόμενος δέ τ' ἄνεισι πάις εἰς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης Ϝερύων, ἄλλον δὲ χιτῶνος·
487—499 Ar. —

472 *Ϝέδνα*] vid. ad Π 178.

473 *γάλοοι ... εἰνατέρες*] vid. ad Ζ 378. || *γάλοοι*] *γαλόῳ* mss.; vid. § 62. || *ἔσταν*] l. a. *ἦσαν*.

475 *ἄμπνυτο*] *ἔμπνυτο* Ar.; cf. Ε 697.

476 *ἀμβλήδην*] †, cf. *ἀμβολάδην* Φ 364 et *ἀνενείκατο* Τ 314. || *γοάουσα* § 191] *γοόωσα* mss. || *Τρωίῃσιν*] *δμωῇσιν* mss. nonnulla. Cf. § 17.

477 *ἰῇ*] sic Ar. (vid. Herodian. ad Ζ 422).

478 *κατὰ δῶμα*] sic Ar., alii olim *ἐνὶ οἴκῳ*.

481 *αἰνόμορον*] sic Ar., alii olim *-ος* (praeterea igitur *δύσμορον*? sic Harl. Mosc.). || **μ*] supplevimus pronomen, quod post *μή* (*ΜΕ*) intercidit. || *ὤφειλε* pap. Paris.] *ὤφε(λ)λε* mss. cett.

482 *μὲν*] *μέν ῥ'* mss. multa; cf. § 19.

487 **αἲ γάρ κεν*] *ἤν γὰρ δὴ* A H, *ἤν περ γὰρ* mss. cett.; Brandreth *εἴ περ γάρ*. Cf. § 326.

488 *αἰεί τοι*] l. a. *ἀλλ' ἤτοι*.

489 *ἀποϜρήσουσιν* § 150] *ἀπουρήσουσιν* vel *-ρί(σ)σουσιν* mss., quae varietas debetur errori quorundam ab *οὐρίζειν* formam deducentium (sic Apoll. Rh., vid. II 794 sq.), vid. schol. — Futurum †.

490 *παναφήλικα*] †, *sodalibus destitutum*.

491 *ὑπεμνήμυκε*] sic Ar.; perfectum †, quod ab *ἠμύειν* (Β 148 etc.) derivari non potest; *ὑπομνήμυκε* mss. pauca, unde *ὑπ' ὄμμ' ἤμυκε* coniecit vLennep ad Coluth. 331 (*ὑπημύουσι παρειαί*), Christ *ὄμματ' ὑπημήμυκε* (?, quam formam veteres grammatici flagitabant). || **δεδακρύαται*] *-υνται* mss., item υ 204, 353; cf. § 119. || *παρειαί*] *-ά* mss. nonnulla cum Ar., qui pro neutro habebat collatis *πλευρά* — *πλευραί* et *πυρά* — *πυραί*, fortasse recte; vid. ad Γ 35 Ω 794.

492 *ἄνεισι*] *ἄπεισι* Axt, *redeundi* verbum hinc alienum ratus coll. vs. 499.

ϜαστυϜάναξ, ὃς πρὶν μὲν ἑϜοῖ' ἐπὶ γούνασι πατρὸς
μυελὸν οἶον ἔδεσκ' ὀίων καὶ πίονα δημόν·
αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
ηὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·
νῦν δέ κε πολλὰ πάθῃσι, φίλοι' ἀπὸ πατρὸς ἁμαρτών,
ϜαστυϜάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσι· 506 sq. cf. Z 402 [sq.
οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά. 506^b = Σ 487
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν· ἀτάρ τοι Ϝείματ' ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν. 511^a = κ 223 cf. ε 231
ἀλλ' ἦ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὔ τι τεΐν γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτός,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωιάδων κλέος εἶναι." 514 cf. Ω 215
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἐστενάχοντο γυναῖκες. 515 = T 301

---

494 τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,
495 χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐχ ἐδίηνε·
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
‚Ϝέρρ' οὕτως· οὐ σός γε πατὴρ μετὰ δαίνυται ἧμιν.'
δακρυόεις δέ τ' ἄνεισι πάις εἰς μητέρα χήρην,

---

494 κοτύλην] vid. ο 312. || τις τυτθὸν] τυτθόν τις Nauck.
495 ὑπερῴην] †.
496 ἀμφιθαλὴς] †, cf. Ar. Av. 1737 Plat. Leg. 927 *d*. || δαιτύος] †.
497 ἐνίσσων] -σπων D² Z Cant. Vrat. noto errore (cf. § 243 et 246).
498 οὕτως] οὗτος C D H; cf. ζ 218 ρ 447.
499 εἰς] πρὸς Vrat.
500-507] cum praecedentibus (vs. 487 sqq.) del. Niese, vs. 500-505 Lehrs damnaverat. Vix tamen uni eidemque manui tribui possunt versus 500 et praecedens male inter se cohaerentes.
500 ἑϜοῖ' § 59] ἑοῦ mss. || γούνασι] γούνατα A² H Vrat.
501 ἔδεσκ' ὀίων καὶ Roehl] ἔδεσκε καὶ οἰῶν mss.; cf. § 74.
502 νηπιαχεύων] † (νηπίαχος B 338 etc.).
505 δέ κε § 326] δ' ἂν mss. || φίλοι' § 59] φίλου mss.
506 sq.] del. DHeynsius, vs. 506 Bentley.
507 πύλας] πόλιν Plat. Cratyl. 392 *e*, fortasse recte.
510 κέονται] vid. § 169.
512 καταφλέξω] comp. †; vid. tamen l. a. I 653. || κηλέῳ] vid. § 8.
513 *οὔ τι τεΐν] οὐδέν σοί mss.; cf. § 92 et 100. || ἐγκείσεαι] comp. †. || αὐτὸς IMHoogvliet] αὐτοῖς mss.; cf. § 60 et 98. Nauck ἐπιέσσεαι αὖτις,' at hoc a sententia alienum, in qua inter se opponuntur οὔ τι ... et ἀλλὰ ...: *inutile quidem donum tibi erunt vestes in rogo inani combustae, at tamen honorificum.* Lehrs duas recensiones (vs. 511-513, 515 et vs. 511, 513-515) in unam confluxisse suspicatur.
514 εἶναι] de infinitivi usu vid. § 124.

ΙΛΙΑΔΟΣ Ψ.

Τάφος Πατρόκλου (vs. 1—257). — *Ἆθλα ἐπὶ Πατρόκλῳ* (vs. 257 sqq.).

ὣς οἳ μὲν ’στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ,
ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο, 2 cf. *Ο* 233
οἳ μὲν ἄρ’ ἐσκίδναντο ἑϜὴν ἐπὶ νῆα Ϝέκαστος, 3 = *Τ* 277 cf. β 258
Μυρμιδόνας δ’ οὐκ εἴα’ ἀποσκίδνασθαι Ἀχιλλεὺς,
ἀλλ’ ὅ γε Ϝοῖσ’ ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
„Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι, 6^{b} = ι 172, 555 μ 199, 397 ξ 249
μὴ δή πω ὑπ’ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ’ αὐτοῖσ’ ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες
Πάτροκλον κλαίωμεν, ὃ γὰρ γέρας ἐστὶ θανόντων. 9^{b} = ω 190 cf. *Δ* [323 *Π* 457
αὐτὰρ ἐπεί κ’ ὀλοοῖο τεταρπώμεσθα γόοιο, 10 cf. 98
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.“ 10^{b} = λ 212
ὣς ἔφαθ’, οἳ δ’ ᾤμωξαν ἀϜολλέες, ἦρχε δ’ Ἀχιλλεύς.
οἳ δὲ τρὶς περὶ νεκρὸν ἐύτριχας ἤλασαν ἵππους
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε. 14^{a} = *Σ* 234
’δεύοντο ψάμαθοι, ’δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ ’πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλεΐδης ἀδινοῖ’ ἐξῆρχε γόοιο, 17 sq. = *Σ* 316 sq.

---

2 *ἐπεὶ*] cf. § 22.
4 *εἴα’* § 191] *εἴα* mss.
9 *ὃ γὰρ*] vid. § 101 et ad *Κ* 127.
13 *ἐύτριχας*] epitheton nonnisi vs. 301 et 351 redit, alias *καλλίτρ.*
14 *μετὰ*] *ὑπὸ* criticus apud Nauckium. || *Θέτις γόου*] *γόου Θέτις* C.
15 sq. *’δεύοντο — δάκρυσι*] vertit Verg. Aen. XI 191: *spargitur et tellus lacrimis, sparguntur et arma.*
16 *τοῖον*] glossographos male interpretatos esse *ἀγαθόν* observavit Ar.; item ad δ 206.
17 *ἀδινοῖ’* § 59] *-νοῦ* mss.

χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσφιν ἑταίρου·
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἀϝίδαο δόμοισι· 19 sq. = 179 sq. 19ᵇ = Χ 52
20 πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην."
24 ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀϝεικέα 'μήδετο ϝέργα, 24 = Χ 395
25 πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίῃσ'. οἳ δ' ἔντε' ἀφωπλίζοντο ϝέκαστος
χάλκεα μαρμαίροντα, 'λύον δ' ὑψαύχενας ἵππους, 27ᵃ = Π 664
κὰδ δ' ἷζον παρὰ νηὶ ποδώκεος Αἰακίδαο
29 μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοϝεικέ' ἐδαίνυ,
32 πολλοὶ δ' ἀργιόδοντες ὕες θαλέθοντες ἀλοιφῇ 32ᵇ sq. = Ι 467 sq.
εὑόμενοι 'τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
35 αὐτὰρ τόν γε ϝάνακτα ποδώκεα Πηλεΐωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν, 36ᵃ = Η 312
σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ. 37ᵃ = ω 119
οἳ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισ' ἐκέλευσαν 39 cf. Β 50
40 ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν 40 sq. cf. Σ 344 sq.

---

21 Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι, 21 cf. σ 87 χ 476
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν 22 cf. Σ 336
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς. 23 = Σ 337
30 πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι, πολλοὶ δ' ὄιες καὶ μηκάδες αἶγες·
30 (immo 30 sq.) quidam (non Ar.) —, vid. annot.

---

18 ἀνδροφόνους] sic Ar., alii olim -νου, item loco parall., ubi vid. || στήθεσφιν] -σσιν mss.; vid. ad *Μ* 401.

19 ἐν § 315] εἰν mss.

20 ὑπέστην] cf. Σ 334 sqq. Φ 27-32 *Χ* 354.

21-23] del. PKnight.

21 ἐρύσας] neglecto ϝ. || ὠμὰ] explicari nequit, σ 87 vero optime habet.

26 ἀφωπλίζοντο] comp. †. || ϝέκαστος] ἕκαστοι mss. complura.

27 λύον δ' ὑψαύχενας vHerwerden] λύον δ' ὑψηχέας vel λύοντο δὲ μώνυχας mss.; vid. ad *Ε* 772.

29 τάφον] sensu *epuli funebris* nonnisi γ 309 redit. || μενοϝεικέ' ἐδαίνυ] -κέα δ. mss.

30-33] imitatur Verg. Aen. XI 197-199.

30 ἀργοὶ] alias *canum* epitheton (*Α* 50 etc.), ο 161 *anserum*; in scholiis B observatur molestum h. l. esse adiectivum, sive *celeres* interpreteris, *tardos* enim boves dici potius, sive *candidos*, mortuis enim *nigros* potius fuisse mactandos (vid. κ 524 sq., 527); hoc tamen voluisse poetam, non autem mortuo Patroclo sed viventibus convivis caedi victimas. In scholiis V commemoratur l. a. ἀργῷ (σιδήρῳ), reicitur autem quorundam (non Aristarchi) opinio vs. 30 (sq.) propter *ferri* mentionem versum damnantium, — et iure profecto damnantium, vid. ad *Δ* 123 Σ 34 (non assentitur Helbig Hom. Epos[1] p. 235, 2). || ὀρέχθεον] †, *mugiebant* (diversum est ἐρέχθειν, vid. ad ε 83); imitatur Theocr. XI 43.

34 κοτυλήρυτον] adi. †, ductum a verbo ἀρύειν apud H. non obvio; cf. *Χ* 494 ο 312; male mss. nonnulla κοτυλήρρυτον.

39 λιγυφθόγγοισ' ἐκέλευσαν] -γγοισι κέλευσαν Ar., sic aut -γγοισι κέλευσε mss.

Πηλεΐδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ' ἠρνέετο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσε·
„οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος, 43ᵇ = *Τ* 258
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε 46ᵃ = *δ* 198
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἦ τοι νῦν μὲν στυγερῇ πειθώμεθα γαστρί·
ἠῶθεν δ' ὄτρυνε, Ϝάναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ' ἀξέμεναι παρά τε σχέμεν' ὅσσ' ἐπιϜεικὲς,
52 *ὄφρ' ἦ τοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ*
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ Ϝέργα τράπωνται."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 54 = *Η* 379
ἐσσυμένως δ' ἄρα δόρπον ἐφωπλίσσαντο Ϝέκαστος.

57 *αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶντο,* 57 = *Α* 469
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε Ϝέκαστος, 58 cf. *Α* 606
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
'κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσι,
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠιόνος 'κλύζεσκον. 61ᵃ cf. *Θ* 491
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ, 62 = *υ* 56
Ϝήδυμος ἀμφιχυθεὶς, — μάλα γὰρ 'κάμε φαίδιμα γυῖα 62ᵇ = *ψ* 343; 63ᵃ = *Ξ* 253

51 *νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,* 51ᵇ = *λ* 57, 155 cf. *Φ* 56
56 *'δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐϜίσης.* 56 = *Α* 468

41 *λούσασθαι*] *λοέσασθαι*? vid. § 295.
42 *ὅ γ'*] *ὁ* (om. *γε*) pap. 128 D Vrat.; **ὅς*? vid. § 15. || *ἠρνέετο* § 191] *ἠρνεῖτο* mss.
43 *τίς·τε*] utraque vocula molesta; *τ' ἐστὶ* Grashof (cf. h. Ven. 37).
44 *καρήατος*] cf. § 82.
46 *μ' ἔτι*] l. a. *τί με.*
47 *μετείω*] cf. § 302.
48 *ἀλλ' ἦ τοι*] *ἀλλά γε* (l. *ἀλλ' ἄγε*) *δὴ* D. || *νῦν μὲν*] sic Ar., *μὲν νῦν* G. || *πειθώμεθα*] sic Ar., *τερπώμεθα* pap. 128² et olim alii. Vid. ad *Ω* 628. || *γαστρί* Peppmueller coll. *η* 216 *ο* 344 *σ* 53] *δαιτί* mss.; Heyne *νυκτί.*
49 *ὄτρυνε* Bentley] *ὄτρυνον* mss.; cf. *Δ* 268 *Π* 501 *Ρ* 559 *ο* 14.
50 *σχέμεν'* § 125] *σχεῖν* mss. || *ὅσσ'*] *ὡς* pap. 128 et codd. multi.
51] del. PKnight. || *νέεσθαι*] vid. ad *Φ* 48.
55 *ἐφωπλίσσαντο*] *ἐφωπλίσαντο* Eust. 1285,42, *ἐφοπλίσαντο* D, *ἐφοπλί(σ)σαντες* mss. cett.; medium requiri ex *Θ* 503 *Ι* 66 apparet, activum significat *aliis apparare coenam* (etiam *τ* 419 *ω* 360 ita sunt interpretandi). || *Ϝέκαστος* Cauer] *ἕκαστοι* mss.; cf. *Ψ* 26 et ad *Η* 100.
56] del. Bentley.
57 *εἶντο*] *ἕντο* mss.
58 *κλισίηνδε*] *οἶκονδε* D.
61 *ἐν καθαρῷ*] cf. *Θ* 491. || *ὅθι*] *ὅθι δὴ* Syr., *ὅτι δὴ* D. || *ἐπ'*] *ἀπ'* pap. 128. || *'κλύζεσκον*] *κλύζεσκεν* A² C et l. a. apud Eust., Ar. utrumque.
62 *εὖτε*] apodosis incipit a vs. 65; cf. *υ* 56 *χ* 182.
63 *Ϝήδυμος* § 41] *νήδυμος* Ar. mss.

῞Εκτορ᾽ ἐπαΐσσων προτὶ Ϝίλιον ἠνεμόεσσαν, —
ἦλϑε δ᾽ ἐπὶ ψυχὴ Πατροκλέεος δϜειλοῖο. 65ª = λ 84, 90, 387, 467 cf. ω 20
πάντ᾽ αὐτῷ μέγεϑός τε καὶ ὄμματα καλ᾽ ἐϜέϜικτο
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ Ϝείματ᾽ ἔϜεστο· 67ᵇ = ϱ 203, 338 τ 218 ω 158
᾽στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦϑον ἔϜειπε· 68 = Ω 682 δ 803 ζ 21 υ 32 ψ 4 cf. B 59
„εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλε᾽, Ἀχιλλεῦ· 68ª = B 20
οὐ μὲν ζώοντός με᾽ ἀκήδεες, ἀλλὰ ϑανόντος.
ϑάπτε με, ὅττι τάχιστα πύλας ἈϜίδαο περήσω. 71ᵇ cf. E 646
τῆλέ με Ϝέργουσι ψυχαί, Ϝείδωλα καμόντων, 72 cf. ω 14 72ᵇ = λ 476
οὐδέ μέ πω μίσγεσϑαι ὑπὲρ ποταμοῖ᾽ ἐάουσι —
ἀλλ᾽ αὔτως ἀλάλημαι — ἀν᾽ εὐρυπυλὲς ῎ΑϜιδος δῶ. 74ᵇ cf. λ 571
καί μοι δὸς τὴν χεῖρ᾽, ὀλοφύρομαι· οὐ γὰρ ἔτ᾽ αὖτις
νίσσομαι ἐξ ἈϜίδαο, ἐπεί με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευϑεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ᾽ ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ ᾽λάχε γιγνόμενόν περ,
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, ϑεοῖσ᾽ ἐπιϜείκελ᾽ Ἀχιλλεῦ,
τείχε᾽ ὕπο Τρώων ἐυηφενέων ἀπολέσϑαι. 81ª = P 404

---

64 ἠνεμόεσσαν] vid. § 21.

65 Πατροκλέεος § 73] -κλῆος mss.

66 ἐϜέϜικτο Fick] εἰκυῖα mss. (male pro ϜεϜῖκυῖα), item ε 337 (spur.); cf. Ψ 107 et § 160⁶.

67 Ϝείματ᾽ ἔϜεστο] -τα ἕστο mss.

69 ἔπλε᾽ § 117] ἔπλευ mss.

70 *ζώοντός με᾽] μευ (με C) ζώοντος mss.; cf. § 92. || ἀκήδεες § 191] ἀκήδεις mss., ἀκηδὴς Christ dubitanter; cf. Ξ 427.

71-74] cum vs. 137 del. Lange, negans ex Homeri opinione manes insepultorum ad inferos pervenire non potuisse. Cui obloquitur Nitzsch Od. III p. 197 sqq., de vs. 72-74 tamen ei assensus.

71] cf. X 129, 450. Sic interpunxit Clarke; vulgo post τάχιστα ponitur virgula, sed post με incidi orationem ostendit hiatus; cf. § 15. Barnes coniecit ϑάπτε με, ὄφρα τάχιστα, Heyne ϑαπτέμεν᾽ ὅττι τάχιστα᾽ Cobet ϑάπτε μ᾽, ὅπως ὤκιστα (cf. χ 77, 133 Theogn. vs. 427), vHerwerden ϑάπτε μ᾽, ἵν, ὅττι τάχιστα.

72 Ϝέργουσι § 230] εἴργουσι mss. || καμόντων] vid. ad Γ 278.

73 ποταμοῖ᾽ ἐάουσι] -μοῖο ἐῶσι mss.; cf. P 16 et § 191. Flumen *Oceanum* recte interpretatur Eust.; vid. ad ω 11-14.

74 εὐρυπυλὲς] adi. nonnisi vs. parallelo redit; cf. § 19. Ecquid -πυλον? Notum est nomen proprium *Eurypylus*.

75 καί — χεῖρ᾽] imitatur Verg. Aen. VI 370: *da dextram misero.* || τὴν] σὴν vHerwerden. || ὀλοφύρομαι] *obsecro*; cf. ὀδύρομαι B 290. Pro subiunctivo (*ut lamenter*) habebat Ar.

76 νίσσομαι] (ν)είομαι pap. 128. || ἐπεί Vrat.] ἐπήν mss. cett. || με πυρὸς] caesura post 4um trochaeum vitiosa (cf. § 3); ceteris autem locis (H 80 O 350 X 343) additur ϑανόντα, quapropter coniecimus *νίσσομαι, ὁππότε κέν με πυρὸς λελάχητε ϑανόντα.

77-91] affert Aeschines I § 149.

77 μὲν γὰρ] sic Ar.; γὰρ ἔτι Aesch. l. l. et olim „τινὲς τῶν πολιτικῶν".

79 ἀμφέχανε] comp. †.

81 τείχε᾽ L] τείχει mss. cett.; cf. § 71. || ἐυηφενέων Rhianus Aristoph.] ἐυηγενέων mss. (cum Ar.) male; vid. ad Λ 427. || Apud Aesch. l. l. additur μαρνάμενον δηίοισ᾽ Ἑλένης ἕνεκ᾽ ἠυκόμοιο.

ἄλλο δέ τοι Ϝερέω καὶ ἐφήσομαι, αἴ κε πίϑηαι.
μὴ ἐμὰ σῶν ἀπάνευϑε τιϑήμεναι ὀστέ᾽, Ἀχιλλεῦ,
ἀλλ᾽ ὁμοῦ, ὡς ᾽τράφομέν περ ἐν ὑμετέροισι δόμοισι,
εὖτέ με τυτϑὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ᾽ ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐϑέλων, ἀμφ᾽ ἀστραγάλοισι χολωϑείς·
ἔνϑα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
ἔτρεφέ τ᾽ ἐνδυκέως καὶ σὸν ϑεράποντ᾽ ὀνόμηνε·
ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι.“
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
„τίπτε μοι, ἠϑείη κεφαλή, δεῦρ᾽ εἰλήλουϑας 94 cf. ε 87
καί μοι ταῦτα Ϝέκαστ᾽ ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ᾽ ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆϑι· μίνυνϑά περ ἀμφιβαλόντες
ἀλλήλους ὀλοοῖο τεταρπώμεσϑα γόοιο.“ 98 cf. 10
ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσι
οὐδ᾽ ἔλαβε· ψυχὴ δὲ κατὰ χϑονὸς ἠύτε καπνὸς
ᾤχετο τετριγυῖα. ταφὼν δ᾽ ἀνόρουσεν Ἀχιλλεὺς 101ᵇ = Ι 193
χερσί τε συμπλατάγησε, Ϝέπος δ᾽ ὀλοφυδνὸν ἔϜειπε· 102ᵇ = Ε 683

92 *χρύσεος ἀμφιφορεύς, τόν τοι ᾽πόρε πότνια μήτηρ.* 92ᵃ cf. ω 74
92 Ar. —

82 *καὶ — πίϑηαι*] *σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσι* (= Α 297 etc.) Aesch. l. l. ‖ *ἐφήσομαι*] vid. ad ν 7.

83 *τιϑήμεναι*] vid. § 195.

84] apud Aesch. l. l. legitur *ἀλλ᾽ ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύϑῃ | χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ* (cf. vs. 92), | *ὡς ὁμοῦ ἐτράφεμέν* (sic) *περ ἐν ὑμετέροισι δόμοισιν.* ‖ *᾽τράφομέν περ*] *ἐτράφην περ* vel *ἐτράφημεν* mss. Cf. § 252. Buttmann ex Aesch. l. l. *ὡς δ᾽ ὁμοῦ ἐτράφομέν περ* dederat.

86 *ὕπο λυγρῆς*] *ἀλεγεινῆς* Genev.

88 *νήπιος*] *-ον* D Vrat. ‖ *ἀστραγάλοισι χολωϑείς*] *-λῃσιν ἐρίσσας* olim plerique libri „*τῶν κατ᾽ ἄνδρα*" (mss. *ἐρύσσας* et *ὀρίσσας*, corr. Bekker). ‖ *ἀστραγάλοισι*] sensu *talorum* †; ceteris locis (Ξ 466 κ 560 λ 65) *vertebram* vox significat.

90 *ἔτρεφε*] *ἔτραφε* mss. pleraque.

91 *σορός*] †.

92] auream hanc amphoram ex ω 74 male esse invectam vidit Ar.; cf. etiam infra vs. 243.

94 *ἠϑείη*] *ὦ ϑείη* Chamaeleo ab Ar. vituperatus.

96 *σύ*] *με* L et l. a. in schol.

97 *ἀμφιβαλόντες*] *-ντε* mss. complura, l. a. *-χυϑέντες*, cf. π 214. Verbum *ἀμφιβάλλειν* hoc uno loco *amplectendi* sensu usurpatur.

98 *ὀλοοῖο*] l. a. *κρυεροῖο*.

100 sq. *ψυχὴ — ᾤχετο*] imitatur Verg. Georg. IV 499 sq.: (*umbra*) *ceu fumus in auras | commixtus tenuis fugit.* Cf. etiam Verg. Aen. V 740. — Fumum *sursum* potius evanescere ridicula est Zoili observatio.

101 *τετριγυῖα*] cf. ω 6-10.

101ᵇ-110ᵃ] del. vHerwerden.

102 *συμπλατάγησε*] † (simplex apud poetam non obvium). In mss. nonnullis extat *συμπατάγησεν*.

„ὢ πόποι, ἦ ῥά τί ἐστι καὶ ἐν Ἀϝίδαο δόμοισι
ψυχὴ καὶ ϝείδωλον, — ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν, —
παννυχίη γάρ μοι Πατροκλέεος δϝειλοῖο
ψυχὴ ἐφειστήκει γοάουσά τε μυρομένη τε, — 106ᵇ = Z 373
καί μ' ἐπέτελλε ϝέκαστα, 'ϝέϝικτο δὲ θέσκελον αὐτῷ."
ὣς 'φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο· — 108 = δ 183 cf. Ψ 153 Ω 507 π 215 τ 249 ψ 231
μυρομένοισι δὲ τοῖσι 'φάνη ῥοδοδάκτυλος Ἠὼς
ἀμφὶ νέκυν ἐλεεινόν. — 109 cf. ψ 241
ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει — 112ᵇ cf. γ 471 ξ 104
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος. — 113 = 124
οἳ δ' ἴσαν ὑλοτόμους πελέκυς ἐν χερσὶν ἔχοντες
σειράς τε πλεκτὰς, πρὸ δ' ἄρ' οὐρῆες 'κίον αὐτῶν·
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
'τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
'πίπτον. τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα πόσσ' ἐδατεῦντο

104 (Aristoph.? et) Ar. —

103 *τί* L Lips. Vrat.] *τίς* mss. cett.; de hiatu vid. § 99 sq. || *ἐν* § 315] *εἰν* mss.

104 *φρένες*] *vim vitalem* videtur significare; *mentem* denegari non posse animae quae prudenter modo locuta esset annotavit Ar., ex κ 495 versum desumtum ratus. Legit Plato Rep. III 386*d*. || *πάμπαν*] l. a. *πᾶσαι*.

105 *παννυχίη*] *ἐννυχίη* probabiliter admodum Nauck. || *Πατροκλέεος* § 73] *-κλῆος* mss.

106 *ἐφειστήκει*] *ἐφεστ.* Ar. || *γοάουσα* § 191] *γοόωσα* mss.

107 *μ' ἐπέτελλε ϝέκαστα* Hoffmann] *μοι ἕκαστ' ἐπέτελλεν* mss.; de eliso *μοι* vid. § 13. || *θέσκελον*] ceteris locis (Γ 130 λ 374, 610) adi. est.

109 *'φάνη — 'Ηώς*] *μέλας ἐπὶ ἕσπερος ἦλθε* (= α 423) Plut. Mor. 114*e*.

111 *τ'*] olim multa mss. omittebant teste Didymo.

112 *κλισιῶν*] novicium pro *κλισιάων*, vid. § 56. Coniecimus **κνημῶν* coll. vs. 117. || *ὀρώρει*] cf. γ 471 ξ 104 et § 284.

114 *ὑλοτόμους*] nonnis vs. 123 rediit (*ὑλότομος* h. Cer. 229). || *πελέκυς* § 75] *-κεας* mss.

115 *τε πλεκτὰς* GHermann coll. χ 175, 192] *τ' εὐπλέκτους* mss.

116 *ἄναντα κάταντα πάραντα*] †, cf. *ἔναντα* Υ 67. || *δόχμια*] † (*δοχμός* Μ 148, *δοχμόω* ι 372 h. Merc. 146).

117 *κνημοὺς*] *κρημνοὺς* Harl. et l. a. apud Eust. Cf. Φ 559 δ 337 ρ 128. || *πολυπίδακος*] sic Ar., *-δάκου* mss. pauca; vid. ad Ξ 157.

119 *ἐπειγόμενοι*] *cito*. Cf. Ε 902.

120 *διαπλήσσοντες*] sic Ar., *διαπλίσσοντες* Syr. et olim alii (cf. ζ 318), *διαρρήσσοντες* l. a. apud Eust.; comp., quod nonnisi θ 507 redit (ubi vid.), Ar. interpretabatur *διακόπτοντες* coll. θ 507 κ 440, vid. etiam Λ 146. Duentzer coniecit *διαπλήξαντες*.

121 *ἔκδεον*] *ἔκδιδεν*? vid. § 198. || *ἡμιόνων*] *-νους* D. Grashof *οὐρήων· τοὶ* coll. vs. 111 et 115, diversa haec nomina a poeta permutari negans. Vid. ad Ω 442 et 716. || *χθόνα — ἐδατεῦντο*] *glebas pedibus dividebant*;

Ϝελλόμεναι πεδίοιο διὰ ῥωπήια πυκνά. 122b cf. *N* 199
πάντες δ' ὑλοτόμοι φιτροὺς 'φέρον· ὣς γὰρ ἄνωγε
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος. 124 = 113
κὰδ δ' ἄρ' ἐπ' ἀκτῆς 'βάλλον ἐπισχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺς
'φράσσατο Πατρόκλῳ μέγα Ϝηρίον ἠδὲ Ϝοὶ αὐτῷ.
αὐτὰρ ἐπεὶ πάντῃ παρακάββαλον ἄσπετον ὕλην,
ἥατ' ἄρ' αὖθι μένοντες ἀϜολλέες. αὐτὰρ Ἀχιλλεὺς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισ' ἐκέλευσε
χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφι Ϝέκαστον
ἵππους· οἳ δ' ὤρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον, 131 cf. *ω* 496
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε.
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν, 133b cf. *Δ* 274
μυρίοι· ἐν δὲ μέσοισι 'φέρον Πάτροκλον ἑταῖροι.
θριξὶ δὲ πάντα νέκυν κατεϜείλυον, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα 'πέμπ' ἌϜιδόσδε.
οἳ δ' ὅτε χῶρον ἵκανον ὅθι σφίσι 'πέφραδ' Ἀχιλλεύς, 138 cf. *Σ* 520
κάτθεσαν, αἶψα δέ Ϝοι μενοϜεικέα 'νήεον ὕλην.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς· 140 sq.[a] = 193 sq.
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην, 140[a] = *β* 382, 393 etc. cf. *δ* 219
τήν ῥα Σπερχειῷ ποταμῷ 'τρέφε τηλεθάουσαν·
ὀχθήσας δ' ἄρ' ἔϜειπε Ϝιδὼν ἐπὶ Ϝοίνοπα πόντον·
„Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,

---

locutio non redit. || *πόσσ' ἐδατεῦντο*] *ποσσὶ δ.* mss.; de termino *-εῦντο* vid. § 7 et 191.

122 **Ϝελλόμεναι*] *ἑλδόμεναι* mss. (*ελκόμεναι* D, *κ* in ras.); Nauck *ἐρχόμεναι* coniecit. Cf. *Θ* 215. || *πεδίοιο*] vid. ad *B* 785.

123 *ὑλοτόμοι*] cf. vs. 114. || *ἄνωγε* § 225] *ἀνώγει* mss.

125 *ἐπισχερώ*] cf. *Λ* 668.

126 *Ϝηρίον*] †.

127 *παρακάββαλον*] comp. nonnisi vs. 683 redit.

128 *ἥατ'* § 220] *εἵατ'* vel *εἴατ'* mss.

129 *φιλοπτολέμοισ' ἐκέλευσε*] *-μοισι κέλευ(σ)ε* mss.

130 *χαλκὸν*] *-κῷ* Vrat. et l. a. apud Eust.; vid. ad *E* 857. || *δ'*] *θ'* mss. complura.

131 *ἐν τεύχεσσιν ἔδυνον*] eadem est constructio *K* 254.

132 *παραιβάται*] †.

135 *κατεϜείλυον* § 265] *καταείλυον* Vrat. et olim alii, *καταείνυον* (Ar. et) mss. cett., cf. *Φ* 318 sq.; *καταείνυσαν* Aristarcho tribuit Didymus in schol. A, ubi *Aristophanis* nomen videtur restituendum; cf. Ludwich Arist. I p. 484.

136 *ἔχε*] *σχέθε* Z Cant. Townl. non recte.

137 *Ἄιδόσδε*] sic Ar., *Ἄιδος δῶ* (ut vs. 74) Syr. H Vrat.

138 *ἵκανον*] *ἵκοντο* mss. pauca.

139 *'νήεον*] *νήνεον* Eust.; cf. *H* 428.

142] de more caesariem fluviis patriis consecrandi cf. Aesch. Choeph. 6 Pausan. I 37. || *τηλεθάουσαν* § 191] *-θόωσαν* mss.

143 *ἄρ' ἔϜειπε*] *ἄρα εἶπε* mss.

144 *ἄλλως*] h. l. et *ξ* 124 *frustra* ut apud Atticos; adverbii *ἀλίως* esse formam Aeoli-

κεῖσέ με νοστήσαντα φίλην εἰς πατρίδα γαῖαν 145a = δ 619 ο 119
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
εἰς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις. 148b = Θ 48
ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ ϝοι νόον οὐκ ἐτέλεσσας.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην εἰς πατρίδα γαῖαν, 150 = Σ 101
Πατρόκλῳ χ' ἥρωι κόμην ὀπάσαιμι φέρεσθαι."
ὣς ϝειπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
'θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. 153 cf. 108
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο, 154 = π 220 φ 226 cf. ψ 241
εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι 'ϝεῖπε παραστάς·
„Ἀτρεΐδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι· γόοιο μὲν ἔστι καὶ ἆσαι,
νῦν δ' ἀπὸ πυρκαΐῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι 158b sq.a = Τ 171 sq.
ὁπλεῖσθαι· τάδε δ' ἀμφὶ πονησόμεθ' οἷσι μάλιστα
κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἧμι μενόντων."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν 'σκέδασεν κατὰ νῆας ἐϝίσας,
κηδεμόνες δὲ παρ' αὖθι 'μένον καὶ ἐνήεον ὕλην,
'ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα, 164b cf. κ 517
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν 'θέσαν ἀχνύμενοι κῆρ. 165a = Ω 787
πολλὰ δὲ ϝίφια μῆλα καὶ εἰλίποδας ϝέλικας βοῦς 166 = Ι 466
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
εἰς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματ' ἐνήει· 169a = Σ 353

---

cam statuit Fick Ilias p. 390; vid. ad Ο 245.

147 ἔνορχα] †, pro -χεα suspectum Nauckio. || αὐτόθι] αὐτίκα D et l. a. in schol., αὐτόφι mss. nonnulla. Vid. ad Μ 302.

149 ἠρᾶθ' ὁ] ἠρᾶτο?

151 *χ'] adiecimus; apud Nauckium proponitur κόμην κ'.

155 Ἀγαμέμνονι] supplendum esse πρὸς monebat Ar., -να igitur legens (sic Vrat.); vid. ad Μ 60.

156 γάρ τε] μέν τε vel γε mss. nonnulla.

157 ἆσαι] ἄση Naber, quae vox tamen in Homero non obvia.

158 πυρκαΐῆς] -ήν C.

159 ὁπλεῖσθαι Fick] ὅπλεσθαι mss.; cf. Τ 172.

160 κήδεος] † pro κήδειος, cf. § 17 et 61. Ar. scribebat κηδεός coll. φωλεός ὀχεός λοχεός, addens fuisse qui vocis κῆδος genitivum censerent. || οἵ τ' ἀγοὶ Dionys. Thrax] οἱ ταγοὶ Ar. et mss. nonnulla male, nam vox ταγός, alibi in Hom. non obvia, apud posteros producit syllabam priorem (vid. tamen Aesch. Eum. 296). Interpretare: οἵτινες ἀγοί εἰσιν. Cf. Μ 269 (Ν 278 Τ 43). Nauck coniecit δὲ πρόμοι. || ἧμι § 92] ἄμμι mss.

163 κηδεμόνες] nonnisi vs. 674 redit vox. || ἐνήεον] νήεον mss.

164 ἑκατόμπεδον] -ποδον mss. nonnulla; an -ποδα?

169 δρατὰ] †, δρετὰ Ar. in commentariis. || σώματ' ἐνήει] -τα νήει mss.

ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,
πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
ἐσσυμένως ἐνέβαλλε πυρῇ μεγάλα στεναχίζων.
ἐννέα τῷ γε ϝάνακτι τραπεζῆες κύνες ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς 175 = 181
χαλκῷ δηιόων, — κακὰ δὲ φρεσὶ 'μήδετο ϝέργα, — 176ᵇ = Φ 19
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
ᾤμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον· 178 = Κ 522
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν Ἀϝίδαο δόμοισι· 179 sq. = 19 sq.
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλούς, 181 = 175
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσι."
ὣς 'φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο,
ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ 'χρῖεν ἐλαίῳ
ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων. 187 cf Ω 21
τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίονδε, 'κάλυψε δὲ χῶρον ἅπαντα,
ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκείλει' ἀμφὶ περὶ χρόα ϝίνεσιν ἠδὲ μέλεσσι.
οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς· 193 sq.ᵃ = 140 sq.
στὰς ἀπάνευθε πυρῆς δοιοῖσ' ἠρᾶτ' ἀνέμοισι,

---

170 μέλιτος] vid. ad Π 456.
171 κλίνων] stare enim non poterant dolia. || πίσυρας] vid. ad Ο 680.
172 πυρῇ] πυρὶ mss. nonnulla; vid. ad vs. 174 et 216. || στεναχίζων] στον. mss. nonnulla.
173 sq.] om. D[1].
173 τραπεζῆες κύνες] cf. Χ 69.
174 πυρῇ] πυρὶ mss. pauca; cf. vs. 172.
177 σιδήρεον] de *igne* perquam insolite dictum; vid. tamen Ρ 424.
178 φίλον τ'] φίλον δ' C D; cf. Κ 522 Ω 591.
179 ἐν § 315] εἰν mss.
180 τελέω τὰ πάροιθεν] τετελεσμένα ὥσπερ Syr. Cant. Townl. Z et l. a. in schol.
182 ἐσθίει] κ' ἐσθίῃ vHerwerden.
184-191] del. Faesi, unum vs. 187 Nauck.
186 ἤματα καὶ νύκτας] item κ 142, alias nox prius commemoratur. || ῥοδόεντι] †, cf. ῥοδοδάκτυλος Ἠώς (Α 477 etc.), ῥοδόπηχυς Ἠώς (h. XXX 6) et nomina propria Ῥόδεια h. Cer. 420, Ῥοδόπη h. Cer. 423; ipsius rosae apud Hom. nonnisi h. Cer. 6 (ῥόδα) et 428 (ῥοδέας κάλυκας) fit mentio.
191 σκείλει' Fick] σκήλει' (σκήλῃ') mss. male; praesens (quod apud Hom. non legitur) est σκέλλω. Verbum †. || ϝίνεσιν] cf. § 64.
192 ἐκαίετο] καίετο (neglecta caesura) mss. complura. || τεθνηῶτος § 160] -ειῶτος mss. multa.

Βόρρῃ καὶ Ζεφύρῳ, καὶ ὑπίσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπα' ἐλλιτάνευε
ἐλθέμεν', ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί,
ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ϝῖρις
ἀράων ἀίουσα μετ' ἄγγελος ἦλθ' ἀνέμοισι.
οἳ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην 'δαίνυντο· θέουσα δὲ Ϝῖρις ἐπέστη
βηλῷ ἔπι λιθέῳ. τοὶ δ' ὡς 'Ϝίδον ὀφθαλμοῖσι,
πάντες ἀνήιξαν 'κάλεόν τέ μιν εἰς Ϝὲ Ϝέκαστος·
ἣ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, 'Ϝεῖπε δὲ μῦθον· 204b sq.a = Λ 647 sq.
„οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων εἰς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
ἀθανάτοισ', ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν.
ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθέμεν' ἀράεται, καὶ ὑπίσχεται ἱερὰ καλά,
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί.“
ἣ μὲν ἄρ' ὣς Ϝειποῦσ' ἀπεβήσετο, τοὶ δ' ὤροντο
Ϝηχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθε.
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα
πνοιῇ ὕπο λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἱκέσθην, 215a = Ν 590
ἐν δὲ πυρῇ 'πεσέτην· μέγ' ἐϜίϜαχε θεσπιδαὲς πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον
φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
χρυσέου ἐκ κρητῆρος, ἑλὼν δέπας ἀμφικύπελλον,

---

195 *Βόρρῃ*] *Βορέῃ* mss.; cf. *Ι* 5. || *ὑπίσχετο*] *ὑπέσχετο* mss. multa; cf. *Υ* 84.

196 *χρυσέῳ*] cf. § 18 et 61. || *δέπα' ἐλλιτάνευε*] *δέπαι ἐ(λ)λιτ.* D H, *δέπαϊ λιτ.* mss. cett.; PKnight *δέπαϊ χρυσέῳ λιτάνευε* coll. *Ω* 285.

197 *ἐλθέμεν'*] *ἐλθεῖν* mss. complura; cf. § 125. || *νεκροί*] *νεκρὸν* mss. nonnulla.

198 *ὕλη τε σεύαιτο*] alii olim legebant *ὕλην τε σεύαιντο*, quae lectio ab Ar. merito spreta est; cf. § 119. || *ὦκα δὲ* Bentley] *ὠκέα δ'* mss.; cf. *Π* 606.

199 *μετ' ἄγγελος*] cf. *Ο* 144.

203 *τέ*] *δέ* Syr. || *Ϝὲ*] om. Syr. D L.

204 *αὖθ'*] *αὖ* Syr. || *δὲ*] *τε* Syr. L Z Townl. Vrat.

205 *αὖτις*] *αὖθι(ς)* mss. nonnulla. || *ῥέεθρα*] *ῥοάων* C, *ῥεέθρων* Apoll. lex.

206 *γαῖαν*] *δῆμον* olim libri *„αἱ ἀπὸ τῶν πόλεων"*.

208 *ἠδὲ*] **τε ἰδὲ*?

209 *ἐλθέμεν'* § 125] *ἐλθεῖν* mss. || *ἀράεται* § 191] *ἀρᾶται* mss.

212 *ἀπεβήσετο*] *-σατο* mss. nonnulla. || **ὤροντο*] *ὀρέοντο* mss.; cf. *Β* 398 et § 284.

213] *πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντες ὄπισθεν* (cf. vs. 215) pseudo-Plut. vit. Hom. 108.

214 *αἶψα — ἀήμεναι*] de re cf. *γ* 176. || *ἀήμεναι*] *-ναι* Apoll. lex.; cf. § 195.

216 *πυρῇ*] *πυρὶ* mss. nonnulla; cf. vs. 172. || *μέγ' ἐϜίϜαχε* Bentley] *μέγα δ' ἴαχε* mss.

219 *ἑλὼν*] *ἔχων* mss. nonnulla.

ϝοῖνον ἀφυσσόμενος χαμάδις ᾿χέε, ᾿δεῦε δὲ γαῖαν, 220ᵇ cf. ι 290
ψυχὴν κικλήσκων Πατροκλέεος δϝειλοῖο.
ὡς δὲ πατὴρ ϝοῦ παιδὸς ὀδύρεται ὀστέα καίων,
νυμφίου, ὅς τε θανὼν δϝειλοὺς ἀκάχησε τοκῆας,
ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στεναχίζων. 225ᵇ = ω 317
ἦμος δ' ἀστὴρ εἶσι φάος ϝερέων ἐπὶ γαῖαν,
ὅν τε μετὰ κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται Ἠώς, 227 cf. Θ 1
τῆμος πυρκαϊὴ ἐμαραίνετο, ᾿παύσατο δὲ φλόξ.
οἳ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν ϝοῖκόνδε νέεσθαι 229ᵇ = ξ 87
Θρηίκιον κατὰ πόντον· ὃ δ' ἔστενεν οἴδματι θύων.
Πηλεΐδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς [sq.ᵃ
᾿κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσε. 232ᵇ cf. ψ 342ᵇ
οἳ δ' ἀμφ' Ἀτρεΐωνα ἀϝολλέες ἠγερέθοντο, 233ᵇ = γ 412 λ 228
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρε.
ἕζετο δ' ὀρθωθεὶς καί σφας πρὸς μῦθον ἔϝειπε· 235ᵃ = Β 42
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, 236 = Η 327
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι ϝοίνῳ 237 cf. 250 Ω 791
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα 238 = Ω 792
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν 239 cf. Ω 793
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται,
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθε
ἐσχατιῇ ᾿καίοντ', ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες. 242ᵇ cf. Λ 525 Φ 16

---

220 ἀφυσσόμενος] -σσάμενος mss. pleraque. Cf. Γ 295 Κ 579. || χαμάδις ᾿χέε] vertit Verg. Aen. V 78 *fundit humi.*

221 Πατροκλέεος § 2 et 73] -κλῆος mss. (-κλοιο Eust.).

223 νυμφίου] cf. η 65. || Apud Plut. Mor. 117c additur: ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκε (cf. Ρ 37).

225 ἀδινὰ] vid. ad Σ 124. || στεναχίζων] στον. mss. pauca.

226 ἀστὴρ Peppmueller] ἑωσφόρος (†) mss., quae vox et propter synizesin suspecta est (vid. § 8) et propter formam, nam dicendum fuisse ἠοσφόρος observarunt PKnight Benfey Ahrens alii (cf. Rzach ad Hes. Theog. 381), εὖτ' ἠοσφόρος corrigentes; sed versus initium ἦμος δ' genuinum esse apparet coll. Η 433. Vid. Χ 317 (ibique schol.) ν 93. — Idem nos conieceramus. || φάος § 71] φόως mss. || ϝερέων] cf. Β 49.

227] a poeta Asiano cani haec non potuisse observavit Bergk; *insulanum* hominem (*Chium* vel *Lesbium*) prodit sol e mari surgens; sic etiam Ω 13 non id pingitur quod Achilles in litore proiectus videre poterat sed id quod ipse poeta quotidie videbat. Etiam γ 1 huc facere videtur; vid. ad Ι 5. || ὑπεὶρ] vid. § 315.

230 Θρηίκιον] cf. Ι 5. || κατὰ] μετὰ A². || θύων] θυίων A.

234 ἔγειρε] ὄρωρεν C.

235 σφας § 92] σφεας mss.

237 αἴθοπι ϝοίνῳ] -πα οἶνον D (nihili lectio nisi χέεν vel χέατ' legatur).

καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ 243 cf. 253
ϑήομεν, εἱς ὅ κεν αὐτὸς ἐγὼν Ἄϝιδι κεκύϑωμαι.
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσϑαι ἄνωγα,
ἀλλ' ἐπιϝεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
εὐρύν ϑ' ὑψηλόν τε τιϑήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήισι λίπησϑε.“
ὥς ἔφαϑ', οἱ δ' ἐπίϑοντο ποδώκεϊ Πηλεΐωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν 'σβέσαν αἴϑοπι ϝοίνῳ, 250 = Ω 791 cf. Ψ 237
ὅσσον ἔπι φλὸξ ἦλϑε, βαϑεῖα δὲ κάππεσε τέφρη·
κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
ἄλλεγον εἰς χρυσέην φιάλην καὶ δίπλακα δημόν, 253sq.cf.Ω 795sq. 253 cf. 243
ϑέντες δ' ἐν κλισίῃσι ϝεανῷ λίτ' ἐκάλυψαν. 254 cf. Σ 352
'τορνώσαντο δὲ σῆμα ϑεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶϑαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.
χεύαντες δὲ τὸ σῆμα πάλιν 'κίον. 257 cf. Ω 801

αὐτὰρ Ἀχιλλεὺς
αὐτόϑι λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεϑλα, λέβητάς τε τρίποδάς τε,
ἵππους ϑ' ἡμιόνους τε βοῶν τ' ἴφϑιμα κάρηνα 260[b] cf. h. Merc. 94
ἠδὲ γυναῖκας ἐυζώνους πολιόν τε σίδηρον. 261 = Ι 366
ἵπποισιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεϑλα
'ϑῆκε γυναῖκ' ἀγαγέσϑαι, ἀμύμονα ϝέργα ϝιδυῖαν, 263[b] cf. Ι 128

259—261 Aristoph. Ar. ——

---

243 *χρυσέῃ*] cf. § 18 et 61. || *φιάλῃ*] nonnisi vs. 253, 270, 616 redit. Cf. Helbig Hom. Epos[1] p. 266 sq.

244 *ϑήομεν* § 122] *ϑείομεν* (Ar.?) mss. || *ἐγὼν*] l. a. *ἰών*. || *κεκύϑωμαι* Bentley] *κλεύϑωμαι* Ar. A (pro *κελεύϑωμαι = πορεύωμαι*!), *κεύϑωμαι* mss. cett.; cf. ζ 303 et ad Γ 453.

245 *πολλὸν*] *ingentem*, item Η 156.

246 *τοῖον*] vid. ad α 209. || *Ἀχαιοὶ*] aut vocativus est aut nominativus appositus subiecto (*ὑμεῖς*) verbi *τιϑήμεναι*.

247 *τιϑήμεναι*] cf. § 195.

248 *δεύτεροι*] *-ρον* D.

251 *δὲ*] *τε* A[2] D. || *κάππεσε τέφρη*] l. a. *κάππεσεν ὕλη*. || *τέφρη*] vid. ad Σ 25.

253 *χρυσέην*] cf. § 18 et 61. || *φιάλην*] vid. ad vs. 243.

254 **ϑέντες δ' ἐν κλισίῃσι* cf. Σ 352] *ἐν κλισίῃ(σι) δὲ ϑέντες* mss. (*ἐς κλισίην δὲ ϑ.* Vrat., *ἐν κλισίῃ δ' ἐνϑέντες* Lips). || *κλισίῃσι*] suspectum; *fossam* (cf. Ω 797) significari putat Duentzer. || *λίτ' ἐκάλυψαν*] *λιτὶ κάλ.* mss.

255 *'τορνώσαντο*] verbum nonnisi ε 249 redit. || *ϑεμείλια*] cf. Μ 28. || *τε*] *δὲ* A[1].

257 *τὸ*] *τε*? cf. Ω 801.

258 *αὐτόϑι* § 322] *αὐτοῦ* mss.

260 *βοῶν — κάρηνα*] insolite dictum; quadamtenus conferri possunt Ι 407 κ 521; imitatur Verg. Aen. V 61 sq.: *boum ... capita*.

262 *ἵπποισιν* l. a. in schol.] *ἱππεῦσιν* mss.

263 *γυναῖκ' ἀγαγέσϑαι* Bentley] *-κα ἄγεσϑαι* mss. || *ϝέργα ϝιδυῖαν* § 160] *ἔργ' εἰδυῖαν* mss.

καὶ τρίποδ' οὐατόεντα δυωκαιϜεικοσίμετρον, 264ᵇ cf. *O* 678
τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκε
ϜεξϜετέα δμητὴν, βρέφος ἡμίονον κυέουσαν· 266ᵃ = 655
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
καλὸν, τέσσαρα μέτρα κεχονδότα, λευκὸν ἔτ' αὔτως·
τῷ δὲ τετάρτῳ ἔθηκε δύω χρυσοῖο τάλαντα,
πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϜειπε· 271 sq. = 657 sq.
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοὶ, 271 = 456, 706, 752, 801, 830
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι. 272 cf. *A* 17
εἰ μὲν νῦν ἄλλῳ ἔπ' ἀεθλεύοιμεν Ἀχαιοὶ,
ἦ κεν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην.
Ϝίστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δ' ἔπορ' αὐτὸς
πατρὶ ἐμῷ Πηλῆι, ὃ δ' αὖτ' ἐμοὶ ἠγγυάλιξε.
ἀλλ' ἦ τοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·
τοίου γὰρ κλέος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὅ σφωιν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
τὸν τώ γ' ἑσταότες πενθείετον, οὔδεϊ δέ σφι 283 sq. cf. *P* 437 sq.

---

264 *οὐατόεντα* Heyne] *ὠτόεντα* vel *ὠτώεντα* mss.; vox redit vs. 513. Cf. § 72. ‖ *δυωκαιϜεικοσίμετρον*] †.

266 *ἑξετέα δμητὴν* Naber CNauck] *ἑξετέ' ἀδμήτην* mss. Domantur pulli, non iumenta adulta; redit vitium vs. 655, ubi magis etiam apertum. ‖ *βρέφος*] †. Notetur vocabulum de prole nondum nata usurpatum, *ἔμβρυον* vero (*ι* 245, 309, 342) de nata. Vid. praeterea *Z* 59.

267 *ἄπυρον*] *ἀπύρωτον* Syr. (cf. vs. 270); hinc Christ *ἀπύρωτον ἔθηκε* (immo *'θῆκε*, vid. § 3). De adi. vid. ad *I* 122.

268 *κεχονδότα*] *κεχανδότα* mss.; vid. ad *Ω* 192.

269 *ἔθηκε*] *θῆκε* mss. ‖ *δύω*] *δύο* Philemon grammaticus et mss. pauca. ‖ *τάλαντα*] apparet talenti pondus apud Homerum multo minus fuisse quam postea; vid. ad *Σ* 507. Hero Didymus alii putabant talentum Homericum idem fuisse quod postea *stater* (*Daricus*) vocabatur; Schliemann laminas quasdam argenteas, quarum sex Troiae reperit, 171-174 gramm. pondo, talenta esse sibi persuasit. Certi quicquam effici posse iure negavit Aristoteles.

270 *ἀμφίθετον*] adi. nonnisi vs. 616 redit. ‖ *φιάλην*] vid. ad vs. 243. ‖ *ἀπύρωτον*] †, sed cf. vs. 267.

272 *Ἀτρεΐδη*] *Ἀτρεῖδαι* Syr., *Ἀτρείδα* Lips. ‖ *ἐυκνήμιδες Ἀχαιοὶ*] *ἀριστῆες Παναχαιῶν* mss. nonnulla; cf. *X* 378 *Ψ* 658.

273] om. Syr. ‖ *ἱππῆας*] l. a. *ἱππεῦσιν*. ‖ *δεδεγμένα*] sic et -*χμένα* Ar.; cf. *Θ* 296 *I* 191.

274 *ἄλλῳ ἔπ'* Bothe] *ἐπὶ ἄλλῳ* mss.

275 **κεν*] *τ' ἂν* mss.; cf. § 326.

276 *ἐμοὶ … ἵπποι*] *ἐμὼ … ἵππω*? ‖ *περιβάλλετον*] cf. *ο* 17.

277 *τε γάρ εἰσι*] *γάρ ἔασι* Nauck. ‖ *αὐτὸς* Doederlein] *αὐτοὺς* mss.; vid. § 98 et ad *X* 513.

278 *ἠγγυάλιξε*] *ἐγγ.* mss.

280 *κλέος*] *σθένος* mss. complura.

281 *ὅ*] sic Ar., *ὅς* mss. pleraque.

282 *ὕδατι λευκῷ*] vid. ad *ε* 70.

283 sq.] om. Syr.[1].

283 *πενθείετον*] vid. § 295.

χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ. 284^b cf. 443
ἄλλοι δὲ στέλλεσθε κατὰ στρατὸν, ὅς τις Ἀχαιῶν
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσι." 286 cf. ρ 117
ὣς 'φάτο Πηλεΐδης, ταχέες δ' ἱππῆες ἔγερθεν.
ὦρτο πολὺ πρώτιστα ϝάναξ ἀνδρῶν 'Εὔμηλος, 288 cf. Η 162
Ἀδμήτου φίλος υἱὸς, ὃς ἱπποσύνῃ ἐκέκαστο· [Ψ 812
τῷ δ' ἐπὶ Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης, 290 = Η 163 cf.
ἵππους δὲ Τρωίους ὕπαγε ζυγὸν, οὕς ποτ' ἀπέϝρα 291 sq. cf. Ε 323 sq.
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων.
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης ὦρτο ξανθὸς Μενέλαος
διογενὴς, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἐϝόν τε Πόδαργον·
τὴν Ἀγαμέμνον' ἔδωκ' Ἀγχισιάδης 'Εχέπωλος
δῶρ', ἵνα μή ϝοι ἕποιθ' ὑπὸ Ϝίλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ ϝοι ἔδωκε
Ζεὺς ἄφενος, 'ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρῳ Σικυῶνι·
τὴν ὅ γ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰχανάουσαν.
Ἀντίλοχος δὲ τέταρτος ἐύτριχας ὡπλίσαθ' ἵππους, 301^b = 351
Νέστορος ἀγλαὸς υἱὸς, ὑπερθύμοιο ϝάνακτος
τοῦ Νηληιάδαο· Πυλοιγενέες δέ ϝοι ἵπποι
ὠκύποδες 'φέρον ἅρμα. πατὴρ δέ ϝοι ἄγχι παραστὰς
'μυθέετ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ· 305^a cf. Ι 102 305^b cf. Α 577
„Ἀντίλοχ', ἦ τοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν

---

287 *ἔγερθεν*] sic Ar., *ἄγερθεν* mss. multa.
288 *πρώτιστα* Bentley] *πρῶτος* (*πρότερος* C) *μὲν* mss.; cf. *Η* 162.
289 *Ἀδμήτου*] *Ἀδρήστου* D.
290] vulneris, quo impeditur Diomedes *Τ* 49, nullam rationem habuit qui ludos funebres descripsit. Vid. ad vs. 709.
291 *Τρωίους*] vid. *Ε* 222 et de correpta syllaba prima § 17. || *ἀπέϝρα* § 150] *ἀπηύρα* mss.
292 *ὑπεξεσάωσεν*] comp. †.
296 *Ἀγαμέμνον' ἔδωκ'*] -νι δῶκ' mss.
297] de re cf. *Ν* 669. || *ἠνεμόεσσαν*] vid. § 21.
299 *'ναῖεν δ' ὅ γ'*] *ναίοντι* Nauck propter *ὅ γε* vs. 300 repetitum.
300 *ὅ γ'*] *τόθ'* Par. 2767 et l. a. in schol. || *ἰχανάουσαν* § 191] *ἰχανόωσαν* Syr. A D, *ἰσχανόωσαν* cett. mss.; vid. ad *Ρ* 572.
301 *ἐύτριχας*] cf. vs. 13.
303 *τοῦ*] articulus molestus. || *Πυλοιγενέες*] *Πυληγ.* mss. pleraque, *παλαιγενέες* olim alii (absurde) coll. vs. 445. Vid. § 48 et *Β* 54.
304 *ὠκύποδες*] *λευκόποδες* Bentley coll. vs. 310 (nimis ingeniose).
305 *'μυθέετ'* § 191] *μυθεῖτ'* mss.; vHerwerden coniecit *μῦθον ἔϝειπ' ἀγ. φρ.* (*μῦθον* = *adhortationem*).
306 *ἐόντ' ἐφίλησαν*] *ἐόντα φ.* D.
307 *ἐδίδαξαν* Zen.] -ξεν Ar. (de solo Neptuno accipiens), mss. utrumque.

παντοίας· τῷ καί σε διδασκέμεν' οὔ τι μάλα χρή,
ϝοῖσθα γὰρ εὖ περὶ τέρμα ϝελισσέμεν'. ἀλλά τοι ἵπποι
βάρδιστοι θείειν· ὀίω τοι λοίγι' ἔσεσθαι. 310ᵇ cf. Φ 533
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
πλείονα ϝίσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή σε παρεκπροφύγησιν ἄεθλα.
μήτιί τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι·
μήτιι δ' αὖτε κυβερνήτης ἐνὶ ϝοίνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
μήτιι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἄλλος μέν θ' ἵπποισι καὶ ἅρμασι ϝοῖσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὰ ϝελίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανάονται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃς δέ κε κέρδεα ϝείδῃ ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁράων στρέφει ἐγγύθεν, οὐδέ ϝε λήθει,
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσι,
ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προέχοντα δοκεύει.
σῆμα δέ τοι ϝερέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει. 326 = λ 126 cf. [ψ 273
ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης, 327 cf. ι 325
ἢ δρυὸς ἢ πεύκης. τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ, 328ᵇ cf. α 161
λᾶε δὲ τοῦ ϝεκάτερθεν ἐρηρέδαται δύο λευκὼ
ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·

308 χρὴ PKnight] χρεὼ mss.; cf. § 8.
309 τέρμα Bentley] τέρμαθ' mss.; vid. vs. 323, 462.
310 βάρδιστοι] cf. Θ 104. || θείειν] sic Ar. || * ὀίω τοι] τῷ τ' (γ', κ') οἴω mss.; τῷ ὀίω Ahrens. Vid. § 292*. || λοίγι'] λοίσθι' Naber; vid. tamen Φ 533.
311 ἀφάρτεροι] †; cf. § 88.
312 αὐτοῦ] αὐτόο? vid. § 59.
314 παρεκπροφύγησιν] -γοισιν Syr.
315 μήτιι § 74] μήτι mss.
316 μήτιι § 74] μήτι mss.
317 ἐρεχθομένην] verbum redit ε 83, 157 h. Ap. 358; l. a. ἐεργομένην.
318 μήτιι § 74] μήτι mss.
319 ἄλλος Syr. cum Antigono] ἀλλ' ὅς mss. cett.; cf. Λ 636. || πεποιθὼς] πέποιθεν Genev. et l. a. apud Eust.; Christ mavult ἀλλ' ὅς ... πεποίθῃ.
320 πολλὰ Bentley] πολλὸν mss.
321 πλανάονται § 191] -νόωνται mss. || ἀνὰ] κατὰ C.
323 ὁράων § 191] ὁρόων mss.
324 ὅππως τὸ πρῶτον] i. e. ἐπειδὴ πρῶτον, *postquam semel.*
325 προέχοντα] προύχοντα mss.
326 sqq.] consilium parum perspicuum; vs. 306-350 postmodo inserti esse videntur.
327 ὄργυι'] ὀρόγυι'? quae metro poscitur forma Sapph. fr. 98 Pind. Pyth. IV 228 Ar. Av. 1131. Cf. ι 325 κ 167 λ 312. || ὑπὲρ αἴης] l. a. ἐνὶ γαίῃ.
328 οὐ] οὗ absurde olim quidam, vid. Aristot. Poet. 26 Sophist. El. 4. || καταπύθεται] comp. nonnisi h. Ap. 371 redit (simplex Δ 174 etc.).
330 ξυνοχῇσιν] †; vid. ad Β 218. || ἱππόδρομος] †.

ἤ τεο σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος, 331 cf. Η 89
ἢ τό γε νύσσ' ἐτέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῷ σὺ μάλ' ἐγχρίμψας ἐλάειν σχεδὸν ἅρμα καὶ ἵππους,
αὐτὸς δὲ κλινθήμεν' ἐϋ πλεκτῷ ἐνὶ δίφρῳ
ἦκ' ἐπ' ἀριστερὰ τοῖον· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, Ϝεῖξαί τέ Ϝοι ἡνία χερσί.
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὥς κέν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσῃς κατά θ' ἅρματα Ϝάξῃς· 341ᵇ cf. Θ 403
χάρμα δὲ τοῖσ' ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ 342 cf. Γ 51
ἔσσεται. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,
οὐκ ἔσθ' ὅς κέ σ' ἕλῃ μεταάλμενος οὐδὲ παρέλθῃ,
οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφον ἐσθλοί." 348ᵇ cf. Φ 279
ὣς Ϝειπὼν Νέστωρ Νηλήιος ἂψ ἐνὶ χώρῃ
ἕζετ', ἐπεὶ Ϝῷ παιδὶ Ϝεκάστου πείρατ' ἔϜειπε.
Μηριόνης δ' ἄρα πέμπτος ἐύτριχας ὡπλίσαθ' ἵππους. 351ᵇ = 301

---

331 τεο § 99] τευ mss. || κατατεθνηῶτος § 160] -ειῶτος mss. pleraque.

332 sq.] Ar. secundum schol. V et Eust. sic contrahebat: ἠὲ (ἢ τό γε Eust.) σκῖρος ἔην· νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς. Quae tamen lectio ab Aristarcho non *recepta* sed *commemorata* esse videtur; cf. Ludwich Arist. I p. 113 sq.

332] cf. Φ 405. || νύσσ' ἐτέτυκτο] νύσσα τέτυκτο mss.; νύσσα τέτυκται vHerwerden.

333 τέρματ'] τέρμ' C; *τέρμα Ϝ'? cf. vs. 309.

334 ἐγχρίμψας] cf. Soph. Electr. 721. Activum † (pass. *E* 662 etc.). || ἐλάειν § 191] ἐλάαν mss.

335 αὐτὸς δὲ κλινθήμεν'] κλινθῆναι δὲ καὶ αὐτὸς Plat. Ion. 537*a*. || κλινθήμεν' § 125] -θῆναι mss. || ἐϋ πλεκτῷ ἐνὶ δίφρῳ] ἐυξέστῳ ἐνὶ δίφρῳ D Plat. l. l., ἐυξέστου ἐπὶ δίφρου Xenoph. Symp. IV § 6; cf. Ψ 436.

336 τοῖον Heyne coll. vs. 246] mss. τοῖιν. Vertendum *tantillum*; videatur ad α 209.

337 κένσαι] cf. Ξ 214.

339 κέν § 326] ἄν mss., μή Plat. Ion. 537*b*. || πλήμνη] vid. ad *E* 726.

340 κύκλου ποιητοῖο] pendet a πλήμνη vs. 339. || ἀλέασθαι] infinitivo nonnisi h. l. et Ψ 605 et ξ 400 iungitur.

342 χάρμα δὲ τοῖσ' ἄλλοισιν] ἄλλοισιν μὲν χάρμα Nauck; cf. Γ 51. || ἐλεγχείη] ἀεικίη Apoll. lex.; cf. Λ 314 Χ 100. Nauck ἐλεγχείην deleto vs. 343; cf. Γ 51.

343 ἔσσεται] l. a. ἔσσεαι.

345 *ἕλῃ μεταάλμενος] ἕλῃσι μετάλμενος mss. || παρέλθῃ] -λθοι mss. (cf. *T* 321).

346-348] del. PKnight, solum vs. 348 Leaf.

346 δῖον] πῶλον l. a. in Genev.

348] de re cf. Υ 221 sqq. || γ' ἔτραφον § 252] γ' ἔτραφεν (γ' ἔτρεφεν, τέτραφεν) mss. (cf. Φ 279).

351 ἐύτριχας] cf. vs. 13.

ἂν δ' ἔβαν εἰς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
'πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος 'θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δὲ 'λάχε κρείων Εὔμηλος·
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης, δουρὶ κλειτὸς Μενέλαος·
τῷ δ' ἐπὶ Μηριόνης 'λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδεΐδης, ὄχ' ἄριστος ἐών, 'λάχ' ἐλαυνέμεν ἵππους.
358 'στὰν δὲ μεταστοιχί, 'σήμηνε δὲ τέρματ' Ἀχιλλεύς. 358 = 757
362 οἱ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας ἄειραν,
'πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τε Ϝέπεσσι
ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο, 364 cf. Β 785
νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ' ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα, 366ª = Β 151 cf. Φ 327
χαῖται δ' ἐρρώοντο ἅμα πνοιῇσ' ἀνέμοιο.
ἅρματα δ' ἄλλοτε μὲν χθόν' ἐπίλνατο πουλυβοτείρῃ,
ἄλλοτε δ' ἠίξασκε μετήορα. τοὶ δ' ἐλατῆρες
ἕστασαν ἐν δίφροισι, 'πάτασσε δὲ θυμὸς ἑκάστου 370ᵇ cf. Η 216 Ν 282
νίκης Ϝιεμένων· 'κέκλοντο δὲ Ϝοῖσι Ϝέκαστος
ἵπποισ', οἱ δ' ἐπέτοντο κονίοντες πεδίοιο. 372 cf. 449 372ᵇ = Θ 122
ἀλλ' ὅτε δὴ πύματον 'τέλεον δρόμον ὠκέες ἵπποι 373ª = 768
ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε Ϝεκάστου

359 τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσε
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑϜοῖο,
ὡς μεμνῇτο δρόμους καὶ ἀληθείην ἀποϜείποι.

352 ἐν...ἐβάλοντο] scil. *in galeam*, vid. *Η* 176 sqq.

355 κλειτὸς H] κλυτὸς mss. cett.

356 ὕστατος] -τον C.

357 'λάχ' ἐλαυνέμεν' ἵππους] caesura vitiosa, cf. § 3; tentavimus *'λάχεν ἵππω ἐλαύνειν aut *ἐλάειν 'λάχεν ἵππους.

358 μεταστοιχί] -χὸν D. Adv. nonnisi versu parall. redit; vid. ad *Κ* 473.

359-361] del. Duentzer, vs. 360 Heyne. Phoenicis (de quo vid. ad *Ι* 182) nulla posthac fit mentio; neque intellegi possunt verba μεμνῇτο δρόμους, nisi aurigas saepius circa metam equos egisse statuas; id quod interpolator e versu 373 effecisse videtur, invito tamen poeta.

361 μεμνῇτο Bekker] μεμνέῳτο (nihili formam) mss., μεμνοῖτο Crates; vid. *Ω* 745 et § 8. || δρόμους Ar.] δρόμου mss.

362-372] imitatur Verg. Georg III 103-112.

362 ἅμα] ἄρα mss. pleraque. Cf. Soph. Electr. 711.

363 τε Ϝέπεσσι] τ' ἐπέεσσιν mss.

364 διέπρησσον] vid. ad *Α* 483. || πεδίοιο] vid. ad *Β* 785.

365 ταχέως] adv. nonnisi h. Ap. 108 redit.

367 ἅμα Nauck] μετὰ mss. Vid. *Π* 149 et ad *β* 148.

368 χθόν' ἐπίλνατο] -νι π. mss. || πολυβοτείρῃ D Vrat.] πουλ. mss. cett.; cf. § 21.

369 ἠίξασκε] ἀίξ. mss.

370 ἑκάστου] neglecto Ϝ, Bentley ἁπάντων, Christ ἀγήνωρ, Heyne δίφροις (melius δίφρῳ) θυμὸς δ' ἐπάτασσε Ϝεκάστου, sed parum eleganter iteratur Ϝεκάστου ... Ϝέκαστος vs. 370 sq.

372 πεδίοιο] vid. ad *Β* 785.

373 'τέλεον δρόμον] δρόμον ἔτρεχον C.

374 ἐφ'] sic Ar., ἀφ' olim alii, nunc A² et l. a. apud Eust.; cf. *Γ* 5.

'φαίνετ', ἄφαρ δ' ἵπποισι 'τάθη δρόμος· ὦκα δ' ἔπειτα
αἵ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
τὰς δὲ μετ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι,
Τρώιοι, οὐδ' ἔτι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
αἰεὶ γὰρ δίφροι' ἐπιβησομένοισ' ἐϜεϜίκτην,
πνοιῇ δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὤμω
'θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντ' ἐπετέσθην.
καί νύ κεν ἢ παρέλασσ' ἤ' ἀμφήριστον ἔθηκε, 382 cf. 527
εἰ μὴ Τυδέος υἷι 'κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά Ϝοι ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
τοῖο δ' ἀπ' ὀφθαλμῶν 'χύτο δάκρυα χωομένοιο,
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
οἳ δέ Ϝοι ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος 'λάθ' Ἀπόλλων
Τυδεΐδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
'δῶκε δέ Ϝοι μάστιγα, μένος δ' ἵπποισ' ἐνέηκε·
ἡ δὲ μετ' Ἀδμήτοιο υἱὸν κοτέουσ' ἐβεβήκει,
ἵππειον δέ Ϝ' ἔϜαξε θεὰ ζυγόν· αἳ δέ Ϝοι ἵπποι
ἀμφὶς ὁδοῦ 'δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη,
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη, 394 = Z 42
ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε,
'θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι, τὼ δέ Ϝοι ὄσσε 396ᵇ sq. = P 695 sq.
δακρυόφι 'πλῆσθεν, θαλερὴ δέ Ϝοι ἔσχετο φωνή.

375 'τάθη δρόμος] *accelerabatur impetus*, item vs. 758.

376 αἵ] articulus molestus. || ἔκφερον] vid. l. a. *X* 202 et *γ* 496.

377 ἐξέφερον] vid. l. a. *X* 202 et *γ* 496.

378 Τρώιοι] cf. *E* 222.

379 δίφροι' § 59] δίφρῳ A², δίφρον mss. cett. || ἐπιβησομένοισ' ἐϜεϜίκτην] -νοισιν εἴκτην mss. — Participii futuri (vid. ad *E* 46) similis est usus *λ* 608.

380] imitatus est Soph. Electr. 718 sq. Cf. Ψ 765.

382 παρέλασσ'] -λασσεν mss. pauca; cf. § 16. || ἀμφήριστον] adi. nonnisi vs. 527 redit.

383] ipse scilicet Apollo hos equos curaverat, vid. *B* 766.

387 δέ οἱ] sic Ar.; δ' ἑοὶ Ptolemaeus Ascal., δὲ Ϝοὶ Christ, sed vid. § 95. || κέντροιο] vox nonnisi vs. 430 redit, vs. 384 autem dicitur μάστιξ.

388 ἐλεφηράμενος] cf. *τ* 565 Hes. Theog. 330.

389 μετέσσυτο] διέσσυτο D.

390 ἵπποισ' ἐνέηκε] -σιν ἐνῆκεν mss.

391 Ἀδμήτοιο Christ] -του mss.; de correpta vocis υἱὸν syllaba priore vid. § 17. || κοτέουσ' ἐβεβήκει] -σα βεβ. mss. multa.

392 *δέ Ϝ'(οι) ἔϜαξε] δέ οἱ ἦξε mss., Ϝοι ἔϜαξε Hoffmann Cobet coll. *P* 51. De eliso Ϝοι vid. § 13.

393 ἀμφὶς *separatim* (curru relicto, cf. *Z* 40). Vid. § 316. || ὁδοῦ] *per viam*, ut alias dicitur θέειν πεδίοιο, διαπρήσσειν ὁδοῖο etc. (vid. ad *B* 785). || ἐλύσθη] vid. § 265.

395 περιδρύφθη] comp. †.

396 'θρυλίχθη] verbum nonnisi h. Merc. 488 redit.

397 ἔσχετο] vid. ad *P* 696 *δ* 705.

Τυδεΐδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους, 398 cf. 423
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
ἵπποισ' ἧκε μένος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε. 400 cf. 406
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑϝοῖο· 402b = Τ 399
„ἔμβητον καὶ σφῶι· τιταίνετον ὅττι τάχιστα.
ἦ τοι μὲν κείνοισιν ἐριζέμεν' οὔ τι κελεύω,
Τυδεΐδα' ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε. 406 cf. 400
ἵππους δ' Ἀτρεΐδαο κιχάνετε, μηδὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶιν ἐλεγχείην καταχεύῃ 408b cf. ξ 38
Αἴθη θῆλυς ἐοῦσα· τίη λείπεσθε, φέριστοι;
ὧδε γὰρ ἐκϝερέω, καὶ μὴν τετελεσμένον ἔσται· 410 = π 440 c Α 212
οὐ σφῶιν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται, αὐτίκα δὲ κτενέει ὔμ' ὀξέι χαλκῷ,
αἴ κ' ἀποκηδήσαντες ἀρώμεθα χεῖρον ἄεθλον.
ἀλλ' ἐφομαρτέετον καὶ σπεύδετον ὅττι τάχιστα. 414a = Θ 191
ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω,
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.“ 416a = Η 143
ὣς ἔφαθ', οἳ δὲ ϝάνακτος ὑποδϝείσαντες ὁμοκλὴν 417 sq.a = 446 sq. 417 = Μ 413
μᾶλλον ἐπεδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἔϝιδ' Ἀντίλοχος μενεχάρμης.
ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ϝαλὲν ὕδωρ

405 sq. Ar. —

399 *τῶν*] *ἄνευθ'* coniecit Nauck.
400 *ἔθηκε*] *ἔδωκε(ν)* C L Lips., cf. vs. 406.
402 *ἑϝοῖο*] *ἑῆος* D[1].
405 *Τυδεΐδα'* § 55] *-δεω* mss.
406] locum ab Ar. immerito spretum ratus Lehrs Arist.[2] p. 432 coniecit *νῦν ὤτρυνε... κῦδος ὄρεξεν* coll. *E* 225, 260. || *ἔθηκε*] *ἔδωκεν* C L, cf. vs. 400.
407 *λίπησθον*] *-σθε* pap. 128.
410 *ἐκϝερέω*] *ἐξερέω* mss. || *καὶ μὴν*] *τὸ δὲ καὶ* Bekker.
411 *κομιδὴ*] l. a. *βιοτή*.
412 *δὲ κτενέει ὔμ'* (*ὔμμ'*) Christ] *δ' ὔμμε* vel *ὔμμε κατακτενεῖ* mss.; de pronomine cf. § 92 et de futuro § 147.
413 **ἀποκηδήσαντες ἀρώμεθα*] *-σαντε φερώμεθα* mss. Dualem, quem Aristarchus merito improbavit, correximus coll. *E* 273 *I* 269 *Ψ* 592. — Verbum *ἀποκηδέω* †.
414 *ἐφομαρτέετον* § 191] *-τεῖτον* mss., *ἐφαμαρτεῖτον* Ar.; cf. *M* 412 (*E* 656).
416 *παραδύμεναι*] comp. †.
417 *ὑποδϝείσαντες ὁμοκλὴν*] *ὁμοκλήσαντες ἀπειλὴν* C (voluitne *-ντος -λῇ*?).
418 *ἐπεδραμέτην* D] *ἐπιδρ.* pap. 128 et codd. cett; cf. *K* 354.
419 *ἔϝιδ'*] *ἴδεν* mss.
420-424] semitam per angustum torrentis alveum ducentem tenet Menelaus, Antilochus vero inter hanc semitam et praeruptum torrentis latus suos urguet equos.
420 *ῥωχμὸς*] †, *ῥωγμὸς* Herodian. Apoll. lex. Et. Gud. 70,17 (Suidas utrumque). — Idem vocatur *ἔναυλος* *Π* 71. || *ἔην*] *ἔεν*? vid. § 302.

ἐξέρρηξεν ὁδοῖο, ʼβάθυνε δὲ χῶρον ἅπαντα·
τῇ ῥ' εἶχεν Μενέλαος, ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους 423 cf. 398
ἐκτὸς ὁδοῖ', ὀλίγον δὲ παρακλίνας ἐδίωκε.
Ἀτρεΐδης δ' ἔδϝεισε καὶ Ἀντιλόχῳ ἐγέγωνε·
„Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·
στεινωπὸς γὰρ ὁδός, τάχα δ' εὐρυτέρῃ παρελάσσεις,
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας.“
ὣς ἔφατ', Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε
κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀίοντι ϝεϝοικώς.
ὅσσα δὲ δίσκοι' οὖρα κατωμαδίοιο πέλονται, 431 cf. *Κ* 351ᵇ
ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης, 432 cf. *Ο* 359
τόσσον ἐπεδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρεΐδα', αὐτὸς δὲ ϝεκὼν μεθέηκεν ἐλαύνειν,
μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
δίφρους τ' ἀντρέψειαν ἐυπλεκέας, κατὰ δ' αὐτοὶ
ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης. 437ᵇ = 496
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
„Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος· 439 cf. *Γ* 365
ϝέρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε ʼφάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκοι' οἴσε' ἄεθλον.“
ὣς ϝειπὼν ἵπποισιν ἐκέκλετο ʼφώνησέν τε· 442 = *Θ* 184
„μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ. 443ᵇ cf. 284
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
ἢ ὕμιν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.“
ὣς ἔφαθ', οἱ δὲ ϝάνακτος ὑποδϝείσαντες ὁμοκλὴν 446 sq.ᵃ = 417 sq.

421] del. vHerwerden, in versu 420 scribens *ϝάλη.* || *ἐξέρρηξεν ὁδοῖο*] verba si sana sunt, vert. *viae aliquid effregerat.* || *ʼβάθυνε*] †. || *ἅπαντα*] *ἔνερθεν* Aristoph.

422 *τῇ*] *ᾗ* Ar. || *ἁματροχιὰς*] †.

424 *ὁδοῖ'* § 59] *ὁδοῦ* mss. || *παρακλίνας*] *παρεκκλίνας* Par. 2766, *παρεκλίνας* Lips., l. a. *παρακλινθείς.*

425 *ἐγέγωνε* § 260] *ἐγεγώνει* mss.

426 *ἱππάζεαι*] †.

427 *εὐρυτέρῃ παρελάσσεις*] *-ρηι παρελάσσαι* pap. 128, *-ρῃ παρελάσσαι* schol. V.

430 *κέντρῳ*] cf. vs. 387. || *ὡς*] molestum.

431 *δίσκοι'* § 59] *δίσκου* mss. || *οὖρα*] vid. ad *Κ* 351. || *κατωμαδίοιο*] †; de hoc adiectivo vid. ad *Ο* 352 et cf. *καταλλοφάδεια* *κ* 169.

432 *ἀφῆκεν*] **ἕηκεν*; cf. *Β* 774.

433 *ἐπεδραμέτην*] *ἐπιδρ.* mss.; cf. vs. 418.

434 *Ἀτρεΐδα'* § 55] *-δεω* mss. || *δὲ* Heyne] *γὰρ* mss.; Fick *ῥα*, at vid. § 11. || *ἐλαύνειν*] *-νων* pap. 128¹.

435 *συγκύρσειαν*] comp. †, cf. *ἐγκ.* *Ν* 145 (simplex *Γ* 23 etc.).

436 *ἀντρέψειαν* Ernesti] *ἀνατρέψειαν* Vrat., *ἀνστρέψειαν* mss. cett. || *ἐυπλεκέας*] cf. vs. 335.

440 *φάμεν*] sic Ar.

441 *ὅρκοι'* § 59] *ὅρκου* mss. || *οἴσε'* § 117] *οἴσῃ* (*-σει* L) mss.

444 *καμόντα*] *-ντε* pap. 128.

445 *ὕμιν* § 19 et 92] *ὑμῖν* mss.

μᾶλλον ἐπεδραμέτην, τάχα δέ σφισιν ἄγχ' ἐγένοντο. 447ᵇ cf. Θ 117
Ἀργέιοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσοράοντο 448 cf. 495
ἵππους· τοὶ δ' ἐπέτοντο κονίοντες πεδίοιο. 449 cf. 372
πρῶτος δ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἐφράσαθ' ἵππους·
ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ, 451ᵇ cf. Ξ 8
τοῖο δ' ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας 452ᵇ cf. Μ 273
ἔγνω, 'φράσσατο δ' ἵππον ἀριπρεπέα προέχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν, ἐν δὲ μετώπῳ
λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠύτε μήνη.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· 456 = 271
„ὦ φίλοι, Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες, 457 = Β 79
οἶος ἐγὼν ἵππους αὐγάζομαι ἠὲ καὶ ὗμες;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλος δ' ἡνίοχος ϝινδάλλεται· αἳ δέ ποθ' αὖθι
ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν,
ἠὲ τὸν ἡνίοχον 'φύγον ἡνία, οὐδ' ἐδυνάσθη
εὖ σχεθέμεν περὶ τέρμα, καὶ οὐκ ἐτύχησε ϝελίξας·
ἔνθα μιν ἐκπεσέμεν ὀίω σύν θ' ἅρματα ϝᾶξαι,
αἳ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ϝίδεσθε καὶ ὗμες ἀνασταδόν· οὐ γὰρ ἐγώ γε
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ

462 ἦ τοι γὰρ τὰς πρῶτα 'ϝίδον περὶ τέρμα βαλούσας,
νῦν δ' οὔ πη δύναμαι ϝιδέμεν· πάντῃ δέ μοι ὄσσε
Τρωικὸν ἂμ πεδίον παπταίνετον εἰσοράοντι.

447 ἐπεδραμέτην] ἐπιδρ. mss.; cf. vs. 418. || ἄγχ' ἐγένοντο D] ἄγχι γένοντο mss. cett.
448 εἰσοράοντο § 191] -ρόωντο mss.
449 τοὶ] οἱ pap. 128 D H. || πεδίοιο] vid. ad Β 785.
452 τοῖο] scil. *Diomedis*. || ἐόντος] ἰόντος pap. 128 D. || ἀκούσας] ἀκούων pap. 128.
453 προέχοντα] προύχοντα mss.
454 τόσον] glossographi interpretabantur σῶμα; hinc δέμας legitur Apoll. lex. Vid. ad Δ 130. || ἦν] ἔεν? vid. § 302.
455 σῆμ' ἐτέτυκτο] σῆμα τέτυκτο Ar. et mss. nonnulla. || περίτροχον] †. Imitatur Moschus II 84 sq. || μήνη] vid. ad Τ 374.
458 αὐγάζομαι] †, cf. Hes. Op. 478 et αὐγή Β 456 etc. || ὗμες § 92] ὑμεῖς mss.
459 παροίτεροι] adi. nonnisi vs. 480 redit; cf. § 88.
460 ποθ' αὖθι § 322] που αὐτοῦ mss.
461 κεῖσε] κεῖθι Zen. Aristoph.; vulgatam Ar. defendit coll. Δ 455 Λ 21. Eadem est discrepantia Λ 528 Μ 368.
462-464] eiecit EKurtz; metam praetervehentes cernere non potuit Idomeneus.
463 πη] sic Aristoph., πω mss. complura. || ϝιδέμεν § 126] ἰδέειν mss.
464 παπταίνετον] -ται Ar.; cf. vs. 477. || εἰσοράοντι § 191] -ρόωντι mss.
465 'φύγον] φύγεν A Barocc. Vrat. Cf. Θ 137 Λ 128.
466 σχεθέμεν § 126] σχεθέειν mss.
467 ἐκπεσέμεν § 126] -έειν mss. || σύν] κατά mss. nonnulla.
468 ἐξηρώησαν] comp. †.
469 ὗμες § 92] ὔμμες vel ὕμμες mss.
470-472 ἀνὴρ ... υἱὸς] cf. Δ 194.

Τυδέος ἱπποδάμοιο υἱὸς, κρατερὸς Διομήδης.“
  τὸν δ' αἰσχρῶς ἐνένιπεν Ὀιλῆος ταχὺς Αἴας· 473ᵃ = σ 321
„Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἳ δ' ἔτ' ἄνευθε
ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον
οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκ δέρκεται ὄσσε·
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι, αἳ τὸ πάρος περ,
Εὐμήλοι', ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.“
  τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
„Αἶαν, νεῖκος ἄριστε, κακοφραδὲς, ἄλλα τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής. 484ᵇ = Π 35
δεῦρό νυν, ἢ τρίποδος περιδωόμεθ' ἠὲ λέβητος,
Ϝίστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα θήομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι, — ἵνα γνώῃς ἀποτίνων.“
  ὣς ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆος ταχὺς Αἴας 488 = 754
χωόμενος χαλεποῖσιν ἀμείψασθαι Ϝεπέεσσι.

---

471 *Αἰτωλὸς γενεὴν, μετὰ δ' Ἀργείοισι Ϝανάσσει,*
471 Ar. — || 479 Ar. —

---

472 **ἱπποδάμοιο υἱὸς*] *-μοιο πάις* L Lips., *-μου υἱὸς* mss. cett.; cf. § 17.

473 *ἐνένιπεν*] *ἐνένισπεν* mss. nonnulla; *αἰσχροῖσιν ἔνισσεν* proponitur apud Nauckium, cf. Ω 238. || *Ὀιλῆος*] vid. ad Β 527.

474 *πάρος*] *ante iustum tempus* (*inconsiderate*)? Coll. Μ 409 vHerwerden coniecit *τ' ἄρ' ὡς*. || *λαβρεύεαι*] nonnisi vs. 478 redit verbum (*λάβρος* Β 148 etc., *λαβραγόρης* Ψ 479).

475 *πεδίοιο*] vid. ad Β 785. || *δίενται*] forma insolita, neque alias intransitive usurpatur stirps *δι-*. Cf. § 199.

476] Idomeneus *μεσαιπόλιος* est; vid. Ν 361. || *τοσοῦτον*] hoc uno loco superlativo iungitur.

477 *ὀξύτατον*] l. a. *-τερον*. || *δέρκεται*] vid. § 52 et ad Μ 466.

478 *μύθοις*] forma novicia, vid. § 60; *μύθους* Stob. Flor. 36,7, Nauck *ἔπεσιν*. || *λαβρεύεαι*] cf. vs. 474.

479 *λαβραγόρην*] †, vid. ad vs. 474.

480 *αὐταὶ*] cf. § 98; *αὗται* vel *αὖται* (*αὖτε*) mss. multa, Cauer *αὖ ταὶ*. || *παροίτεραι*] cf. vs. 459.

481 *Εὐμήλοι'* § 59] *-λου* mss. || *εὔληρα*] †; idem valet quod *ἡνία*.

483 *νεῖκος*] sic Ar. coll. Γ 39, *νείκει* (vel *νείκη*) mss. pleraque. || *κακοφραδὲς*] † (*κακοφραδίη* h. Cer. 227). || *τε*] *δὲ* Heyne. Cf. § 328².

484 *ὅτι*] *καὶ* Nauck.

485 *νυν*] *νὺ*? cf. Κ 105. || **περιδωόμεθ'*] *περιδώμεθα* L Barocc. Harl. Townl. schol. Aristoph. Ach. 771 Eq. 791 Hesych. s. v. *δεῦρο* et *περιδώμεθα, περιδώμεθον* pap. 128 et codd. cett. Formas in *-μεθον* primus damnavit Elmsley ad Aristoph. Ach. 733; cf. § 122. Verbum *περιδίδοσθαι pignore certare* redit ψ 78, cf. Aristoph. Ach. 772 Eq. 791 Nub. 644 etc.

486 *Ϝίστορα*] cf. Σ 501. || *θήομεν* § 122] *θείομεν* mss.

487 *γνώῃς*] *γνοίης* mss. pleraque (*γνοης* pap. 128¹, *γνοηις*²).

488 *Ὀιλῆος*] vid. ad Β 527.

καί νύ κε δὴ προτέρω ἔτ' ἔρις 'γένετ' ἀμφοτέροισι, 490 cf. 526
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ 'φάτο μῦθον· 491 cf. 734
„μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ϝεπέεσσι,
Αἴας Ἰδομενεύς τε, κακοῖσ', ἐπεὶ οὐδὲ ϝέϝοικε·
καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζῃ. 494 cf. ζ 286 / 494b cf. α 47 χ 315
ἀλλ' ὔμες ἐν ἀγῶνι καθήμενοι εἰσοράεσθε 495 cf. 448
ἵππους, οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης 496b = 437
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ϝέκαστος
ἵππους Ἀργεΐων, οἳ δεύτεροι οἵ τε πάροιθε.“
ὣς 'φάτο, Τυδεΐδης δὲ μάλα σχεδὸν ἦλθε διώκων·
μάστιγ' αἰὲν ἔλαυνε κατωμαδόν, οἱ δέ ϝοι ἵπποι
ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον. 501 cf. ν 83 / 501b = Ξ 282
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον, 502b = Λ 536
ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
ἵπποισ' ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
'γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθε
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντ' ἐπετέσθην.
'στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς 507b cf. Ν 705
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ 'θόρε παμφανάοντος, 509 = Θ 320
'κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν. οὐδ' ἐμάτησε
ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως 'λάβ' ἄεθλον,
'δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
καὶ τρίποδ' οὐατόεντα φέρειν· ὃ δ' ἔλυεν ὑφ' ἵππους.
τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήιος ἤλασεν ἵππους,
κέρδεσιν, οὐ τάχεϊ γε, παραφθάμενος Μενέλαον· 515a cf. Η 142b

---

490 κε δὴ] κετι pap. 128.
491 'φάτο μῦθον] l. a. κατέρυκε, cf. vs. 734.
492 ἀμείβεσθον] ἀμείβεσθαι pap. 128[1], ἀμείψασθαι D.
493] del. Heyne, fortasse iure. || Αἴας Ἰδομενεύς Wackernagel] Αἶαν Ἰδομενεῦ mss., Αἶάν τ' Ἰδομενεῦ Barnes. || κακοῖσ'] mire languet, ἄναξ mavult schol. V. || οὐδὲ] *οὔ τι? cf. Α 119.
494 ῥέζῃ H] ῥέζοι mss. cett.; cf. ζ 286.
495 ὔμες § 19 et 92] ὑμεῖς mss. || εἰσοράεσθε § 191] -ράασθε (-σθον L Lips.) mss.
498 δεύτεροι] θ' ὕστεροι Nauck.
500 μάστιγ'] μάστιγι δ' vel μάστι δ' mss. Forma μάστι cum dativo Θέτι (Σ 407, ubi vid.) comparatur in schol., cum κνῆστι (?) Λ 640 a Bentleio; at cf. Ψ 510. Vid. ad Υ 171 ο 182. || κατωμαδὸν] cf. Ο 352.
501 πρήσσοντε] vid. ad Λ 483.
503 δὲ χρυσῷ] δ' αὖ χαλκῷ Plut. Mor. 747 *e*.
504 ἐπέτρεχον] sic Ar., alii olim -χεν.
504b-506a] de hyperbola cf. Υ 227.
505 ἐπισσώτρων] ὀπ. D; vid. ad Ε 725. || ἁρματροχιὴ] †.
506 (ἐ)πετέσθην] l. a. πέτεσθον.
509 παμφανάοντος § 191] -νόωντος mss.
510 ἐμάτησε] vid. ad Ξ 110.
513 οὐατόεντα Heyne] ὠτόεντα vel ὠτώεντα mss.; cf. vs. 264.
515 *οὐ τάχεϊ] οὔ τι τάχει mss.; cf. § 71.

ἀλλὰ καὶ ὧς Μενέλαος ἔχ' ἐγγύϑεν ὠκέας ἵππους.
ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς τε Ϝάνακτα
ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι, —
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
οὐραῖαι, ὃ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
χώρη μεσσηγύς, πολέος πεδίοιο ϑέοντος, — 521ᵇ cf. Δ 244
τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
'λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ εἰς δίσκουρ' ἐλέλειπτο,
ἀλλά μιν αἶψ' ἐκίχανεν· ὀφέλλετο γὰρ μένος ἠὺ
ἵππου τῆς Ἀγαμεμνονέης, καλλίτριχος Αἴϑης.
εἰ δέ γ' ἔτι προτέρω 'γένετο δρόμος ἀμφοτέροισι, 526 cf. 490
τῷ κέν μιν παρέλασσ' οὐδ' ἀμφήριστον ἔϑηκε. 527 cf. 382
  αὐτὰρ Μηριόνης, ϑεράπων ἐὺς Ἰδομενῆος, 528 cf. 860
'λείπετ' ἀγακλεέος Μενελάου δουρὸς ἐρωήν·
βάρδιστοι μὲν γάρ Ϝοι ἔσαν καλλίτριχες ἵπποι,
ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν' ἅρμ' ἐν ἀγῶνι.
  υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυϑεν ἄλλων,
ἕλκων ἅρματα καλά, ἐλαύνων πρὸ Ϝέϑεν ἵππους.
τὸν δὲ Ϝιδὼν ᾤκτιρε ποδάρκης δῖος Ἀχιλλεύς, 534 = Π 5
στὰς δ' ἐν Ἀχαιοῖσιν Ϝέπεα πτερόεντ' ἀγόρευε· 535 cf. Χ 377
„λοῖσϑος ἀνὴρ ὄχ' ἄριστος ἐλαύνειν μώνυχας ἵππους.

---

517 *τε* Nauck] *ῥά τ'* mss.
518 *πεδίοιο*] vid. ad *Β* 785.
519 *ψαύουσιν*] vid. ad *Ν* 132. || *ἐπισσώτρου*] *ὀπ.* A; vid. ad *Ε* 725.
520 *οὐραῖαι*] † (*οὐρή* *Υ* 170 *κ* 215 *ρ* 302).
521 *πεδίοιο*] vid. ad *Β* 785.
523 *δίσκουρ' ἐλέλειπτο*] *δίσκουρα λέλ.* Ar. mss. pleraque, *δίσκου οὖρα λέλ.* (cf. vs. 431) Z et olim alii, metro invito nisi deleatur *καί*; cf. § 9. — Vox *δίσκουρα* †; vid. ad *Κ* 351.
524 *αἶψ' ἐκίχανεν*] *αἶψα κ.* mss.
526 sq.] imitatur Verg. Aen. V 325 sq.: *spatia et si plura supersint | transeat elapsus prior ambiguumve relinquat.*
526 *γ'* Burney] *κ'* mss.
527 *οὐδ'*] sic Ar., *ἦ* Zen., hinc Nauck *τῷ κέ μιν ἦ παρέλασσ' ἦ*; vid. vs. 382. || *ἀμφήριστον*] cf. vs. 382.
529 *ἀγακλεέος* § 73] *-κλῆος* mss. || *Μενελάου*] *-λάοο*? cf. § 59.
530 *βάρδιστοι*] *-σται* Syr. Vrat. || *Ϝοι*] *τῷ* pap. 128.
531 *ἥκιστος*] *ἥκιστος* mss. pauca propter positivum *ἦκα*, quem Ar. iure huc referebat (cf. § 87). Superlativus †. || *ἦν*] *ἔεν*? vid. § 302.
532 *πανύστατος...ἄλλων*] vid. ad *Α* 505.
533] del. Bentley. || *πρὸ Ϝέϑεν* vHerwerden] *πρόσσωϑ'* Lips. Eust. (invito metro, cf. § 2); *πρόσσοϑεν* Ar. et mss. cett., *ὠκέας* Zen.; vulgata corrupta, *πρό(σ)σωϑεν* enim dicendum erat, id autem *eminus* significaret (Ar. interpretabatur *a fronte*). Cf. *Ν* 157, 803. Peppmueller *κάλ', ἵππους πρόσσωϑεν ἐλαύνων*, Grashof *κάλ', ἐλόων (ἐλάων) πρόσϑεν Ϝέϑεν ἵππους*.
534 *ᾤκτιρε*] *ᾤκτειρε* mss.; vid. ad *Λ* 814.
535 *ἐν Ἀχαιοῖσιν* Nauck] (*ἄρ'*) *ἐν Ἀργείοισ(ιν)* mss.; cf. § 60. Correctionem tuetur versus parall. || *πτερόεντ' ἀγόρευε*] *-ντα προσηύδα* mss. nonnulla.
536 *λοῖσϑος*] †, cf. *λοισϑήιος* vs. 751, 785. || *ὄχ' ἄριστος* PKnight] *ὥριστος* mss.; cf. § 9. || *ἐλαύνειν* Bentley] *-νει* mss.; Nauck mavult *ἐλαυνέμεν ὠκέας*.

ἀλλ' ἄγε δή Ϝοι δῶμεν ἀέθλια, ὡς ἐπιϜεικές, 537 cf. ϑ 389
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός." 537a cf. ν 13
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνεον ὡς ἐκέλευε.
καί νύ κέ Ϝοι 'πόρεν ἵππον, — ἐπήνεσσαν γὰρ Ἀχαιοί, —
εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς, 541b = Ε 565
Πηλεΐδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
„ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
τοῦτο Ϝέπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
τὰ φρονέων ὅτι Ϝοι 'βλάβεν ἅρματα καὶ ταχέ' ἵππω
αὐτός τ' ἐσθλὸς ἐών. ἀλλ' ὤφελεν ἀθανάτοισι
εὔχεσθαι· τῷ κ' οὔ τι πανύστατος ἦλθε διώκων.
εἰ δέ μιν οἰκτίρεις καί τοι φίλος ἔπλετο θυμῷ, 548 sq.a cf. Ξ 337 sq.
ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς
καὶ πρόβατ', εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι·
τῶν Ϝοι ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνέσσωσιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι."
ὣς 'φάτ', ἐμείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς
χαίρων Ἀντιλόχῳ, ὅτι Ϝοι φίλος ἦεν ἑταῖρος·
καί μιν ἀμειβόμενος Ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις Ϝοίκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
δώσω Ϝοι θώρηκα, τὸν Ἀστεροπαῖον ἀπέϜραν, 560 cf. Φ 183
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο 560b cf. 808
ἀμφιδεδίνηται· πολέος δέ Ϝοι ἄξιος ἔσται." 562 cf. ϑ 405

---

537 δῶμεν] forma novicia, PKnight ἄγε Ϝοι δώωμεν. Cf. ϑ 389 ν 13 et § 122. || ἀέθλια Bothe] ἀέθλιον mss.

538] olim nonnulli addebant τὰ τρίτα δ' Ἀντίλοχος, τέτρατα (τἔτρ. novicium, vid. § 25) ξανθὸς Μενέλαος, | πέμπτα δὲ Μηριόνης, θεράπων ἐὺς 'Ιδομενῆος, quae iure sprevit Ar.

539 ὡς ἐκέλευε] ἠδ' ἐκέλευον mss. pauca.

540 κέ] sic A Harl., κεν mss. cett. || ἐπήνεσσαν § 295] -νεσαν D Lips., -νεον Vrat., -νησαν mss. cett. || Ἀχαιοί] l. a. οἱ ἄλλοι.

542 δίκῃ] suspectum.

547 τῷ κ' Bentley] τῶ(ι) κεν C^1 L Lips. Mosc. Z, τό κεν pap. 128 et codices cett.; vid. § 96 et σ 402. || ἦλθε διώκων] ἤλυθεν ἄλλων D.

548 οἰκτίρεις] οἰκτείρεις mss.; vid. ad Λ 814. || φίλος] sic Ar., φίλον mss. nonnulla.

550 πρόβατ'] vid. ad Ξ 124. || τοι] οἱ D.

551 ἔπειτ'] *posthac*, ut υ 63 (?). || μεῖζον] sic (non μεῖζον') Ar. teste Apoll. lex.

552 αἰνέσσωσιν § 295] αἰνήσωσιν mss.

555 'φάτ', ἐμείδησεν] φάτο, μ. mss.

558 εἰ...δή] vid. ad Α 61.

560 ἀπέϜραν § 150] ἀπηύρων vel -ηῦρον mss.

561 χεῦμα] †. De re cf. Λ 25 Σ 613.

562 ἀμφιδεδίνηται] cf. Γ 391. Significari videntur οἶμοι (Λ 25, et 34?). || ἄξιος] ἄξιον mss. complura.

ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
564 οἰσέμεναι κλισίηθεν· ὃ δ' ᾤχετο καί ϝοι ἔνεικε.
566 τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσε
Ἀργεΐους· ὃ δ' ἔπειτα μετηύδα ϝισόθεος φώς·
„Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας.
ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, 'βλάψας δέ μοι ἵππους,
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν. 572ᵇ cf. 577
ἀλλ' ἄγετ', Ἀργεΐων ἡγήτορες ἠδὲ μέδοντες, 573 cf. Β 79
εἰς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ,
μή ποτέ τις ϝείπῃσιν Ἀχαιῶν χαλκοχιτώνων· 575ᵃ = Χ 106
‚Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι ϝοι πολὺ χείρονες ἦσαν 577ᵇ cf. 572
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε.'
εἶ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔ τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν, ἰθεῖα γὰρ ἔσται·
Ἀντίλοχ', εἶ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστί, 581 cf. Ρ 685
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχων ῥαδινήν, ᾗ περ τὸ πρόσθεν ἔλαυνες,
ἵππων ἁψάμενος γαιήοχον ἐνοσίγαιον
ὄμνυθι μή τι ϝεκών γε ἐμὸν δόλῳ ἅρμα πεδῆσαι."
τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
„ἄνσχεο νῦν· πολλὸν γὰρ ἐγώ γε νεώτερός εἰμι
σεῖο, ϝάναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων. 588ᵇ cf. Β 707
ϝοῖσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·

565 Εὐμήλῳ δ' ἐν χέρσ' ἐτίθει· ὃ δ' ἐδέξατο χαίρων. 565 cf. Α 446
581 Ar. —

565] om. pap. 128 Syr. A C H Townl. Vrat. || *χέρσ' ἐτίθει*] *χερσὶ* (*χειρὶ* L) *τ.* mss.

568 *χειρὶ*] sic Ar., *χερσὶ* mss. nonnulla; vid. Α 585 β 37 et ad Κ 328. || *σκῆπτρον*] vid. ad Α 234.

569 *μετηύδα*] *-δαε*? vid. § 195.

572 *ἦσαν*] *εἰσιν* Syr.

574 *ἐπ' ἀρωγῇ*] *in gratiam.*

578 *ἵπποι, αὐτὸς*] hiatus vitiosus; vid. § 14. || *ἀρετῇ*] *γενεῇ* Christ coll. Ο 165 sq.

579 *εἶ'* § 328] *εἰ δ'* mss. || *μ'(οι)*] vid. Μ 211 et § 13.

580 *ἰθεῖα*] sc. *δίκη*, quae vox e verbo *δικάσω* est supplenda. Cf. Σ 508.

581 *εἶ'* § 328] *αἲ δ'* vel *εἰ δ'* mss.

583 *ἔχων* Eust.] *ἔχε* mss. || *ῥαδινὴν*] adi. nonnisi Σ 576 h. Cer. 183 redit.

584 *ἐνοσίγαιον* § 21] *ἐννοσ.* mss.

585 *ὄμνυθι*] cf. § 284. || *μή τι* Bekker] *μηδὲν* Pausan. VII 21, *μὴ μὲν* mss.; Heyne probabiliter *μὴ μὲν ἐμὸν σὺ ϝεκών.* || *γε* Nauck] *τὸ* mss.; vid. ad Α 185.

587 *ἄνσχεο*] sic Ar. (vid. schol. Townl.), l. a. *ἴσχεο.* || *γε νεώτερός εἰμι*] de caesura vid. § 3.

κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις. 590 cf. *Κ* 226
τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς 591a = *Τ* 220
δώσω, τὴν ἀρόμην. εἰ καί νύ τι ϝοίκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα
ἐκ θυμοῦ πεσέμεν καὶ δαίμοσιν ἔμμεν' ἀλιτρός."
ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
ἐν χείρεσσ' ἐτίθει Μενελάου. τοῖο δὲ θυμὸς
ἰάνθη, ὡς εἴ τε περὶ σταχύεσσιν ἐϝέρση
λήιον ἀλδήσκον, ὅτε τε φρίσσωσιν ἄρουραι·
ὣς ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη. 600b cf. *Ω* 321 *ο* 165
καί μιν φωνήσας ϝέπεα πτερόεντα προσηύδα·
„Ἀντίλοχος, νῦν μέν τοι ἐγὼν ὑποϝείξομαι αὐτὸς
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων 603b cf. *Υ* 183
ἦσθα πάρος· νῦν αὖτε νόον 'νίκησε νεοίη.
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας 607 cf. *Ι* 492
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς εἵνεκ' ἐμεῖο·
τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε, 610b = *Α* 302
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής." 611b = *Ο* 94
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι 'δῶκεν ἑταίρῳ

---

592 *τι* GHermann] *κεν* mss.

593 *ἐπαιτήσειας*] comp. †, *ἀπαιτήσειας* pap. 128 et l. a. apud Eust. || *ἄφαρ*] cf. *β* 169.

595 *ἐκ θυμοῦ*] vid. ad *Α* 562. || *πεσέμεν* § 126] *πεσέειν* mss.; verbum corruptum ducit vHerwerden. || *ἔμμεν'* § 125] *εἶναι* mss.

597 *χείρεσσ' ἐτίθει*] -*σσι τ.* mss. || *Μενελάου*] -*οο*? cf. § 59.

598 *περὶ σταχύεσσιν*] suspecta est forma recentior pro *ἀσταχύεσσιν* (vid. tamen *υ* 212). Ecquid **ἐπ' ἀσταχύεσσιν*? vid. *Β* 148. Legit *περὶ* Apollonius Rhodius, qui locum imitatus est III 1018 sqq. || *ἐϝέρσῃ* Heyne (dubitanter)] *ἐέρσῃ* mss. (item Apollonius Rh. l. l.). Emendationem tuetur Aesch. Ag. 1391 sq.

599 *λήιον ἀλδήσκον, ὅτε τε* Capelle] *ληίου ἀλδήσκοντος, ὅτε* mss.; verbum *ἀλδήσκω* † (cf. *ἀλδάνω* *σ* 70 *ω* 368). || *φρίσσωσιν* pap. 128 Townl. Vrat.] *φρίσσουσιν* mss. cett.

600 *σοὶ*] *τοι* pap. 128 A². || *μετὰ*] *ἐνὶ* Nauck.

602 *Ἀντίλοχος* Cobet] -*χε* mss. || *τοι*] *κεν* pap. 128.

602 sq. *ὑποϝείξομαι ... χωόμενος*] *irasci desistam*. Hoc uno loco *ὑποϝείκω* participium adsciscit.

603 *παρήορος*] cf. *Η* 156. || *ἀεσίφρων*] cf. *Υ* 183 et *Γ* 108.

604 *νεοίη*] sic Ar., *νόημα* Antimachus (e coniectura?) legebat (*νέον νίκησε νόημα* eius lectionem fuisse suspicatur Heyne; vid. *υ* 82). Vox †, vix sana, sed probabilis emendatio nondum est prolata.

605 *δεύτερον*] l. a. *ὕστερον*. Hoc uno loco adv. (= *in posterum*) imperativo iungitur. || *ἀλέασθαι*] vid. ad vs. 340.

ἵππον ἄγειν· ὃ δ' ἔπειτα λέβηθ' ἕλε παμφανάοντα. 613ᵇ = τ 386
Μηριόνης δ' ἀνάειρε δύω χρυσοῖο τάλαντα
τέτρατος, ὡς ἔλασεν. πέμπτον δ' ὑπελείπετ' ἄεθλον,
ἀμφίθετος φιάλη· τὴν Νέστορι 'δῶκεν Ἀχιλλεὺς
Ἀργεΐων ἀν' ἀγῶνα φέρων, καὶ ἔϜειπε παραστάς·
„τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω, 618ᵇ = δ 600 cf. α 312
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
ὄψε' ἐν Ἀργεΐοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχέσσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ' ἀκοντιστὺν εἰσδύσεαι, οὐδὲ πόδεσσι
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει." 623ᵇ cf. Δ 321 h. Ven. 234
ὣς Ϝειπών Ϝ' ἐν χέρσ' ἐτίθει· ὃ δ' ἐδέξατο χαίρων, 624 = Λ 446
καί μιν φωνήσας Ϝέπεα πτερόεντα προσηύδα·
„ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔϜειπες· 626 = σ 170 cf. Α 286
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες 627ᵃ = Ν 512
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ' ὣς ἡβάοιμι βίη τέ μοι ἔμπεδος εἴη, 629 = Η 157
ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα 'θάπτον 'Επειοὶ
Βουπρασίῳ, παῖδες δὲ 'θέσαν βασιλῆος ἄεθλα·
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ 'γένετ', οὔτ' ἄρ' 'Επειῶν 632 cf. Β 553
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ϝήνοπος υἱόν,
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·

626 om. Ar.

613 *παμφανάοντα* § 191] *-νόωντα* mss.
614 *δύω*] *δύο* mss. nonnulla.
616 *ἀμφίθετος*] cf. vs. 270. || *φιάλη*] cf. vs. 243.
618] vid. ad ο 125.
620 *ὄψε'* § 117] *ὄψῃ* vel *ὄψει* mss.
621 *μαχέσσεαι* § 291] *μαχήσεαι* mss.
622 *ἀκοντιστὺν*] †, vid. ad Π 328. || *εἰσδύσεαι*] *ἐσδ.* Ar. et mss. pleraque, *ἐνδύσεαι* A G H, *ὑποδύσεαι* D.
623 *κατὰ .... ἐπείγει*] comp. nonnisi h. Ven. 234 redit. || *ἐπείγει*] *ἔπεισιν*, *ἱκάνει* mss. complura, *ὀπάζει* l. a. in schol. Cf. Δ 321.
624 *Ϝ'(οι)] addidimus. || *χέρσ' ἐτίθει*] *χερσὶ τ.* mss.
626] ex Aristarchi ad vs. 627 observatione „*ἀπὸ τοῦ γὰρ ἦρκται, τὸ αἰτιατικὸν προτάξας*" Cobet effecit eum versum 626 damnasse aut non legisse; omittit autem pap. 128 (in ora superiore addidit corrector).
627 *φίλος, πόδες*] *φίλοι, πόδες* C Vrat. Structura durior; Duentzer coniecit *ποδῶν, φίλος*, vid. Ν 512.
628 *ἐπαΐσσονται*] *ἀπ.* L et l. a. apud Eust. fortasse recte, vid. Hes. Theog. 150.
629 *ἡβάοιμι* § 190 et 191] *ἡβώοιμι* mss.; de optativo vid. ad Δ 314.
631 *βασιλῆος ἄεθλα*] haec iungenda, ut Χ 164 Hes. Op. 654.
634 *Ϝήνοπος*] *Οἴνοπος* mss. nonnulla, cf. Ξ 445 Π 401.
635 *πάλῃ*] *πάλην* Ar. Vrat. (H); vox nonnisi θ 206 redit. || *μοι ἀνέστη*] *contra me surrexit.* Redit locutio Ψ 677, (709) σ 334.

Ϝίφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
638 *οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε.*
641 *οἳ δ' ἄρ' ἔσαν δίδυμοι· ὃ μὲν ἔμπεδον ἡνιόχευε,*
ἔμπεδον ἡνιόχευ', ὃ δ' ἄρα μάστιγ' ἐκέλευε.
ὥς ποτ' ἔα· νῦν αὖτε νεώτεροι ἀντιαόντων
Ϝέργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
645 *πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσι.*
ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέιζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
648 *ὥς με' αἰεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω.* 648b cf. Λ 561
650 *σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοϜεικέα δοῖεν."*
ὣς 'φάτο, Πηλεΐδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ᾤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλεΐδαο.

αὐτὰρ ὃ πυγμαχίης ἀλεγεινῆς 'θῆκεν ἄεθλα·
ἡμίονον ταλαϜεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι 654a = 662
655 *ϜεξϜετέα δμητὴν, ἥ τ' ἀλγίστη δαμάσασθαι·* 655a = 266
τῷ δ' ἄρα νικηθέντι 'τίθει δέπας ἀμφικύπελλον.

---

639 *πλήθεϊ πρόσθε βαλόντε, ἀγασσαμένω περὶ νίκης,*
οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι 'λείπετ' ἄεθλα.
649 *τιμῆς, ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.*

---

637 *ὑπειρέβαλον*] *ὑπερέβαλον* D G H; defendi nequit diphthongus *ει* , vid. § 315.

639 sq.] del. Lehrs Arist.[2] p. 432 sq.

639 *πλήθεϊ*] quid h. l. significet dicere nemo potuit; Monro *πληθυῖ* mavult, nihilo melius tamen. || *βαλόντε* Townl. et schol. *E* 856] *-ντες* mss. cett. || *ἀγασσαμένω* l. a. in schol.] *-νοι* mss.

640 *αὐτόθι*] *αὐτόφι* Ar. et mss. multa; vid. ad *M* 302.

641 *δίδυμοι*] Ar., Hesiodo teste adhibito, interpretabatur *διφυεῖς καὶ συμπεφυκότας ἀλλήλοις*, ita ut pro *uno* homine haberi possent; hac fraude Nestorem victum esse.

642] de epanalepsi vid. ad *Υ* 372. || *μάστιγ' ἐκέλευε*] *-γι κέλ.* mss.

643 *ἔα*] *ἔον* mss.; vid. *Λ* 762 et § 302. || *ἀντιαόντων* § 191] *-ιοώντων* mss.

646] del. vHerwerden. || *καὶ*] imperativo *ἴθι* additum suspicionem movet, item *Ω* 336 (*σ* 171).

648 *με'* § 92] *μευ* mss. || *αἰεὶ* pap. 128[2]] *ἀεὶ* mss. cett.; cf. § 17 et 324. || *μέμνησαι*] cf. *Φ* 442. || *ἐνηέος*] *ἐνηής* mavult vHerwerden.

649] del. Nauck; si genuinus esset, sic fere posset corrigi: **τιμῆς τῆς με ϜέϜοικε τετιμῆσθ' Ἀργεΐοισι*; cf. § 60 et *Ψ* 535. In G extat *μετ' Ἀχαιούς*, unde Nauck coniecit *κατ' Ἀχαιούς*. || *ἧς*] ad explicandum genitivum sunt qui *Υ* 181 *ω* 30 conferant.

652 *αἶνον*] *laudationem* (= *ἔπαινον* apud posteros) vox significat etiam *Ψ* 795 *φ* 110, *fabulam ethicam* vero *ξ* 508 Hes. Oper. 202 Archil. fr. 86 et 88, *dicterium* denique apud tragicos.

653 *πυγμαχίης*] vox nonnisi *Ψ* 665 h. Ap. 149 redit; vid. ad *Θ* 246. || *ἄεθλα*] *-λον* mss. nonnulla.

654 *κατέδησ' ἐν*] *κατέθηκεν* D.

655 *ἐξετέα δμητὴν* Naber CNauck] *ἐξετέ' ἀδμήτην* mss.; vid. ad vs. 266.

ʼστῆ δʼ ὀρθὸς καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· 657 sq. = 271 sq.
„Ἀτρεΐδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω, 659 = 802
πὺξ μάλʼ ἀνασχομένω πεπληγέμενʼ. ᾧ δέ κʼ Ἀπόλλων
δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί, 661ᵃ = Χ 257
ἡμίονον ταλαϝεργὸν ἄγων κλισίηνδε νεέσθω· 661ᵇ = Ω 688 662ᵃ = 651
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.“ 663ᵇ = 667ᵇ
ὣς ἔφατʼ, ὤρνυτο δʼ αὐτίκʼ ἀνὴρ ἠύς τε μέγας τε 664ᵇ = Γ 167
ϝειδὼς πυγμαχίης, υἱὸς Πανοπῆος ʼΕπειός·
ἥψατο δʼ ἡμιόνου ταλαϝεργοῦ ʼφώνησέν τε·
„ἆσσον ἴτω ὅς τις δέπας οἴσεται ἀμφικύπελλον· 667ᵇ = 663ᵇ
ἡμίονον δʼ οὔ φημί τινʼ ἀξέμενʼ ἄλλον Ἀχαιῶν
πυγμῇ νικήσαντʼ, ἐπεὶ εὔχομαι ἔμμενʼ ἄριστος.
οὐ ϝάλις ὅττι μάχης ἐπιδεύομαι; οὐδʼ ἄρα πως ἦν 670ᵇ = Π 60
πάντεσσʼ ἐν ϝέργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐκϝερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· 672 = Α 212
ἄντικρυς χρόα τε ῥήξω σύν τʼ ὀστέʼ ἀράξω. 673ᵇ cf. Μ 384
κηδεμόνες δέ ϝοι ἐνθάδʼ ἀϝολλέες αὖθι μενόντων,
οἵ τέ μιν ἐξοίσουσιν ἐμῆσʼ ὑπὸ χερσὶ δαμέντα.“
ὣς ἔφαθʼ, οἱ δʼ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ, 676 = Γ 95
Εὐρύαλος δέ ϝοι οἶος ἀνίστατο, ϝισόθεος φώς,
Μηκιστῆος υἱὸς Ταλαϊονίδαο ϝάνακτος, 678 = Β 566
ὅς ποτε Θήβασδʼ ἦλθε δεδουπότος Οἰδιπόδαο
εἰς τάφον, ἔνθα δὲ πάντας ἐνίκαε Καδμεΐωνας.

---

658 Ἀτρεΐδη] -δαι Syr. || ἐυκνήμιδες Ἀχαιοί] ἀριστῆες Παναχαιῶν D, cf. vs. 272.
659 κελεύομεν] κελώμεθα Christ. || ὥ περ] ὥιπερ pap. 128[1], ὥσπερ A.
660 ἀνασχομένω] cf. Γ 362.
661 καμμονίην] cf. Χ 257.
662 νεέσθω] φερέσθω mss. pleraque.
665 πυγμαχίης] cf. vs. 653.
666 ἥψατο schol. Π 9] ἅψατο mss. || ταλαϝεργοῦ] -γόο? cf. § 2 et 59.
669 πυγμῇ] †, vid. ad Θ 246. || ἔμμενʼ § 125] εἶναι mss.
670 οὐ Brandreth] ἦ οὐχ mss.; cf. § 9. || μάχης] h. l. πυγμαχίῃ opponitur. || πως ἦν] ἔεν πως LMeyer, vid. § 302.
671 πάντεσσʼ ἐν Fick] ἐν πάντεσσʼ mss., ἐν πᾶσιν Bentley.
672 ἐκϝερέω] ἐξερέω mss. || τὸ δὲ καὶ] καὶ μὴν mss. nonnulla.
673 ἄντικρυς § 31] ἀντικρὺ mss. || τʼ] δʼ D.
674 κηδεμόνες] cf. vs. 163.
675 τέ coniecit criticus apud Nauckium] κέ mss.
677 ϝοι ... ἀνίστατο] vid. ad vs. 635.
678 Μηκιστῆος § 76] -τέος vel -τέως mss. || υἱός] cf. § 17.
679 Θήβασδʼ] sic Ar., Θήβας pap. 128 D Eust. || δεδουπότος] *in bello caesi* Ar. recte interpretabatur (vid. Ν 426), adnotans Thebis igitur et regem eum mortuum esse secundum poetam; cf. λ 275 sq. Imitantur Apoll. Rh. I 1304 IV 557 Lycophr. 492; vid. etiam Pind. Ol. II 76.
680 ἐνίκαε § 191] ἐνίκα mss.

τὸν μὲν Τυδεΐδης δουρὶ κλυτὸς ἀμφεπονεῖτο
θαρσύνων Ϝέπεσιν, μάλα δ' αὐτῷ 'βούλετο νίκην.
ζῶμα δέ Ϝοι πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
'δῶκεν ἱμάντας ἐϋ τμητοὺς βοὸς ἀγραύλοιο.
τὼ δὲ ζωσαμένω 'βήτην εἰς μέσσον ἀγῶνα, 685 cf. 710
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω 686[a] cf. σ 95
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν· 686[b] sq.[a] cf. Η 255 sq.
δϜεινὸς δὲ χρόμαδος γενύων 'γένετ', ἔρρεε δ' ἱδρὼς 688[b] sq.[a] cf. Π 110
πάντοθεν ἐκ μελέων. ἐπὶ δ' ὤρνυτο δῖος Ἐπειός,
'κόψε δὲ παπτήναντα παρήιον· οὐδ' ἄρ' ἔτι δϜὴν
εἱστήκειν, αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέα' ἀναπάλλεται ἰχθὺς
θίν' ἔνι φυκιόεντι, μέλαν δέ Ϝε κῦμ' ἐκάλυψε, 693[b] = ε 353
ὥς πληγεὶς ἀνέπαλτο. ἀτὰρ μεγάθυμος Ἐπειὸς 694[b] cf. Λ 732
χερσὶ λαβών Ϝ' ὤρθωσε, φίλοι δ' ἀμφέσταν ἑταῖροι, 695[b] = Σ 233
οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσι,
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε· 697[b] cf. Θ 306[a]
κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες,
αὐτοὶ δ' οἰχόμενοι 'κόμισαν δέπας ἀμφικύπελλον.

Πηλεΐδης δ' αἶψ' ἄλλα κατὰ τρίτα 'θῆκεν ἄεθλα, 700 cf. 740
δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς,

---

682 μάλα pap. 128] μέγα mss. cett.; cf. Κ 229 Λ 782 Ο 51.

683 ζῶμα] *subligaculum*, ut ξ 482, vid. ad Δ 187. Inde ab Ol. XIV nudos cucurrisse observarunt Thucydides I 6 et alii. || παρακάββαλεν] vid. vs. 127; h. l. *cingendi* sensu.

685 'βήτην] *ἐβάτην? cf. vs. 710.

686 ἀνασχομένω] cf. Γ 362.

687 σύν — ἔμιχθεν] vertit Verg. Aen. V 429: *immiscentque manus manibus.*

688 χρόμαδος] † (cohaeret χρεμετίζειν Μ 51).

689 δῖος] θεῖος Syr. et l. a. apud Eust.

691 εἱστήκειν] ἑστήκειν Ar. et mss. complura. Notetur subiectum mutatum. || ὑπήριπε] comp. †.

692 ὑπὸ φρικὸς] l. a. ὑπαὶ ῥιπῆς (cf. Ο 171 Τ 358). De voce φρίξ vid. ad Η 63, et cum toto versu cf. Φ 126. || Βορέα' § 55] Βορέω mss. || ἀναπάλλεται] *ἀναάλλεται? vid. vs. 694.

693 θίν'] θεινι plene pap. 128. || ἔνι φυκιόεντι] ἐν φ. mss. pleraque, ἐπὶ φυκιόεντα Η Eust. Adi. †, cf. φῦκος Ι 7. || δέ] τέ mss. complura.

694 ἀνέπαλτο. ἀτὰρ] ἀνέπαλτ'. αὐτὰρ mss. pleraque male, vid. § 18. || ἀνέπαλτο] *ἀνέαλτο? vid. ad Θ 85.

695 χερσὶ] χειρὶ pap. 128[1]. || *Ϝ'] addidimus.

695[b]-697] imitatus est Vergilius Aen. V 468-471.

696 ἐφελκομένοισι πόδεσσι] dativi usus notabilis.

697 πτύοντα] simplex † (ἀποπτύω Δ 426 Ψ 781, ἐκπτύω ε 322).

698 ἀλλοφρονέοντα] vid. ad Ο 245. Nauck ὀλιγοδρανέοντα.

701 Δαναοῖσι] λαοῖσι pap. 128[2] A[2]. Cf. Χ 205. || παλαισμοσύνης] παλαιμ. pap. 128; cf. θ 103, 126.

τῷ μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην, — 702a cf. Γ 138
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι 'τῖον Ἀχαιοί, —
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' εἰς μέσσον ἔθηκε,
πολλὰ δ' ἐπίστατο ϝέργα, 'τίον δέ ϝε τεσσαράβοιον.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· 706 sq. = 752 sq. [830 sq.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.“ 706 = 271
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας, 708 = 811
τῷ δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα ϝειδώς.
ζωσαμένω δ' ἄρα τώ γε 'βάτην εἰς μέσσον ἀγῶνα, 710 cf. 685
ἀγκὰς δ' ἀλλήλων 'λαβέτην χερσὶ στιβαρῇσι
ὡς ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων. 713 = Π 213
'τετρίγει δ' ἄρα νῶτα, θρασειάων ἀπὸ χειρῶν 714b = Λ 553
ἑλκόμενα στερεῶς, κατὰ δὲ νότιος 'ρέεν ἱδρώς· 715b = Λ 811
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἳ δὲ μάλ' αἰεὶ
νίκης 'ϝιέσθην τρίποδος πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺς 'δύνατο σφῆλας οὖδάσδε πελάσσαι,
οὔτ' Αἴας 'δύνατο, κρατερὴ δ' ἔχε ϝὶς Ὀδυσῆος.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐυκνήμιδας Ἀχαιούς, 721a cf. δ 460
δὴ τότε μιν προσέϝειπε μέγας Τελαμώνιος Αἴας·
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ· τὰ δ' αὖ Διὶ πάντα μελήσει.“ 724b cf. Ρ 515
ὣς ϝειπὼν ϝ' ἀνάειρε· δόλον δ' οὐ 'λήθετ' Ὀδυσσεύς·
'κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα·

---

702 ἐμπυριβήτην] †; compositio notabilis.
703 δὲ] τε Duentzer. || δυωδεκάβοιον] vid. ad Ζ 236.
705 τεσσαράβοιον] vid. ad Ζ 236.
707 ἀέθλου] -οο? cf. § 59. || πειρήσεσθε pap. 128 C L Eust.] -σθον mss. cett.; cf. vs. 753, 831.
709 τῷ Duentzer] ἂν mss., quod ante ἀνίστατο ferri nequit (vid. tamen ε 260). Vid. ad vs. 635. || Ὀδυσεὺς] de huius vulnere vid. ad vs. 290. || κέρδεα ϝειδώς] ἰσόθεος φώς D.
711 ἀλλήλων] -λω criticus apud Nauckium.
712 ὡς ὅτ'] ὡς δ' ὅτ' mss. pleraque, ἠύτ' criticus apud Nauckium. || ἀμείβοντες] †, Ar. recte interpretabatur συστάτας, trabes binas in figuram litterae Λ iunctas, quas *tibicines* vocabant Romani (a tibiae duplicis figura).
715 νότιος] vid. ad Θ 307.
717 φοινικόεσσαι] vid. § 18 et ad Κ 133; Nauck φοινήεσσαι.
719 σφῆλας οὖδάσδε Roehl coll. κ 440] σφῆλαι οὔδει τε mss., cf. § 71.
721 ἐυκνήμιδας Ἀχαιούς] sic Ar., -δες Ἀχαιοὶ Syr. D Eust. Transitive ἀνιάζειν etiam τ 323 adhibitum est, intransitive Σ 300 Φ 270 δ 460, 598 χ 87.
724 ἤ] notetur particula correpta, vid. § 16.
725 *ϝ'] addidimus.
726 'κόψ'] scil. calce. || κώληπα] *poplitem*, † (aperto vitio pap. 128 πήληκα).

κὰδ δ' ἔπεσ' ἐξοπίσω, ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
κάππεσε· λαοὶ δ' αὖ 'θηέοντό τε 'θάμβησάν τε. 728 = 881
δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς, 729 cf. 778
'κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονὸς, οὐδέ Ϝ' ἄειρε,
ἐν δὲ γόνυ 'γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, 'μιάνθησαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ' ἐπάλαιον,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκε· 734 cf. 491
„μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι·
νίκη δ' ἀμφοτέροιιν· ἄεθλα δὲ Ϝῖσ' ἀνελόντες
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί."
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν 'κλύον ἠδ' ἐπίθοντο, 738 = Η 379
καί ῥ' ἀπομορξαμένω κονίην 'δύσοντο χιτῶνας.

Πηλεΐδης δ' αἶψ' ἄλλα 'τίθει ταχυτῆτος ἄεθλα, 740 cf. 700
ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
'χάνδανεν, αὐτὰρ κάλλε' ἐνίκαε πᾶσαν ἐπ' αἶαν
πολλὸν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ Ϝ' ἤσκησαν,
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροϜειδέα πόντον,
'στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε 746 cf. Φ 41
Πατρόκλῳ ἥρωι Ἰησονίδης Ἐύνηος.
καὶ τὸν Ἀχιλλεὺς 'θῆκεν ἀέθλια Ϝοῖ' ἑτάροιο,
ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·
δευτέρῳ αὖ βοῦν 'θῆκε μέγαν καὶ πίονα δημῷ,

727 ἔπεσ'] ἔβαλ' mss. pleraque. || στήθεσσιν] -σφιν? vid. ad Μ 401.

728 'θηέοντο] θηεῦντο mss.; cf. § 7, 191, 249 et de syllaba θη- correpta § 17.

730 Ϝ' Brandreth] τ' mss.

731 ἐν] ἓν scribebat Leptines, at ἕτερον dicendum fuisse iure observavit Herodianus. || 'γνάμψεν] κάμψεν D.

732 πλησίοι] -ον pap. 128 D.

735 ἐρείδεσθον] cf. Μ 457 Π 736; ἐρίζεσθον G Z Cant., quo recepto Nauck τρύχεσθε coniecit pro τρίβεσθε.

736 ἀμφοτέροιιν Bekker] -ροισιν mss. || ἄεθλα δὲ Bentley] ἀέθλια δ' mss.

737 ἀεθλεύωσιν] -σωσιν mss. nonnulla.

739 ἀπομορξαμένω] -μενοι pap. 128 D Townl. Vrat. || δύσοντο Cobet] δύσαντο mss.; cf. § 152. || χιτῶνας] -να D.

741 ἕξ] neglecto Ϝ.

742 κάλλε' § 71] κάλλει mss. || ἐνίκαε § 191] -κα mss.

743 Σιδόνες] †. Notetur vocalis ῐ, quam productam habent Σιδών et Σιδώνιος. ||*Ϝ'] addidimus.

746 sq.] de re cf. Φ 41.

748 ἀέθλια Bekker] ἀέθλιον mss., ἄεθλον Heyne. Cf. vs. 537. || Ϝοῖ' § 59] οὗ mss.

749 ποσσὶ] γε ποσὶ H (et om. γε Syr. D), fortasse recte.

750 καὶ πίονα] l. a. καταπίονα.

ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκε.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔϜειπε· 752 sq. = 706 sq.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε."
ὣς ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆος ταχὺς Αἴας, 754 = 488
755 ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
756 Ἀντίλοχος, ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
758 τοῖσι δ' ἀπὸ νύσσης 'τέτατο δρόμος· ὦκα δ' ἔπειτα 758ᵃ = ϑ 121
ἔκφερ' Ὀιλεΐδης, ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς
760 ἄγχι μάλ', ὡς ὅτε τίς τε ἐυζώνοιο γυναικὸς 760ᵇ = Α 429
στήθεός ἐστι κανών, ὅν τ' εὖ μάλα χερσὶ τανύσσῃ
πηνίον ἐξέλκουσα παρ' ἐκ μίτον, ἄγχι δέ Ϝ' ἴσχει
στήθεος· ὣς Ὀδυσεὺς ἔθε' ἐγγύθεν, αὐτὰρ ὄπισθε
ἴχνε' ἔτυπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·
765 κὰδ δ' ἄρα Ϝοι κεφαλῆς 'χέ' ἀυτμένα δῖος Ὀδυσσεὺς
αἰεὶ ῥίμφα θέων· 'ϜίϜαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
νίκης Ϝιεμένῳ, μάλα δὲ σπεύδοντ' ἐκέλευον.
ἀλλ' ὅτε δὴ πύματον 'τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς 768ᵃ = 373
ηὔχετ' Ἀθηναίῃ γλαυκώπιδι Ϝὸν κατὰ θυμόν·
770 „κλῦθι, θεά· ἀγαθή μ' ἐπιτάρροθος ἐλθὲ ποδοῖιν."
771 ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη. 771 = Ε 121

757 'στὰν δὲ μεταστοιχί, 'σήμηνε δὲ τέρματ' Ἀχιλλεύς. 757 = 358
772 γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθε. 772 = Ε 122
757 Ar. — || 772 Ar. —

751 ἡμιτάλαντον δὲ χρυσοῦ] numeri duri; vox ἡμιτάλαντον nonnisi vs. 796 redit. || λοισθήϊ' Ar. (coll. vs. 785)] λοισθῆι mss. cett., ut sit dativus vocis λοισθεύς; cf. vs. 536.

753 ἀέθλου] ἀέθλοο? vid. § 59. || πειρήσεσθε] -σθον Zen. pap. 128; cf. vs. 707 et § 52.

754 Ὀιλῆος] vid. ad *Β* 527.

757] om. pap. 128. || μεταστοιχί] vid. vs. 358.

758 'τέτατο δρόμος] vid. vs. 375.

759 ἔκφερ'] ἔκθορ' Zen. || Ὀιλεΐδης Nauck] Ὀιλιάδης mss.; ὁ Ἰλιάδης Zen.; vid. ad *Μ* 365. || Ὀδυσσεύς] Ἐπειός pap. 128[1].

760 ὅτε τίς τε] mirus concursus vocularum inutilium; vHerwerden tentavit ὅτ' ἐν ἱστῷ. || ἐυζώνοιο γυναικὸς Nauck] γυναικὸς ἐυζώνοιο mss. caesura vitiosa, vid. § 3 et *Α* 429.

761 ἐστι] *εἶσι? Thiersch ἄγχι. || κανών] *arundo*, qua staminis fila paria ab imparibus secernuntur inter texendum. Hoc sensu †, sed cf. *Θ* 193. Iugum (ἱστόν) vel radium textorium (κερκίδα) interpretantur alii. || χερσί] χειρὶ pap. 128 et codd. nonnulli.

762 πηνίον] †, *subtemen* κερκίδι (ε 62) circumvolutum: || μίτον] †, *licium* (staminis ima pars). || *ἄγχι δέ Ϝ'] ἀγχόθι δ' mss.; cf. § 318.

763 *ἔθε'] θέεν mss.

764 *ἴχνε' ἔτυπτε] ἴχνια τύπτε mss.; vid. ad *Ν* 71.

765] de re cf. vs. 380 sq.

767 Ϝιεμένῳ] ἱέμενοι vel ἰέμενοι pap. 128 Ambr. D L Lips. Vrat. et l. a. in schol.; cf. vs. 371. || σπεύδοντ' ἐκέλευον] -ντι κέλ. mss.

770 *μ' ἐπιτάρροθος] μοι ἐπίρροθος mss.; vid. ad *Δ* 390.

ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον, 773ª cf. Κ 365
ἔνθ' Αἴας μὲν ὄλισθε θέων, — 'βλάψεν γὰρ Ἀθήνη, —
τῇ ῥα βοῶν 'κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
οὓς ἐπὶ Πατρόκλῳ 'πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
ἐν δ' ὄνθου βοέου 'πλῆτο στόμα τε ῥῖνάς τε.
κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς, 778 cf. 729
ὡς ἦλθε φθάμενος· ὃ δὲ βοῦν ἕλε φαίδιμος Αἴας.
'στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο, 780 cf. Ω 81 μ 253
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργεΐοισιν ἔϜειπε·
„ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ
μήτηρ ὣς Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει.“
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπ' αὐτῷ Ϝηδὺ 'γέλασσαν. 784 = υ 358 φ 376
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήιον ἔκφερ' ἄεθλον
μειδιάων, καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϜειπε·
„Ϝειδόσι πᾶσ' ὔμιν Ϝερέω, φίλοι, ὡς ἔτι καὶ νῦν 787ª cf. Κ 250
ἀθάνατοι τίουσι παλαιοτέρους ἀνθρώπους.
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστι,
οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων, —
ὠμογέροντα δέ μίν φασ' ἔμμεναι, — ἀργαλέος δὲ
πόσσ' ἐριδαινέμεναι ἄλλοισ', εἰ μὴ Ἀχιλῆι.“
ὣς 'φάτ', ἐκύδηνεν δὲ ποδώκεα Πηλεΐωνα.
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέϜειπε·

---

773 ἔμελλον] -λλεν pap. 128. || ἐπαΐξεσθαι pap. 128 G H L Eust.] ἐπαΐξασθαι mss. cett.

774 ὄλισθε] simplex † (ἐξολ. υ 470).

775 'κέχυτ'] ἔχυτ' D. || ὄνθος] vox nonnisi vs. 777 et 781 redit.

777 ὄνθου] cf. vs. 775. || ῥῖνάς] ῥῖνές Syr. Harl.

781 ὄνθον] cf. vs. 775.

782 πόποι] φίλοι pap. 128.

785 δὴ] om. pap. 128¹, οἱ Syr. Vrat. || λοισθήιον] cf. vs. 536.

786 μειδιάων § 191] -ιόων mss.

787 Ϝειδόσι πᾶσ' ὔμιν (ὔμμιν) Ϝερέω Menrad] εἰδόσιν ὔμμ' vel ὔμμ' ἐρέω πᾶσιν mss.

788 τίουσι Fick] τιμῶσι mss.; cf. § 165. || παλαιοτέρους] cf. § 88.

789 ἐμεῖ'] sic mss. (etiam pap. 128, ἐμοῖ' H); cf. § 92.

791 ὠμογέροντα] † (sed cf. ο 357); *cruda ... viridisque senectus* Verg. Aen. VI 304. || ἀργαλέος] -ον pap. 128.

792] mss. manifesto corrupte ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ, in quibus ferri nequeunt ἐριδήσασθαι (§ 221) et Ἀχιλλεῖ (§ 76), vitiose autem ante εἰ μὴ deest adiectivum ἄλλος. In Ar. commentariis extabat l. a. ἐριζήσασθαι (fortasse pap. 128¹ ita habuit, in quo nunc ἐριδήσασθαι legitur manu recenti scriptum), unde Lange coniecit ποσσὶν ἐρίζεσθαι ἄλλοις, εἰ μὴ Ἀχιλῆι (Menrad mavult πόσσ' ἐριδαίνεσθαι). Hos secuti sumus, nisi quod ἐριδαινέμεναι scripsimus, quoniam activa tantum verbi forma apud poetam invenitur (Α 574 Β 342 α 79 etc.); dubitamus autem an verum sit *ποσσὶν ἐριδμήνασθ' (cf. Π 260). Nauck πρός μιν ἐρίζεσθαι ἄλλοισί γε ἢ Ἀχιλῆι, Naber ἀργαλέον δὲ | ποσσὶν δηρίσασθαι, de sequentibus desperans.

793 'φάτ', ἐκύδηνεν] φάτο, κ. mss.

„Ἀντίλοχ', οὐ μέν τοι μέλεος ϜεϜρήσεται αἶνος,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῖ' ἐπιϑήσω.“
ὣς Ϝειπών Ϝ' ἐν χέρσ' ἐτίϑει, ὃ δ' ἐδέξατο χαίρων. 797 = Λ 446

αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος 798 = 884
'ϑῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν, 799ᵃ = 886
τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπέϜρα. 800 cf. Π 663 sqq.
'στῆ δ' ὀρϑὸς καὶ μῦϑον ἐν Ἀργεΐοισιν ἔϜειπε· 801 = 271
„ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω, 802 = 659
τεύχεα Ϝεσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιϑεν ὁμίλου πειρηϑῆναι.
ὁππότερός κε φϑήῃ ὀρεξάμενος χρόα καλόν,
ψαύσῃ δ' ἐνδίνων διά τε ἔντεα καὶ μέλαν αἷμα, 806ᵇ = Κ 298
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπέϜραν· 808 cf. Φ 183
τεύχεα δ' ἀμφότεροι ξυνήια ταῦτα φερέσϑων, 808ᵇ cf. 560
καί σφιν δαῖτ' ἀγαϑὴν παραϑήσομεν ἐν κλισίῃσι.“
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας, 811 = 708
ἂν δ' ἄρα Τυδεΐδης ὦρτο κρατερὸς Διομήδης. 812 cf. 290
οἳ δ' ἐπεὶ οὖν Ϝεκάτερϑεν ὁμίλου 'ϑωρήχϑησαν, 813 = Γ 340
εἰς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσϑαι, 814 sq. cf. Γ 341
δϜεινὸν δερκομένω, ϑάμβος δ' ἔχε πάντας Ἀχαιούς. 814 cf. Ζ 120 [sq.

806 Ar. — || 810 Ar. —

795 ϜεϜρήσεται § 306] εἰρήσεται mss. || αἶνος] vid. ad vs. 652.

796 ἡμιτάλαντον] cf. vs. 751. || χρυσοῖ' § 59] χρυσοῦ mss. || ἐπιϑήσω] Nauck ἐπιδώσω.

797 *Ϝ'(οι)] addidimus; cf. § 13. || χέρσ' ἐτίϑει] χερσὶ τίϑει mss.

798-883] non poetae qui initium ludorum cecinit debentur sed interpolatori; cf. Lehrs Arist.[2] p. 434 sq.

800 ἀπέϜρα § 150] ἀπηύρα mss.

803 ἑλόντε] ἑλόντων D (omisso vs. 804).

804] non legit Nicanor, om. pap. 128 A[1] D Vrat. || ὁμίλου] -λοο? cf. § 59.

805 sq.] Aristoph. ὁππότερός κεν πρόσϑεν (πρῶτος apud Eust.) ἐπιγράψας χρόα καλὸν | φϑήῃ ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρῶν (ἀνδρὸς apud Eust.).

805 φϑήῃ Cram. Epim. 430,21] φϑῇσιν mss. male; vid. § 122. An *ὁππότερος φϑήῃσιν? vid. Ο 359. || ὀρεξάμενος] cf. Π 314 Ω 506; ἐπιγράψας Bentley cum Aristophane, fortasse recte.

806] caedem et viscera lacerata hinc aliena iure duxit Ar.; vid. vs. 809 sq. Sed interpolatoris cui totus hic locus debetur (vid. ad vs. 798-883) haec esse videtur culpa. || ψαύσῃ] vid. ad Ν 132. || δ'] τ' pap. 128. || ἐνδίνων] †. || ἔντεα] ἔγκατα Naber coll. Λ 176 Σ 583.

808 Θρηΐκιον] cf. Ν 577. || ἀπέϜραν § 150] ἀπηύρα D, ἀπηῦρον G, ἀπηύρων mss. cett.

809 ἀμφότεροι] -ρω? cf. vs. 814.

813 ὁμίλου] -λοο? cf. § 59.

814 ἀμφοτέρω] -ρων mss. multa; cf. Ζ 120.

815 δερκομένω] -μενοι mss. complura. || ἔχε πάντας Ἀχαιούς] ἕλε πάντας Ἀχαιούς pap. 128, ἔχεν εἰσορόωντας Townl. et olim alii, cf. Γ 342.

ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες, 816 cf. Γ 15
τρὶς μὲν ἐπήιξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν.
ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐϝίσην
'νύξ', οὐδὲ χρό' ἵκανεν, ἔρυτο γὰρ ἔνδοθι θώρηξ·
Τυδεΐδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
αἰὲν ἐπ' αὐχέν' ἔκυρε φαεινοῦ δουρὸς ἀκωκῇ. 821ᵇ cf. Λ 253
καὶ τότε δή ῥ' Αἴαντι περιδϝείσαντες Ἀχαιοὶ
παυσαμένους ἐκέλευσαν ἀέθλια ϝῖσ' ἀνελέσθαι.
αὐτὰρ Τυδεΐδῃ 'δῶκεν μέγα φάσγανον ἥρως
σὺν κολεῷ τε φέρων καὶ ἐϋ τμητῷ τελαμῶνι. 825 = Η 304

αὐτὰρ Πηλεΐδης 'θῆκεν σόλον αὐτοχόανον,
ὃν πρὶν μὲν 'ρίπτεσκε μέγα σθένος Ἠετίωνος·
ἀλλ' ἦ τοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
'στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργεΐοισιν ἔϝειπε· 830 sq. = 706 sq.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
εἴ ϝοι καὶ μάλα πολλοὶ ἀπόπροθι πίονες ἀγροί, 832 cf. ι 35 / 832ᵇ cf. δ 757
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς 833ᵇ cf. α 16 λ 248
χρηόμενος· οὐ γάρ ϝοι ἀτεμβόμενός γε σιδήρου
ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' εἰς πόλιν, ἀλλὰ παρέξει."
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
ἂν δ' Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός.
ἑξείης δ' ἵσταντο, σόλον δ' ἕλε δῖος Ἐπειός,

824 sq. Aristoph. Ar. —

817] del. Duentzer.
819] *ἔνδοθι*] h. l. non *intus* sed *inter scutum et corpus*. Quadamtenus conferri potest Υ 271.
821 *αὐχέν' ἔκυρε*] *-νι κῦρε* mss. || *ἀκωκῇ*] *-κήν* mss. pleraque.
823 *παυσαμένους*] **-νω σφ'* ?
824 sq.] iniquum Achillis iudicium indignati hos versus proscripserunt Aristoph. Ar. coll. vs. 736; num recte?
826 *σόλον*] nonnisi vs. 839 et 844 redit. || *αὐτοχόανον* § 5 et 191] *αὐτοχόωνον* mss.; adi. †, videtur autem indicari massa ferri qualis prodiit e fornace (cf. *χόανος* Σ 470).
827 **'ρίπτεσκε*] *ῥίπτασκε* mss.; cf. § 146.
829 *σὺν*] *μετ'* vel *ἅμ'* expectaveris.
831 *ἀέθλου*] *-οο*? cf. § 59.
832 *πολλοὶ* Doederlein] *πολλὸν* mss. || *ἀπόπροθι*] nonnisi in Odyssea (δ 757 etc.) redit.
833 sq. *ἕξει μιν … χρηόμενος*] verba obscura. Voluitne poeta *utendo ferrum non absumet* an *quotiescunque eget ferrum habebit*?
834 *χρηόμενος· οὐ* PKnight] *χρεώμενος, οὐ μὲν* mss.; cf. § 8 et 190.
835 *παρέξει*] sc. *σόλος*. Christ coniecit *γὰρ ἕξει*.
839 *σόλον*] cf. vs. 826.

ἧκε δὲ δινήσας· 'γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.
δεύτερος αὖτ' ἀφέηκε Λεοντεύς, ὄζος Ἄρηος·
τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας
χειρὸς ἄπο στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων. 843b cf. ϑ 192
ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
ὅσσον τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ,
ἡ δὲ Ϝελισσομένη πέτεται διὰ βοῦς ἀγελαίας,
τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.

αὐτὰρ ὃ τοξευτῆσι 'τίθει Ϝιόεντα σίδηρον,
κὰδ δ' ἐτίθει δέκα μὲν πελέκυς, δέκα δ' ἡμιπέλεκκα,
ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρῴροιο
τηλόθ' ἐπὶ ψαμάθοισ', ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῇ μηρίνθῳ 'δῆσεν ποδός, ἧς ἄρ' ἄνωγε
τοξεύειν· „ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
πάντας ἀειράμενος πελέκυς Ϝοῖκόνδε φερέσθω·
ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτών, —

843 Ar. —

840 ἧκε δὲ δινήσας] cf. *H* 269 etc.; vHerwerden suspicatur aliquid excidisse, quoniam risus causa non apparet.

843] πάντων (πάντα G L Lips. et l. a. apud Eust.) de duobus competitoribus apte dici nequit; versum damnavit Ar., at vid. ad vs. 798-883.

844 δὴ] μὲν A[1] Vrat. || σόλον] cf. vs. 826.

845 καλαύροπα] †.

846 δὲ pap. 128 C] δέ ϑ' vel δέ τ' mss. cett.

847 ὑπέρβαλε] hoc uno loco genitivum adsciscit, alias accusativum.

848 ἀνστάντες] ἀστάντες pap. 128, vid. § 10.

850 τοξευτῆσι] †, cf. τοξότης *Λ* 385. || Ϝιόεντα] †, cf. ϜιοϜειδής *Λ* 298 ε 56 λ 107.

851 πελέκυς § 75] πελέκεας mss. || ἡμιπέλεκκα] redit vox vs. 858, 883; cf. πέλεκκον *N* 612.

853 τηλόθ' § 322] τηλοῦ mss. || ἐπὶ] ὑπὸ D. || πέλειαν] non *domestica* significatur columba sed *agrestis* (*c. livia*), quae in rupibus nidificat (*Φ* 493 sqq.); vid. VHehn Kulturpfl.[4] p. 276.

854 μηρίνθῳ] nonnisi in vicinia (vs. 857, 866, 867, 869) redit. || ποδὸς] alii olim πόδα. || ἧς ἄρ'] ἣν ἄρ' mss. pauca, alii olim ἧς γὰρ (cf. vs. 9) et ὥς γὰρ. || ἄνωγε § 225] ἀνώγει mss.

855 τοξεύειν] † (τοξευτής *Ψ* 850). || ὃς etc.] ad orationem directam transitus fit insolitus; cf. tamen *Δ* 303 α 40 (*B* 12?). || βάλῃ] λάβῃ(ι) C.

856 πελέκυς § 75] -κεας mss. || Ϝοῖκόνδε] κλισίηνδε mss. complura; cf. vs. 58, 275, 662.

857 sq.] abesse malebat Ar.; et est sane quod in Achillis verbis mireris, multo enim maioris est artis tenuem funiculum ferire quam avem; non *consulto* autem percutitur funis vs. 865, sed *casu* ita aberravit sagitta ut vinculum secaret. Non tamen sine lacuna omitti possunt, nam quo consilio ἡμιπέλεκκα attulerit Achilles dicere debet; vid. autem ad vs. 798-883.

857 μηρίνθοιο] vid. ad vs. 854.

ἥσσων γὰρ δὴ κεῖνος, — ὃ δ' οἴσεται ἡμιπέλεκκα."
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα βίη Τεύκροιο Ϝάνακτος,
ἂν δ' ἄρα Μηριόνης θεράπων ἐϋς Ἰδομενῆος. 860 = 888 cf. 528
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ 'πάλλον ἑλόντες, 861 = Γ 316
Τεῦκρος δὲ πρῶτος κλήρῳ ἔλαχ'. αὐτίκα δ' ἰὸν
ἧκεν ἐπικρατέως, οὐδ' ἠπείλησε Ϝάνακτι
Ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. 864 = Δ 102
ὄρνιθος μὲν ἅμαρτε, — τὸ γάρ Ϝ' ἐμέγηρεν Ἀπόλλων, —
αὐτὰρ ὃ μήρινθον 'βάλε πὰρ πόδα, τῇ 'δέδετ' ὄρνις·
ἄντικρυς δ' ἀπὸ μήρινθον 'τάμε πικρὸς ὀιστός.
ἣ μὲν ἔπειτ' ἤιξε πρὸς οὐρανόν, ἣ δὲ παρείθη
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ 'κελάδησαν Ἀχαιοί.
σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
τόξον· ἀτὰρ δὴ ὀιστὸν ἔχεν πάλαι, ὡς ἴθυνε.
αὐτίκα δ' ἠπείλησε Ϝεκηβόλῳ Ἀπόλλωνι
Ϝαρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην. 873 = Δ 102
ὕψι δ' ὑπὸ νεφέων ἔϜιδε τρήρωνα πέλειαν·
τῇ ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτέρυγος 'βάλε μέσσην,
ἄντικρυς δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐνὶ γαίῃ 876ᵃ = τ 453 cf. Ε 100
πρόσθεν Μηριόναο 'πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο

858 ἡμιπέλεκκα] cf. vs. 851.

862 *ἔλαχ'] λάχεν mss.

863 ἠπείλησε] *vovendi* sensu nonnisi vs. 872 redit.

864] om. pap. 128 Syr. D Townl., fortasse iure, sed vid. ad vs. 798-883.

865 *τὸ γάρ Ϝ' ἐμέγηρεν] μέγηρε γάρ οἱ τό γ' mss. (τότ' D Vrat. Barocc. et Herodian. ad Ξ 171), μέγηρε δέ Ϝοι τό γ' Heyne.

866 μήρινθον] vid. ad vs. 854.

867 ἄντικρυς § 31] ἀντικρὺ mss. || μήρινθον] vid. ad vs. 854.

869 μήρινθος] vid. ad vs. 854.

870 sq. ἐξείρυσε — ὀιστὸν] sic Ar., ἐξείλετο τόξον | χερσίν· ἀτὰρ δὴ ὀιστὸν Antimachus sec. schol. A (ἐξείρυσε Τεύκρου | τόξον· χερσὶ δ' ὀιστὸν ei tribuunt schol. V et Eust.), ἐπεθήκατ' ὀιστὸν | τόξῳ· ἐν γὰρ χερσὶν (πᾶσιν sec. schol. A, χείρεσσιν sec. schol. V) liber Massil. (cum vitio metrico, vid. § 14).

870 ἐξείρυσε] ἐξέϜρυσε? vid. § 293. || χειρὸς] scil. Teucri.

871 ἴθυνε] quid significat? IHVoss vHerwerden ἰθύνοι, verbis ἀτὰρ — πάλαι in parenthesi collocatis.

872 ἠπείλησε] vid. ad vs. 863.

874 ὑπὸ] ὑπαὶ mss. pleraque; vid. § 315. || ἔϜιδε] ἴδετο aut εἶδε mss. (ἴδεδε pap. 128).

875 τῇ] adv. loci, τήν D G H. || 'βάλε] λάβε Syr. || μέσσην] μέσσον pap. 128[1], μέσσης mss. pauca.

876 ἄντικρυς § 31] ἀντικρὺ mss. || ἐνὶ Nauck] ἐπὶ mss.; cf. Ζ 213.

877] mirum avem transfixam ultra provolare potuisse; vid. ad vs. 798-883. || αὐτὰρ ἡ] ἡ om. C; Nauck αὐτίκα δ'.

878] spurium esse suspicatur Nauck. At moribundam columbam caput demittere videre quomodo quis potuit nisi in loco edito semianimis consedisset?

αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πύκν' ἐλίασθεν,
ὠκὺς δ' ἐκ μελέων θυμὸς 'πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε· λαοὶ δ' αὖ 'θηέοντό τε 'θάμβησάν τε. 881 = 728
ἂν δ' ἄρα Μηριόνης πελέκυς δέκα πάντας ἄειρε,
Τεῦκρος δ' ἡμιπέλεκκα 'φέρεν κοίλας ἐπὶ νῆας.

αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος, 884 = 798
κὰδ δὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα 885 cf. γ 440
'θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσταν· 886ᵃ = 799
ἂν μὲν ἄρ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐὺς Ἰδομενῆος. 888 = 860
τοῖσι δὲ καὶ μετέϝειπε ποδάρκης δῖος Ἀχιλλεύς·
„Ἀτρεΐδη, ϝίδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων 890ᵇ cf. Z 125
ἠδ' ὅσσον δυνάμι τε καὶ ἥμασιν ἔπλε' ἄριστος, —
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχε', ἀτὰρ δόρυ Μηριόνῃ ἥρῳι πόρωμεν,
εἰ σύ γε σῷ θυμῷ ἐθέλεις· κέλομαι γὰρ ἐγώ γε.“ 894ᵃ cf. P 488 sq.
ὣς ἔφατ', οὐδ' ἀπίθησε ϝάναξ ἀνδρῶν Ἀγαμέμνων. 895 = B 441
'δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ' ἥρως
Ταλθυβίῳ κήρυκι 'δίδου περικαλλὲς ἄεθλον.

---

879 ἀπεκρέμασεν] comp. †. ‖ πύκν' ἐλίασθεν] πυκνὰ λίασθεν mss. pleraque, πυκνὰ λιάσθη liber Massil., item pap. 128 (-θηι), πυκνὰ λίασσεν Ar. D.

880 'πτάτο] vid. § 216.

881 'θηέοντο] θηεῦντο mss.; cf. vs. 728.

882 πελέκυς § 75] -κεας mss. ‖ ἄειρε] ἀείρας D, ἀέθλους pap. 128.

883 ἡμιπέλεκκα] cf. vs. 851.

884 ἔγχος] non praemium significari sed hastam quam iacturi sunt competitores, iure statuit Iordan.

885 ἄπυρον] vid. ad I 122. ‖ ἀνθεμόεντα] *floribus arte factis ornatum*, ut γ 440 ω 275; alibi (B 466 etc.) *floridus*.

886 ῥ' ἥμονες] sic Ar., recte interpretatus ἀκοντισταί; absurde quidam ῥήμονες (quasi ῥήτορες). Vox †.

890 ἁπάντων] Ἀχαιῶν D.

891 δυνάμι] -μει mss. Utraque forma novicia, cf. § 74; *κράτεϊ (cf. § 65)? ‖ ἥμασιν] †. ‖ ἔπλε' § 117] ἔπλευ mss.

893 ἔρχε' § 117] ἔρχευ mss.

894 ἐθέλεις] -λοις mss. nonnulla.

ΙΛΙΑΔΟΣ Ω.

Ἕκτορος λύτρα.

’λύτο δ’ ἀγών, λαοὶ δὲ ἐϝὴν ἐπὶ νῆα ϝέκαστος 1ᵇ = Τ 277
ἐσκίδναντ’ ἴμεναι. τοὶ μὲν δόρποι’ ἐμέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
’κλαῖε φίλοι’ ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος 4ᵇ cf. ι 372
ἥρεε πανδαμάτωρ, ἀλλ’ ἐστρέφετ’ ἔνθα καὶ ἔνθα, 5ᵃ = ι 373
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ
ἠδ’ ὁπόσα ’τολύπευσε σὺν αὐτῷ καὶ ’πάθε ϝέργα,
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων· 8 = ϑ 183 ν 91, 264
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβε, 9ᵃ cf. 167 9ᵇ cf. λ 391
ἄλλοτ’ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ’ αὖτε 10 cf. Σ 159
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ’ ὀρθὸς ἀναστὰς
’δινεύεσκ’ ἀλύων παρὰ θῖν’ ἁλός. οὐδέ μιν ἠὼς 12ᵇ sq. cf. χ 197 sq.

6—9 Aristoph. Ar. —

---

1 ’λύτο] cf. § 22. || ἀγών] vid. ad Η 298. || ἐϝὴν ἐπὶ νῆα ϝέκαστος Heyne coll. Τ 277 Ψ 3] θοὰς ἐπὶ νῆας ἕκαστοι mss., in quibus cum neglectum ϝ officit tum pluralis ἕκαστοι. Simile est vitium β 258 σ 428 ω 188. Bentley θοὰς ἐπὶ νῆας ἅπαντες.

2 ἴμεναι § 125] ἰέναι mss. || δόρποι’ ἐμέδοντο § 59] -οιο μ. mss.

4 φίλοι’ § 59] φίλου mss.

5 ἥρεε § 191] ἥρει mss.

6 ἀνδροτῆτα] ἀδρότητα H; vid. ad Π 857. Usum vocis h. l. improbabat Ar., totum locum εὐτελῆ censens; quapropter ἐμβρόντητος vocatur in schol. B.

7 ὁπόσα ’τολύπευσε] ὁπόσ’ ἐκτολύπευσε Barnes coll. Hes. Scut. 44; si quid mutandum, malumus *ἠδ’ ὁπόσα σὺν ϝοὶ ’τολύπευσέ τε. || ’πάθε ϝέργα] πάθεν ἔργα olim exemplaria vulgaria („αἱ δημώδεις“) sec. schol. V, πάθεν ἄλγεα (ut ν 263) Ar. mss. male, vid. § 71.

8 πτολέμους] πολ. mss. pauca. || πείρων] sic recte Ar., πειρῶν Pamphilus.

11 δὲ] δὴ Syr., δ’ αὖ Vrat., om. D.

12] in accusativum conversa sic affert Plato Rep. III 388 a: πλωΐζοντ’ ἀλύοντ’ ἐπὶ θῖν’ ἁλὸς ἀτρυγέτοιο, in quibus παρὰ cur sit mutatum patet, ἀτρυγέτοιο autem ad versum explendum est additum, πλωΐζοντ’ denique corruptum est (αἰάζοντ’ latere suspicatur Naber).

φαινομένη ’λήθεσκεν ὑπεὶρ ἅλα τ’ ἠιόνας τε,
ἀλλ’ ὅ γ’ ἐπεὶ ζεύξειεν ὑφ’ ἅρμασιν ὠκέας ἵππους, 14 cf. γ 478
῞Εκτορα δ’ ἕλκεσθαι ’δησάσκετο δίφρου ὄπισθε·
τρὶς ϝερύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
αὖτις ἐνὶ κλισίῃ ’πανέσκετο, τὸν δ’ εἴασκε
ἐν κόνι’ ἐκτανύσας προπρηνέα. τοῖο δ’ Ἀπόλλων
πᾶσαν ἀϝεικείην ἄπεχε χροΐ, φῶτ’ ἐλεαίρων,
καὶ τεθνηότα περ· περὶ δ’ αἰγίδι πάντ’ ἐκάλυπτε
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων. 21 cf. Ψ 187
ὣς ὃ μὲν ῞Εκτορα δῖον ἀϝείκιζεν μενεαίνων·
23 τὸν δ’ ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσοράοντες.
31 ἀλλ’ ὅτε δή ῥ’ ἐκ τοῖο δυωδεκάτη ’γένετ’ ἠώς, 31 = Α 493

24 κλέψαι δ’ ὠτρύνεσκον ἐΰσκοπον Ἀργεϊφόντην. 24 cf. 109
ἔνθ’ ἄλλοις μὲν πᾶσιν ἐϝάνδανεν, οὐδέ ποθ’ ῞Ηρῃ
οὐδὲ Ποσειδάων’ οὐδὲ γλαυκώπιδι κούρῃ, [sq.
ἀλλ’ ἔχον ὥς σφι πρῶτον ἀπήχθετο ϝίλιος ἱρὴ 27b sq.a = Θ 551
καὶ Πρίαμος καὶ λαός, Ἀλεξάνδροι’ ἕνεκ’ ἀρχῆς, 28b = Γ 100 Ζ 356
ὃς ’νείκεσσε θεὰς ὅτε ϝοι μέσσαυλον ἵκοντο, 29b = κ 435
τὴν δ’ ᾔνεσσ’, ἥ ϝοι ’πόρε μαχλοσύνην ἀλεγεινήν.

20 sq. Ar. —— || 25—30 Ar. ——; vs. 23—30 obelis notatos fuisse referunt schol. B M V, sed servandum potius videri versum 23

13] de re vid. ad Ψ 227. || ὑπεὶρ] vid. § 315.

14 ζεύξειεν] compluribus diebus deinceps Achillem hoc fecisse indicat optativus, cf. vs. 31 et 52. Non redit apud poetam optativus post ἐπεί adhibitus; ὅτ’ ἐπιζεύξειεν Vrat. (ὅ γ’ ἐπιζεύξειεν Syr.), sed ἐπι- defendi nequit.

15] Aristoteles observabat nihil insoliti fecisse Achillem, cum hoc modo ulcisceretur mortem necessarii, nam quarto etiam saeculo morem fuisse in Thessalia corpora hostium circa tumulos occisorum raptari; id quod etiam e Callimacho constare dicitur in schol. X 397.

16 ϝερύσας Heyne] δ’ ἐρύσας mss.

17 αὖτις] Duentzer αὐτοῦ (αὐτόθ’ § 322). || τὸν δ’ εἴασκε] τὸν δέ τ’ ἔασκεν Syr., τόνδε δ’ ἔασκεν mss. cett., τὸν δὲ δέασκεν quidam in schol. B (interpretati ἐδέσμευεν); PKnight τὸν δ’ ἐάεσκεν.

18 κόνι’ G] κόν(ε)ι mss. cett.; cf. § 74.

20 τεθνηότα § 160] τεθνειότα (vel -ῶτα) mss. pleraque. || πάντ’ ἐκάλυπτε] πάντα κάλυπτε(ν) mss., l. a. πάντα κάλυψε.

20 sq. αἰγίδι ... χρυσείῃ] αἰγίδα ... χρυσείην Ar. (vid. Ξ 343 Φ 321), ipsa tamen aegidis mentione offensus coll. Ψ 188.

23 εἰσοράοντες § 191] -ρόωντες mss.

24 κλέψαι δ’] ἰέναι D. || ὠτρύνεσκον Z Eust.] ὀτρ. mss. cétt.

25] ἔνθ’ ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοί pap. 128 vitiose. || ἄλλοις] vid. § 60; Nauck ἄλλοισιν del. ἔνθ’. || ἐϝάνδανεν § 131] ἑήνδανεν vel ἐήνδανεν (ἐφήνδανεν D) mss.

28 Ἀλεξάνδροι’ § 59] -δρου mss. || ἀρχῆς pap. 128 Vrat. et l. a. in schol.] ἄτης Ar. et mss. cett.; cf. Γ 100 Ζ 356.

29 sq.] neque ’νείκεσσε neque μαχλοσύνην apte posse explicari observavit Ar., poetam autem ignorasse Paridis illud iudicium a posterioribus celebratum, quod in Cypseli arca exsculptum fuit (Paus. V 19).

30 ᾔνεσσ’ Mosc.] ᾔνεσ’ vel ᾔνησ’ mss. cett.; cf. § 295. || ’πόρε μαχλοσύνην ἀλεγεινήν] κεχαρισμένα δῶρ’ ὀνόμηνε Aristoph. cum libris nonnullis „τῶν πολιτικῶν“, quae lectio praeferenda foret nisi abiciendus videretur totus locus. Vox μαχλοσύνη †; pro ἀλεγεινήν Naber mavult ἐρατεινήν.

καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων· 32 cf. h. Ap. 130
„σχέτλιοί ἐστε, θεοί, δηλήμονες· οὔ νύ ποθ' ὔμιν 33 cf. ε 118
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων; 34ᵇ = Α 66
τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι
Ϝῇ τ' ἀλόχῳ Ϝιδέμεν καὶ μητέρι καὶ τέκεϊ Ϝῷ
καὶ πατέρι Πριάμῳ λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήειαν καὶ ἐπὶ κτέρεα κτερίσειαν. 38ᵇ cf. α 291 γ 285
ἀλλ' ὀλοῷ Ἀχιλῆι, θεοί, βούλεσθ' ἐπαρήγειν,
ᾧ οὔτ' ἄρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα 40 cf. σ 220
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣς ἄγρια Ϝοῖδε,
ὅς τ' ἐπεὶ ἄρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
Ϝείξας εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσι·
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ Ϝοι αἰδώς.
μέλλει μήν ποθί τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν,
ἀλλ' ἦ τοι κλαύσας καὶ ὀδυράμενος μεθέηκε·
τλητὸν γὰρ μοῖραι θυμὸν 'θέσαν ἀνθρώποισι.
αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπέϜρα, 50ᵇ = Φ 201
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει· οὐ μέν Ϝοι τό γε κάλλιον οὐδέ τ' ἄμεινον· 52 cf. η 159

45 γίγνεται, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι. 45 cf. Hes. Op. 318
45 Ar. —

32 *μετηύδα*] *-δαε*? cf. § 195.
33 *δηλήμονες*] adi. redit σ 85, 116 φ 308, vid. etiam ε 118. || *οὔ νύ ποθ'*] *οὐδέ ποθ'* A Vrat., *ουνεκαι* pap. 128.
35 sq. *σαῶσαι Ϝῇ...ἀλόχῳ Ϝιδέμεν*] vert. *eripere* (*et reddere*) *uxori ut eum videat.*
36 *Ϝιδέμεν* § 126] *ἰδέειν* mss.
38 *κήειαν*] *κήαιεν* Ar. mss.; vid. § 113. || *κτερίσειαν*] *κτερίσαιεν* Ar. mss. pleraque, *κτερεουσιν* pap. 128; praeferendum esse *-σειαν* iure statuitur in schol. V coll. *Α* 42. Vid. § 113.
40 *οὔτ' ἄρ*] *οὔτε* L Lips. Vrat.
42 sq. *ἐπεὶ ... Ϝείξας*] structura inconcinna; Nicanor coniecit *εἴξῃσ'*, Bentley *Ϝείξασκ'*, at elumbe fit enunciatum verbis ita dispositis. Veri videtur similius corruptum esse *ἐπεί*, licet defendi id possit coll. *Ρ* 658. Christ *ὅς Ϝείξας ... σεύηται*, nos **ὅς Ϝείξας ... ἀΐξῃσ'* coll. *Ο* 580 *Ρ* 726.
43 *βροτῶν*] Nauck coniecit *βόας θ'*. || *δαῖτα*] vid. ad *Α* 5.
44 *ἔλεον*] †.
45 *ἠδ'*] *ἠ δ'* olim quidam coll. Eur. Hippol. 385 sq. (vid. etiam fr. 367).
46-49] de re cf. *Ι* 632-636.
46 *μήν* § 18] *μέν* mss. || *ποθί* § 322] *πού* mss. || *ἄλλον*] *ἄλλος* Doederlein.
47 *ὁμογάστριον*] cf. *Φ* 95.
48 *ὀδυράμενος*] *-ρόμενος* pap. 128 Townl. Harl. Eust. et l. a. in schol.
49 *τλητὸν*] adi. verb. †; cf. λ 38. Nauck *τλήμονα* (ut *Ε* 670). || *μοῖραι*] *Parcae* plures nonnisi h. l. et η 197 (ubi vid.) apud Homerum commemorantur. Vid. praeterea ad *Υ* 128 *Ω* 525 et cf. Hes. Theog. 218, 904 sq.
50 *ἀπέϜρα* § 150] *ἀπηύρα* mss.
52 *ἕλκει· οὐ*] hiatus vitiosus, vid. § 14: coniecimus **ἑλκέει* coll. *Ρ* 395. || *μέν* § 18] *μήν* mss.

μή Ϝ' ἀγαθῷ περ ἐόντι νεμεσσηθήομεν ἧμες·
κωφὴν γὰρ δὴ γαῖαν ἀϜεικίζει μενεαίνων.“
τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος ῞Ηρη·
„εἴη κεν καὶ τοῦτο τεὸν Ϝέπος, ἀργυρότοξε, 56a cf. ο 435
εἰ δὴ ὁμὴν Ἀχιλῆι καὶ ῞Εκτορι θήσετε τιμήν.
῞Εκτωρ μὲν θνητός τε γυναῖκά τε 'θήσατο μαζόν·
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ
'θρέψα τε καὶ ἀτίτηλα καὶ ἄνδρ' ἔπορον παράκοιτιν,
Πηλέι, ὃς περὶ κῆρι φίλος 'γένετ' ἀθανάτοισι.
πάντες δ' ἠντιάεσθε, θεοί, γάμου· ἐν δὲ σὺ τοῖσι
'δαίνυσ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε.“ 63a cf. Α 603
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
„῞Ηρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσι·
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ ῞Εκτωρ
φίλτατος ἦσκε θεοῖσι βροτῶν, οἳ Ϝιλίῳ εἰσί·
ὣς γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐϜίσης, 69 sq. = Δ 48 sq.
λοιβῆς τε κνίσης τε· τὸ γὰρ 'λάχομεν γέρας ἧμες.

71 ἀλλ' ἦ τοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πῃ ἔστι
λάθρῃ Ἀχιλλῆος — θρασὺν ῞Εκτορα· ἦ τέ Ϝοι αἰεὶ

53 quidam — sec. schol. B V (Ar.? — negat Ludwich) || 71—73 Ar. —

53 *μή Ϝ'(οι) ... νεμεσσηθήομεν] μὴ ... νεμεσσηθέωμέν οἱ Ar., μὴ ... νεμεσσηθῶμέν οἱ mss., μὴ ... νεμεσσηθείομεν GHermann; vid. § 122 et de eliso Ϝοι § 13. || ἧμες § 92] ἡμεῖς mss.

54 κωφὴν] cf. Λ 390.

56 τεὸν] Axt κενὸν (male, vid. § 38 et ad χ 249).

57 εἰ δὴ] vid. ad Α 61.

58 μὲν] μὲν γὰρ D, γὰρ Athen. IX 396 *f*.

59 γόνος] l. a. πάις.

60 καὶ ἀτίτηλα] *καί Ϝ' ἀτ.? Corruptis tantum locis ante hiatum καὶ non corripitur, Ο 290 (= χ 372) Ω 570 λ 113 (= 161 μ 140) Ω 641 β 230, 232, vid. § 14. || ἄνδρ' ἔπορον] ἀνδρὶ πόρον mss. caesura vitiosa (cf. § 3).

61 Πηλέι § 76] Πηλεῖ mss.; Πηλῆ' mavult Christ.

62 ἠντιάεσθε] ἀντιάεσθε mss.; cf. § 191. Medium †.

63 δαίνυσ' Mor.] δαίνυ' mss. cett.: cf. § 117.

64 δ' ἀπαμειβόμενος] l. a. δὲ μέγ' ὀχθήσας, item vs. 138.

65 ἀποσκύδμαινε] comp. †, simplex vs. 592.

66 γε μί'] γ' ὁμὴ vHerwerden probabiliter coll. vs. 57.

67 ἦσκε] ἔσκε mss. || οἳ Ϝιλίῳ Heyne] οἳ ἐν 'Ιλίῳ mss.; cf. Π 719 Ψ 631 ζ 162 etc.

68 γὰρ] vHerwerden καὶ. || ἡμάρτανε] nempe *Hector*; verbum insolite adhibitum (vid. Κ 372 λ 511), Christ ἥμερδέ με (cf. Π 53 θ 64 φ 290 h. Cer. 312).

70 ἧμες § 92] ἡμεῖς mss.

71-73] damnavit Ar., quod falso dicitur Thetis Achilli perpetuo assidere (cf. vs. 83); vs. 66-73 del. Heyne, vs. 68-73 PKnight.

71 ἐάσομεν] ἀμήχανον Antimachus; eundem vulgatae esse sensum (*mittamus*) observavit Ar. (vid. ad Υ 312).

72 θρασὺν ῞Εκτορα] secundum (Ar.? in) schol. V praestaret νέκυν ῞Εκτορος; cf. vs. 108. || ἦ] sic Herodianus, ἡ εὖ alii olim. || τέ GHermann] γάρ mss.; γὰρ ἀεί Ϝοι Heyne.

ἀλλ᾽ εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο, 74 cf. *K* 111
ὄφρα τί Ϝοι Ϝείπω πυκινὸν Ϝέπος, ὥς κεν Ἀχιλλεὺς
δώρων ἐκ Πριάμοιο λάχῃ ἀπό θ᾽ Ἕκτορα λύσῃ."
ὣς ἔφατ᾽, ὦρτο δὲ Ϝῖρις ἀελλόπος ἀγγελέουσα, 77 = *Θ* 409
μεσσηγὺς δὲ Σάμοιο καὶ Ἴμβρου παιπαλοέσσης 78 cf. *N* 33
ἔνθορε μείλανι πόντῳ· ἐπεστονάχησε δὲ λίμνη.
ἡ δὲ μολυβδαίνῃ Ϝικέλη εἰς βυσσὸν ὄρουσε,
ἥ τε κατ᾽ ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα 81 cf. *Ψ* 780 *μ* 253
ἔρχεται ὠμεστῇσιν ἐπ᾽ ἰχθύσι κῆρα φέρουσα.
ηὗρε δ᾽ ἐνὶ σπέεϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ Ϝ᾽ ἄλλαι
ἥαθ᾽ ὁμηγερέες ἅλιαι θεαί· ἡ δ᾽ ἐνὶ τῇσι 84[a] = 99
᾽κλαῖε μόρον Ϝοῦ παιδὸς ἀμύμονος, ὅς Ϝοι ἔμελλε
φθίσεσθ᾽ ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης. 86 cf. *Π* 461
ἄγχι δέ Ϝ᾽ ἱσταμένη προσέφη πόδας ὠκέα Ϝῖρις· 87 = *B* 790
„ὄρσο, Θέτις· καλέει Ζεὺς ἄφθιτα μήδεα Ϝειδώς." 88 cf. h. Cer. 321
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα· 89 cf. *Σ* 127
„τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ

---

73 *μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.* 73[a] cf. *Δ* 11; 73[b] = *E* 490
86 Ar. —

---

74 *θεῶν*] quidam olim *θέων* (vid. *K* 111 *M* 343 *Y* 53).

78 *Σάμοιο*] *Σάμου τε* mss. pleraque; cf. *N* 33. De insulae nomine vid. ad *N* 12.

